



CΩΚΡΑΤΗC
M.Burg. sculp.


ΞΕΝΟΦΩΝΤΟΣ

ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ

ΒΙΒΛΙΑ Δ'.

ΤΟΥ ΑΥΤΟΥ

ΣΩΚΡΑΤΟΥΣ ΑΠΟΛΟΓΙΑ.



Ἐκ ΘΕΑΤΡΟΥ ἐν ΟΞΟΝΙΑ.

Ετει αχϟδ'.

ΣΩΚΡΑΤΟΥΣ ΒΙΟΣ

ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ.

Σωκράτης, Σωφρονίσκου λιθοξόου, καὶ μητρὸς Φαιναρέτης μαίας. πρότερον γενόμενος λιθοξόος. ὥστε καί φασιν αὐτοῦ ἔργον εἶναι τὰς Αθήνησιν ἐνδεδυμένας χάριτας· εἶτα φιλοσοφήσας διὰ τὸ ἀκοῦσαι Αναξαγόρου τοῦ Κλαζομενίου· εἶτα Δάμωνος· εἶτα Αρχελάου. ἐς δὲ ἄνδρας ἐλθὼν, ἐστρατεύσατο εἴς τε Αμφίπολιν καὶ Ποτίδαιαν, καὶ ἐπὶ Δηλίῳ. καὶ γαμεταῖς δὲ συνῴκησε δύο, Ξανθίππῃ (ἀφ' ἧς ἔσχεν υἱὸν Λαμπροκλέα) καὶ δευτέρᾳ Μυρτοῖ τῇ Αριστείδου τοῦ δικαίου θυγατρὶ, ἐξ ἧς ἐγένετο Σωφρονίσκος καὶ Μενέδημος ἢ Μενέξενος, ὡς ἔν τισι δοκεῖ. καὶ ἐπὶ μὲν τοῦ Πελοποννησιακοῦ γέγονεν, (ὡς τύπῳ εἰπεῖν) Ολυμπιάδι οζʹ· ἐβίωσε δὲ ἔτη πʹ. εἶτα ἀλογίᾳ, μᾶλλον δὲ ἀπονοίᾳ τῶν Αθηναίων βιασθεὶς πιὼν κώνειον, ἀπέθανε· ἔγγραφον οὐδὲν καταλιπὼν, ἢ ὥς τινες βούλονται, ὕμνον εἰς Απόλλωνα καὶ Αρτεμιν· καὶ μῦθον Αἰσώπειον δι' ἐπῶν. φιλοσόφους δὲ εἰργάσατο Πλάτωνα, καὶ Αρίστιππον Κυρηναῖον, Φαίδωνά τε Ηλεῖον, Αν-

ποθένῃ, Εὐκλείδῃ Μεγαρέα, Ξενοφῶντα Γρύλλȣ, Αἰσχίνῃ, Λυσανίαν, Κέβητα Θηβαῖον, Γλαύκωνα Ἀθηναῖον, Βρύσωνα Ἡρακλεώτῃ, Ἀλκιβιάδῃ, Κρίτόβουλον, Ξενομήδῃ, Ἀπολλόδωρον, Ἀθηναίοις· ἔπι δὲ Κρίτωνα, ϗ Σίμωνα εὐμαρῆ Φλιαίσιον, Σιμμίαν Θηβαῖον, Τερψίωνα Μεγαρικὸν, Εὐθυνον, Χαιρεφῶντα. δαιμόνιον δ' αὐτῷ προσομιλεῖν ἔλεγεν. ἐμάνθανε δὲ ϗ κιθαρίζειν παρὰ Κόνωνι, γέρων ἤδη ὤν, σκωφθεὶς δὲ τὸ Σόλωνος, ὀψιμαθὴς μᾶλλον εἶπεν ἢ ἀμαθής. τῶν νέων ὃ τὴν πλείστων, ἐρωτικῶς πρὸς αὐτὸν χόντων ἐφθονήθη. καὶ πρῶτος Ἀριστοφάνης τὰς νεφελὰς γράψας, ἐκωμῴδησεν αὐτὸν ὡς διαφθείροντα τοὺς νέους, καὶ ἄθεον ἐκάλει, διότι τὴν κύνα ϗ πλάτανον δι' ὑπερβολὴν δεισιδαιμονίας ὤμνυεν. ὕστερον δὲ Ἄνυτος ϗ Μέλιτος ἐπὶ τούτων ἔγραψαν αὐτὸν, καὶ εἷλον. ἐν τῷ τιμήματι δὲ αὐτὸν τῆς ἐν τῷ πρυτανείῳ σιτήσεως ἐτιμήσατο. οἱ δὲ θανάτου ἐτίμησαν.

ΖΕΝΟ-

ΞΕΝΟΦΩΝΤΟΣ
(a) ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ

Βιβλίον πρῶτον.

ΚΕΦ. α'.

ΠΟΛΛΑΚΙΣ ἐθαύμασα τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην, ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. ἡ μὲν γὰρ γραφὴ κατ' αὐτοῦ τοιάδε τις ἦν· ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει Θεοὺς, οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ δὲ, καὶ τοὺς νέους διαφθείρων.

β'. Πρῶτον μὲν οὖν, ὡς οὐκ ἐνόμιζεν οὓς ἡ πόλις νομίζει Θεοὺς, ποίῳ ποτ' ἐχρήσαντο τεκμηρίῳ; θύων τε γὰρ φανερὸς ἦν,

XENOPHONTIS
MEMORABILIUM

Liber Primus.

CAP. I.

SÆPENUMERO miratus sum, quibusnam rationibus accusatores Socratis Atheniensibus persuaserint, eum de civitate mortem meruisse. Nam accusatio instituta adversus eum, hujusmodi quædam fuit. Agit injuste Socrates, quod Deos non ducat, quos civitas ducit, alia vero nova numina introducat: Præterea injuste agit, quod & adolescentes corrumpat.

2. Primum igitur, quod Deos non duceret, quos civitas ducit, quo tandem argumento sunt usi? Etenim palam sacrificabat, sæpe

ἦν, πολλάκις μὲν οἴκοι, πολλάκις δὲ ἐπὶ τῶν κοινῶν τῆς πόλεως βωμῶν. καὶ μαντικῇ χρώμενος οὐκ ἀφανὴς ἦν. διετεθρύλητο γὰρ, ὡς φαίη Σωκράτης, τὸ δαιμόνιον ἑαυτῷ σημαίνειν· ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτὸν αἰτιάσασθαι, καινὰ δαιμόνια εἰσφέρειν.

γ΄. Ὁ δ' οὐδὲν καινότερον εἰσέφερε τῶν ἄλλων, ὅσοι μαντικὴν νομίζοντες, οἰωνοῖς τε χρῶνται, καὶ φήμαις, καὶ συμβόλοις, καὶ θυσίαις. οὗτοί τε γὰρ ὑπολαμβάνουσιν οὐ τοὺς ὄρνιθας, οὐδὲ τοὺς ἀπαντῶντας εἰδέναι τὰ συμφέροντα τοῖς μαντευομένοις, ἀλλὰ τοὺς θεοὺς διὰ τούτων αὐτὰ σημαίνειν· κἀκεῖνος οὕτως ἐνόμιζεν.

δ΄. Ἀλλ' οἱ μὲν πλεῖστοί φασιν ὑπό τε τῶν ὀρνίθων, καὶ τῶν ἀπαντώντων, ἀποτρέπεσθαί τε καὶ προτρέπεσθαι· Σωκράτης δ' ὥσπερ ἐγίγνωσκεν, οὕτως ἔλεγε. τὸ δαιμόνιον γὰρ ἔφη σημαίνειν, καὶ πολλοῖς τῶν ξυνόντων προηγόρευε τὰ μὲν ποιεῖν, τὰ δὲ μὴ ποιεῖν, ὡς τοῦ δαιμονίου προσημαίνοντος. καὶ τοῖς μὲν πειθομένοις αὐτῷ συνέφερε, τοῖς δὲ μὴ πειθομένοις μετέμελε.

ε΄. Καίτοι

quidem domi, sæpe communibus in aris civitatis. Nec divinatione clam utebatur. Erat enim pervulgatum, dicere Socratem, numen sibi hoc aut illud significare: quam maxime ob rem mihi videntur, de introductis novis numinibus illum accusasse.

3. At Socrates nihil magis novi introduxit, quam alii, qui divinationem esse statuentes, & auguriis & ominibus & præsagiis & sacrificiis utuntur. Existimant enim illi nec aves nec obviantes scire quid ex usu sit divinantibus, sed horum opera Deos significare: quod etiam putabat Socrates.

4. At vulgus quidem se ab avibus ac obviis vel dissuaderi vel persuaderi asserit. Socrates autem dicebat id quod & sentiebat. Aiebat enim numen omnia significare, multisque familiaribus prænunciabat, ut hæc facerent, omitterent illa, tanquam numine sibi ea prædicente. Et his qui ei parebant, conducebat, qui vero non, illos pœnitebat.

5. Quis

έ. Καίτοι τίς οὐκ ἂν ὁμολογήσειεν αὐτὸν βούλεσθαι μήτ᾽ ἠλίθιον μήτ᾽ ἀλαζόνα φαίνεσθαι τοῖς συνοῦσιν; ἐδόκει δ᾽ ἂν ἀμφότερα ταῦτα, εἰ προαγορεύων ὡς ὑπὸ Θεοῦ φαινόμενα, καὶ ψευδόμενος ἐφαίνετο. δῆλον οὖν ὅτι οὐκ ἂν προέλεγεν, εἰ μὴ ἐπίστευεν ἀληθεύσειν. ταῦτα δὲ τίς ἂν ἄλλῳ πιστεύσειεν, ἢ Θεῷ; πιστεύων δὲ Θεοῖς, πῶς οὐκ εἶναι Θεοὺς ἐνόμιζεν;

ς'. Ἀλλὰ μὴν ἐποίει καὶ τάδε πρὸς τοὺς ἐπιτηδείους. τὰ μὲν γὰρ ἀναγκαῖα συνεβούλευε καὶ πράττειν, ὡς ἐνόμιζεν ἄριστ᾽ ἂν πραχθῆναι· περὶ δὲ τῶν ἀδήλων, ὅπως ἂν ἀποβήσοιτο, μαντευσομένους ἔπεμπεν, εἰ ποιητέα.

ζ'. Καὶ τοὺς μέλλοντας οἴκους τε καὶ πόλεις οἰκήσειν, μαντικῆς ἔφη προσδεῖσθαι. τεκτονικὸν μὲν γὰρ, ἢ χαλκευτικὸν, ἢ γεωργικὸν, ἢ ἀνθρώπων ἀρχικὸν, ἢ τῶν τοιούτων ἔργων ἐξεταστικὸν, ἢ λογιστικὸν, ἢ οἰκονομικὸν, ἢ στρατηγικὸν γενέσθαι, πάντα τὰ τοιαῦτα μαθήματα, καὶ ἀνθρώπου γνώμῃ αἱρετέα ἐνόμιζεν εἶναι,

ή. Τὰ

5. Quis vero non fateatur, noluiſſe Socratem vel ſtolidum vel arrogantem apud eos videri, qui conſuetudine ipſius utebantur? Uterque certe videretur, ſi quid tanquam à Deo indicatum prænunciaſſet, ac palam mentitus eſſet. De quo patet eum nihil prædicturum fuiſſe, niſi vera ſe dicturum credidiſſet. Quis autem alteri fidem in his habeat, quam Deo? Jam qui Diis fidem habebat, quomodo Deos non eſſe putabat?

6. Enimvero faciebat hæc quoque ad familiares. Res neceſſarias agere conſulebat, quemadmodum ea fieri poſſe putabat optime. Verum de iis quorum incertus eſſet eventus, oracula conſultum mittebat ſuos, an ſuſcipienda eſſent.

7. Addebat eos qui præclare domos & urbes adminiſtraturi eſſent, arte divinandi egere. Namque ut ædificandi, aut fabricandi, aut agrum colendi, aut hominibus imperandi, aut hujuſmodi opera examinandi, aut rationes ineundi, aut rem domeſticam adminiſtrandi, aut exercitum ducendi quis peritus evadat, hujuſmodi omnia poſſe homines doctrina conſequi, ſuoque arbitratu eligere dicebat.

 8. Quæ

η'. Τὰ δὲ μέγιστα τῶν ἐν τούτοις ἔφη τοὺς Θεοὺς ἑαυτοῖς καταλείπεσθαι, ὧν οὐδὲν δῆλον εἶναι τοῖς ἀνθρώποις. οὔτε γὰρ τῷ καλῶς ἀγρὸν φυτευσαμένῳ δῆλον ὅστις καρπώσεται· οὔτε τῷ καλῶς οἰκίαν οἰκοδομησαμένῳ δῆλον, ὅστις οἰκήσει· οὔτε τῷ στρατηγῷ δῆλον, εἰ συμφέρει στρατηγεῖν· οὔτε τῷ πολιτικῷ δῆλον, εἰ συμφέρει τῆς πόλεως προστατεῖν· οὔτε τῷ καλὴν γήμαντι, ἵνα εὐφραίνηται, δῆλον, εἰ διὰ ταύτην ἀνιάσεται· οὔτε τῷ δυνατοὺς ἐν τῇ πόλει κηδεστὰς λαβόντι δῆλον, εἰ διὰ τούτους στερήσεται τῆς πόλεως.

θ'. Τοὺς δὲ μηδὲν τῶν τοιούτων οἰομένους εἶναι δαιμόνιον, ἀλλὰ πάντα τῆς ἀνθρωπίνης γνώμης, δαιμονᾶν ἔφη. δαιμονᾶν δὲ καὶ τοὺς μαντευομένους, ἃ τοῖς ἀνθρώποις ἔδωκαν οἱ Θεοὶ μαθοῦσι διακρίνειν· οἷον εἴ τις ἐπερωτῴη, πότερον ἐπιστάμενον ἡνιοχεῖν ἐπὶ ζεῦγος λαβεῖν κρεῖττον, ἢ μὴ ἐπιστάμενον· ἢ πότερον ἐπιστάμενον κυβερνᾶν ἐπὶ τὴν ναῦν κρεῖττον λαβεῖν, ἢ μὴ ἐπιστάμενον· ἢ ἃ ἔξεστιν ἀριθμήσαντας, ἢ μετρήσαντας, ἢ στήσαντας εἰδέναι, τοὺς τὰ τοιαῦτα παρὰ

τῶν

8. Quæ autem in his essent maxima, Deos sibi aiebat reservare, eorumq; nihil hominibus certum esse. Nec enim constat ei qui agrum pulchre conserit, quisnam fructum sit percepturus: nec qui pulchre domum ædificat, quis eam sit habitaturus: nec duci, an exercitum ducere expediat: nec perito rerum civilium, an ex usu futurum sit, ut civitati præsit: nec qui formosam ducit, ut lætetur, an propter hanc dolorem sensurus sit: nec qui potentes in civitate affines adeptus est, an propter hos civitate sit exulaturus.

9. Horum omnium si qui nihil ad numen referant, sed universa potius ad hominis consilium, furere dicebat. Itidem illos etiam aiebat furere, qui per divinationem explorarent ea de quibus discernendis data est hominibus discentibus à Diis facultas: veluti si quis consulat, utrum moderandi currus peritum an imperitum præstet in vehiculum recipere: vel gubernandi peritum in navem recipere præstet, an imperitum. Quæ item homines numerando, vel metiendo, vel ponderando scire possunt, ea

qui

τῶν Θεῶν πυνθανομένους ἀθέμιστα ποιεῖν ἡγεῖτο. ἔφη δὲ δεῖν, ἃ μὲν μαθόντας ποιεῖν ἔδωκαν οἱ Θεοί, μανθάνειν· ἃ δὲ μὴ δῆλα τοῖς ἀνθρώποις ἐστί, πειρᾶσθαι διὰ μαντικῆς παρὰ τῶν Θεῶν πυνθάνεσθαι· τοὺς Θεοὺς γὰρ οἷς ἂν ὦσιν ἵλεω σημαίνειν.

ι'. Ἀλλὰ μὴν ἐκεῖνός γε ἀεὶ μὲν ἦν ἐν τῷ φανερῷ· πρωΐ τε γὰρ εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ᾔει, καὶ πληθούσης ἀγορᾶς ἐκεῖ φανερὸς ἦν, καὶ τὸ λοιπὸν ἀεὶ τῆς ἡμέρας ἦν ὅπου πλείστοις μέλλοι συνέσεσθαι. καὶ ἔλεγε μὲν ὡς τὸ πολὺ, τοῖς δὲ βουλομένοις ἐξῆν ἀκούειν.

ια'. Οὐδεὶς δὲ πώποτε Σωκράτους οὐδὲν ἀσεβὲς, οὐδὲ ἀνόσιον, οὔτε πράττοντος εἶδεν, οὔτε λέγοντος ἤκουσεν. οὐδὲ γὰρ περὶ τῆς τῶν πάντων φύσεως ᾗπερ τῶν ἄλλων οἱ πλεῖστοι διελέγετο, σκοπῶν ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔφυ, καὶ τίσιν ἀνάγκαις ἕκαστα γίγνεται τῶν οὐρανίων. ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ τοιαῦτα μωραίνοντας ★ ἐπεδείκνυε.

ιβ'. Καὶ

qui à Diis quærerent, nefarie ducebat agere. Adeoque necesse esse dicebat, ut quæ homines discendo cognita facere Dii vellent, discantur: quæ vero sunt obscura hominibus, in iis conandum ut per divinationem Dii consulantur: nam significare Deos hæc illis quibus sint propitii.

10. Erat autem Socrates semper in propatulo. Nam mane ad loca deambulationibus & exercitiis destinata pergebat, & quum frequens erat forum, conspiciebatur in publico, reliquumque dici degebat istic, ubi versaturus inter plurimos esset. Differebat autem plerumque, omni vero volenti audire licebat.

11. Neque ullus unquam Socratem impii quidquam aut nefandi vel patrare vidit, vel audivit dicere. Nec enim de rerum omnium natura sic differebat, uti complures alii, nimirum considerans quo pacto is, qui à professoribus sapientiæ mundus appellatur, ortus sit: quibusque de causis necessariis singulæ res cœlestes fiant. Imo eos qui his rebus occuparentur, fatuos esse demonstrabat.

12. Ac

ιβ΄. Καὶ πρῶτον μὲν αὐτῶν ἐσκόπει, πότερά ποτε νομίσαντες ἱκανῶς ἤδη τἀνθρώπινα. εἰδέναι, ἔρχονται ἐπὶ τὸ περὶ τῶν τοιούτων φροντίζειν· ἢ τὰ μὲν ἀνθρώπινα παρέντες, τὰ δαιμόνια δὲ σκοποῦντες, ἡγοῦνται τὰ προσήκοντα πράττειν.

ιγ΄. Ἐθαύμαζε. δ' εἰ μὴ φανερὸν αὐτοῖς ἐστιν, ὅτι ταῦτα οὐ δυνατόν ἐστιν ἀνθρώποις εὑρεῖν· ἐπεὶ καὶ τοὺς μέγιστον φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν οὐ ταῦτα δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους.

ιδ΄. Τῶν τε γὰρ μαινομένων τοὺς μὲν οὐδὲ τὰ δεινὰ δεδιέναι, τοὺς δὲ καὶ τὰ μὴ φοβερὰ φοβεῖσθαι· καὶ τοῖς μὲν οὐδ' ἐν ὄχλῳ δοκεῖν αἰσχρὸν εἶναι λέγειν ἢ ποιεῖν ὁτιοῦν, τοῖς δὲ οὐκ ἐξιτητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν· καὶ τοὺς μὲν οὔθ' ἱερὸν, οὔτε βωμὸν, οὔτε ἄλλο τῶν θείων οὐδὲν τιμᾶν, τοὺς δὲ καὶ λίθους καὶ ξύλα τὰ τυχόντα καὶ θηρία σέβεσθαι. τῶν τε περὶ τῆς τῶν πάντων φύσεως μεριμνώντων τοῖς μὲν δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι,

12. Ac primum de eis hoc considerabat, an quod rati se humana jam satis intelligere, ad talia tractanda accederent: an relictis rebus humanis, divinas contemplantes, recte se agere putarent.

13. Mirabatur etiam quod non iis perspicuum esset, homines hæc invenire non posse. Nec enim ii, qui plurimum arrogent sibi, quod de his disserere norint, idem inter se sentiunt, sed furiosorum instar inter se comparati sunt.

14. Nam qui furiosi sunt, partim quæ sunt terribilia, non metuunt; partim etiam non metuenda metuunt. Itidem his non videri turpe esse, in turba quid vel dicere vel facere; aliis vero, ne exeundum quidem esse ad homines, videri: hos neque fanum, neque aram, neque rerum divinarum quidquam in honore habere; illos & lapides, & ligna quælibet, & belluas colere. Itidem eorum qui de rerum omnium natura sollicite inquirant aliis videri unum solum esse quod est,

aliis

τεῖν), τοῖς δ' ἄπειρα τὸ πλῆθος· καὶ τοῖς μὲν ἀεὶ κινεῖσθαι πάντα, τοῖς δ' οὐδὲν ἄν ποτε κινηθῆναι· καὶ τοῖς μὲν πάντα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι, τοῖς δ' οὔτ' ἂν φῦναί ποτε οὐδὲν, οὔτ' ἀπολέσθαι.

ιε'. Ἐσκόπει δὲ περὶ αὐτῶν καὶ τάδε· ἆρ' ὥσπερ οἱ τἀνθρώπεια μανθάνοντες, ἡγοῦνται τοῦθ' ὅ,τι ἂν μάθωσιν, ἑαυτοῖς τε καὶ τῶν ἄλλων ὅτῳ ἂν βούλωνται ποιήσειν· οὕτω καὶ οἱ τὰ θεῖα ζητοῦντες, νομίζουσιν, ἐπειδὰν γνῶσιν αἷς ἀνάγκαις ἕκαστα γίγνεται, ποιήσειν ὅταν βούλωνται, καὶ ἀνέμους, καὶ ὕδατα, καὶ ὥρας, καὶ ὅτου δ' ἂν ἄλλου δέωνται τῶν τοιούτων· ἢ τοιοῦτο μὲν οὐδὲν οὐδ' ἐλπίζουσιν, ἀρκεῖ δ' αὐτοῖς γνῶναι μόνον, ᾗ τῶν τοιούτων ἕκαστα γίγνεται. περὶ μὲν οὖν τῶν ταῦτα πραγματευομένων τοιαῦτα ἔλεγεν.

ιϛ'. Αὐτὸς δὲ περὶ τῶν ἀνθρωπείων ἀεὶ διελέγετο, σκοπῶν τί εὐσεβὲς, τί ἀσεβές· τί καλὸν, τί αἰσχρόν· τί δίκαιον, τί ἄδικον· τί σωφροσύνη, τί μανία· τί ἀνδρεία, τί δειλία· τί πόλις, τί πολιτικός· τί ἀρχὴ ἀνθρώπων, τί

aliis vero numero infinita: his omnia ſemper moveri; illis nihil unquam moveri: his omnia tum oriri tum interire; illis, nihil unquam aut ortum aut interire.

15. Præterea de his illud quoque conſiderabat, utrum perinde ac illi, qui res humanas diſcunt, arbitrantur hoc quod didicere, tum ſibi tum aliis, quibuſcunque velint, ſe facere poſſe; ſic & illi, qui res divinas inquirunt, arbitrentur ſe, poſteaquam cognoverint, quibus rationibus neceſſariis ſingula fiant, effecturos ubi velint, ventos, aquas, temporum viciſſitudines, aliaq; ſi quo ſit opus, his conſimilia. An ejuſmodi quiddam ne quidem ſperent, ſatiſq; habeant ſcire tantum, quo pacto rerum hujuſmodi ſingulæ fiant. De illis igitur, qui hæc tractarent, talia proferebat.

16. Ipſe de rebus humanis diſſerebat ſemper, conſiderans quid pium eſſet, quid impium: quid honeſtum, quid turpe: quid juſtum, quid injuſtum: quid mentis ſanitas, quid inſania: quid fortitudo, quid ignavia: quid civitas, quid rerum civilium peritus: quid imperium in homines,

τί ἀρχικὸς ἀνθρώπων· καὶ περὶ τῶν ἄλλων ἃ τοὺς μὲν εἰδότας ἡγεῖτο καλοὺς καὶ ἀγαθοὺς εἶναι, τοὺς δὲ ἀγνοοῦντας ἀνδραποδώδεις ἂν δικαίως κεκλῆσθαι.

ιζ'. Ὅσα μὲν οὖν μὴ φανερὸς ἦν ὅπως ἐγίγνωσκεν, οὐδὲν θαυμαστὸν ὑπὲρ τούτων περὶ αὐτοῦ παραγνῶναι τοὺς δικαστάς· ὅσα δὲ πάντες ᾔδεσαν, θαυμαστόν, εἰ μὴ τούτων ἐνεθυμήθησαν.

ιη'. Βουλεύσας γάρ ποτε, καὶ τὸν βουλευτικὸν ὅρκον ὀμόσας, ἐν ᾧ ἦν κατὰ τοὺς νόμους βουλεύσειν, ἐπιστάτης ἐν τῷ δήμῳ γενόμενος, ἐπιθυμήσαντος τοῦ δήμου παρὰ τοὺς νόμους (b) ἐννέα στρατηγοὺς μιᾷ ψήφῳ τοὺς ἀμφὶ Θράσυλον καὶ Ἐρασινίδην ἀποκτεῖναι πάντας, οὐκ ἠθέλησεν ἐπιψηφίσαι, ὀργιζομένου μὲν αὐτῷ τοῦ δήμου, πολλῶν δὲ καὶ δυνατῶν ἀπειλούντων· ἀλλὰ περὶ πλείονος ἐποιήσατο εὐορκεῖν, ἢ χαρίσασθαι τῷ δήμῳ παρὰ τὸ δίκαιον, καὶ φυλάξασθαι τοὺς ἀπειλοῦντας.

ιθ'. Καὶ γὰρ ἐπιμελεῖσθαι Θεοὺς ἐνόμιζεν ἀνθρώπων, οὐχ

ὃν

homines, quid hominibus imperandi peritus: itemque de rebus cæteris, quarum cognitione instructos arbitrabatur probos ac honestos viros esse: qui autem eas ignorarent, mancipia merito vocari.

17. Quapropter de quibus quid sentiret Socrates, non constabat, in iis de illo inique statuisse judices, mirum non est. Quæ autem sciebant omnes, mirum est, quod ea animo non conciperent.

18. Nam cum aliquando senator esset, ac sacramentum senatorium præstitisset, in quo hoc inferebatur, nempe ut secundum leges consilium agitaret, præses populi factus, petente contra leges populo novem prætores Thrasyli ac Erasinidæ collegas, omnes uno calculo morte multari, calculum suum noluit adjungere; quumque populus ei succenseret multique potentes minarentur: nihilominus pluris fecit sancte jurare, quam gratificari populo contra jus & fas, aliorumque minas evitare.

19. Etenim Deos putabat hominum curam gerere, alia quadam

ὃν τρόπον οἱ πολλοὶ νομίζουσιν. οὗτοι μὲν γὰρ οἴονται τοὺς θεοὺς τὰ μὲν εἰδέναι, τὰ δ' οὐκ εἰδέναι. Σωκράτης δὲ πάντα μὲν ἡγεῖτο θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρεῖναι, καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων.

κ'. Θαυμάζω οὖν ὅπως ποτὲ ἐπείσθησαν Ἀθηναῖοι Σωκράτην περὶ τοὺς θεοὺς μὴ σωφρονεῖν, τὸν ἀσεβὲς μὲν οὐδέν ποτε περὶ τοὺς θεοὺς οὔτ' εἰπόντα οὔτε πράξαντα, τοιαῦτα δὲ καὶ λέγοντα καὶ πράττοντα περὶ θεῶν, οἷά τις ἂν λέγων καὶ πράττων εἴη τε καὶ νομίζοιτο εὐσεβέστατος.

ΚΕΦ. β'.

Θαυμαστὸν δὲ φαίνεταί μοι καὶ τὸ πεισθῆναί τινας, ὡς Σωκράτης τοὺς νέους διέφθειρεν, ὃς (πρὸς τοῖς εἰρημένοις) πρῶτον μὲν ἀφροδισίων καὶ γαστρὸς πάντων ἀνθρώπων ἐγκρατέστατος ἦν· εἶτα πρὸς χειμῶνα καὶ θέρος,

dam ratione, quam vulgo existimetur. Nam plerique putant Deos quædam scire, quædam nescire. Socrates autem arbitrabatur, Deos omnia quæ vel dicerentur vel agerentur, vel clam deliberarentur, scire: eosdem ubique adesse, ac de rebus humanis omnia hominibus significare.

20. Quamobrem mirari subit, quo tandem pacto persuasi fuerint Athenienses, Socratem de rebus divinis non recte sentire, quum ille nihil unquam impii in Deos vel dixerit vel commiserit; sed potius sic & de iis locutus sit, & in eos se gesserit, ut siquis ea tum dicat tum faciat, sit ac putari debeat religiosissimus.

CAP. II.

Hoc quoque mirum mihi videtur, persuaderi quosdam potuisse, quod Socrates adolescentulos corrumperet, qui præter ea quæ dicta sunt, primo rerum venerearum, ac gulæ, supra omnes homines continentissimus erat: deinde hyemis, æstatis, laborum

θέρος, καὶ πάντας πόνους καρτερικώτατος· ἔτι δὲ πρὸς τὸ μετρίων δεῖσθαι πεπαιδευμένος οὕτως, ὥστε πάνυ μικρὰ κεκτημένος, πάνυ ῥᾳδίως ἔχειν ἀρκοῦντα.

β'. Πῶς οὖν αὐτὸς ὢν τοιοῦτος, ἄλλους ἂν ἢ ἀσεβεῖς, ἢ παρανόμους, ἢ λίχνους, ἢ ἀφροδισίων ἀκρατεῖς, ἢ πρὸς τὸ πονεῖν μαλακοὺς ἐποίησεν; ἀλλ' ἔπαυσε μὲν τούτων πολλοὺς, ἀρετῆς ποιήσας ἐπιθυμεῖν, καὶ ἐλπίδας παρασχὼν, ἂν ἑαυτῶν ἐπιμελῶνται, καλοὺς καὶ ἀγαθοὺς ἔσεσθαι.

γ'. Καίτοι γε οὐδὲ πώποτε ὑπέσχετο διδάσκαλος εἶναι τούτου, ἀλλὰ τῷ φανερὸς εἶναι τοιοῦτος ὢν, ἐλπίζειν ἐποίει τοὺς συνδιατρίβοντας ἑαυτῷ, μιμουμένους ἐκεῖνον, τοιούσδε γενήσεσθαι.

δ'. Ἀλλὰ μὴν καὶ τοῦ σώματος αὐτός τε οὐκ ἠμέλει, τούς τε ἀμελοῦντας οὐκ ἐπῄνει. τὸ μὲν οὖν ὑπερεσθίοντα ὑπερπονεῖν ἀπεδοκίμαζε, τὸ δὲ ὅσα ἡδέως ἡ ψυχὴ δέχεται, ταῦτα ἱκανῶς ἐκπονεῖν ἐδοκίμαζε. ταύτην γὰρ

rum omnium tolerantissimus: atque etiam sic ad mediocritatem institutus, ut quum valde modicum possideret, facillime contentus iis esset quæ habebat.

2. Quo igitur pacto, quum talis esset ipse, reddidit alios vel impios, vel legum violatores, vel luxuriosos, vel in rebus venereis incontinentes, vel molles ad perferendos labores? Imo vero multos ab his vitiis revocavit, utque virtutis essent studiosi, perfecit: etiam injecta spe, futurum, ut si sui ipsorum curam gererent, in viros probos ac fortes evaderent.

3. Neque tamen unquam hæc se docere velle profitebatur, sed quia constabat eum talem esse, in spem erigebat eos qui cum illo versabantur, futurum, ut si ipsum imitarentur, & ipsi tales evaderent.

4. Nec corpus quidem ipse suum negligenter curabat, ac si qui curarent negligenter, eos minime laudabat. Itaq; improbabat, si quis nimio cibo refertus labores immodicos susciperet, magisque probabat, si quod animus lubenter admisisset, id laborando conficeretur. Nam ejusmodi

τὴν ἕξιν ὑγιεινήν τε ἱκανῶς εἶναι, καὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν οὐκ ἐμποδίζειν ἔφη.

ε'. Ἀλλ' οὐ μὴν θρυπτικός γε, οὐδὲ ἀλαζονικὸς ἦν, οὔτ' ἀμπεχόνῃ, οὔθ' ὑποδέσει, οὔτε τῇ ἄλλῃ διαίτῃ. οὐ μὴν οὐδ' ἐρασιχρημάτους γε τοὺς συνόντας ἐποίει. τῶν μὲν γὰρ ἄλλων ἐπιθυμιῶν ἔπαυε, τοὺς δὲ ἑαυτοῦ ἐπιθυμοῦντας οὐκ ἐπράττετο χρήματα.

ς'. Τούτου δ' ἀπεχόμενος, ἐνόμιζεν ἐλευθερίας ἐπιμελεῖσθαι· τοὺς δὲ λαμβάνοντας τῆς ὁμιλίας μισθὸν, ἀνδραποδιστὰς ἑαυτῶν ἀπεκάλει, διὰ τὸ ἀναγκαῖον αὐτοῖς εἶναι διαλέγεσθαι παρ' ὧν ἂν λάβοιεν τὸν μισθόν.

ζ'. Ἐθαύμαζε δ' εἴ τις ἀρετὴν ἐπαγγελλόμενος, ἀργύριον πράττοιτο, καὶ μὴ νομίζοι τὸ μέγιστον κέρδος ἕξειν, φίλον ἀγαθὸν κτησάμενος, ἀλλὰ φοβοῖτο, μὴ ὁ γενόμενος καλὸς κἀγαθὸς τῷ τὰ μέγιστα εὐεργετήσαντι μὴ τὴν μεγίστην χάριν ἔχῃ.

η'. Σωκράτης δ' ἐπηγγείλατο μὲν οὐδενὶ πώποτε τοιοῦ-

τον

ejuſmodi habitum valetudini non parum conducere, ac animi ſtudiũ haudquaquam impedire aiebat.

5. Minime vero delicatus erat, aut oſtentandi ſe cupidus, ſive veſtitu, ſive calceatu, ſeu reliqua vitæ ratione: nec avaros quidem efficiebat eos qui cum ipſo verſabantur: nam & aliis à libidinibus eos revocabat, & à ſtudioſis ſui, pecuniam non exigebat.

6. Qua in re qui abſtinentes ſe oſtenderent, libertatem colere judicabat; qui autem converſationis cauſa mercedem caperent, ſuimet quoſdam quaſi plagiarios appellabat, propterea quod neceſſario diſſerere cogerentur apud eos à quibus mercedem acciperent.

7. Mirum ipſi videbatur, eum qui virtutem profiteretur, pecuniam exigere, neque maximum lucrum ducere, quod egregium amicum ſibi adjungeret; potius autem metuere, ne is qui probus & honeſtus vir factus eſſet, homini optime de ſe merito non etiam maximam gratiam haberet.

8. Socrates nemini unquam tale quid pollicebatur, ſed futurum

 credebat.

τον οὐδέν· ἐπίστευε δὲ τῶν ξυνόντων αὐτῷ τοὺς ἀποδεξαμένους ἅπερ αὐτὸς ἐδοκίμαζεν, εἰς τὸν πάντα βίον ἑαυτῷ τε καὶ ἄλλοις φίλους ἀγαθοὺς ἔσεσθαι. πῶς ἂν οὖν ὁ τοιοῦτος ἀνὴρ διαφθείρει τοὺς νέους, εἰ μὴ ἄρα ἡ τῆς ἀρετῆς ἐπιμέλεια διαφθορά ἐστιν.

θ'. Ἀλλὰ νὴ Δία (ὁ κατήγορος ἔφη) ὑπερορᾶν ἐποίει τῶν καθεστώτων νόμων τοὺς συνόντας, λέγων ὡς μωρῶν εἴη τοὺς μὲν τῆς πόλεως ἄρχοντας ἀπὸ κυάμου καθίστασθαι, κυβερνήτῃ δὲ μηδένα θέλειν κεχρῆσθαι κυαμευτῷ, μηδὲ τέκτονι μηδ' αὐλητῇ, μηδ' ἐπ' ἄλλα τοιαῦτα, ἃ πολλῷ ἐλάττονας βλάβας ἁμαρτανόμενα ποιεῖ τῶν περὶ τὴν πόλιν ἁμαρτανομένων. τοὺς δὲ τοιούτους λόγους ἐπαίρειν ἔφη τοὺς νέους καταφρονεῖν τῆς καθεστώσης πολιτείας, καὶ ποιεῖν βιαίους.

ι'. Ἐγὼ δ' οἶμαι τοὺς φρόνησιν ἀσκοῦντας, καὶ νομίζοντας ἱκανοὺς ἔσεσθαι τὰ συμφέροντα διδάσκειν τοὺς πολίτας, ἥκιστα γίγνεσθαι βιαίους, εἰδότας ὅτι τῇ μὲν βίᾳ πρόσεισιν ἔχθραι καὶ κίνδυνοι,

credebat, ut qui de numero familiarium suorum amplexi fuissent ea quæ probabat ipse, toto vitæ tempore tum sibi tum aliis insignes amici essent. Quo igitur modo vir talis juvenes corrumperet? nisi forte virtutis studium corruptelam quis esse putat.

9. At profecto, dixit Accusator, familiares suos tales effecit, ut leges receptas contemnerent; quum diceret, stultorum esse hominum, magistratus civitatis à faba constitui; quando nemo fabario velit uti navium gubernatore, neque fabro, neque tibicine, neque aliis in rebus talibus, in quibus si erretur, multo minora detrimenta capiantur, quam si peccetur in republica. Tales ille sermones efferre juvenum animos aiebat, ut præsentem reipublicæ statum contemnerent, eosdemque violentos reddere.

10. Verum ego arbitror, eos qui prudentiam exercent, seque putant posse cives ea docere quæ expediant, minime violentos fieri: quippe qui sciant, cum violentia quidem inimicitias & pericula conjuncta

κίνδυνοι, διὰ δὲ τοῦ πείθειν ἀκινδύνως τε καὶ μετὰ φιλίας ταῦτα γίγνεται. οἱ μὲν γὰρ βιασθέντες, ὡς ἀφαιρεθέντες, μισοῦσιν· οἱ δὲ πεισθέντες, ὡς κεχαρισμένοι, φιλοῦσιν. οὔκουν τῶν φρόνησιν ἀσκούντων τὸ βιάζεσθαι, ἀλλὰ τῶν ἰσχὺν ἄνευ γνώμης ἐχόντων τὰ τοιαῦτα πράττειν ἐστίν.

ια΄. Ἀλλὰ μὴν καὶ συμμάχων ὁ μὲν βιάζεσθαι τολμῶν δέοιτ' ἂν οὐκ ὀλίγων, ὁ δὲ πείθειν δυνάμενος, οὐδενός. καὶ γὰρ μόνος ἡγοῖτ' ἂν δύνασθαι πείθειν. καὶ φονεύειν δὲ τοῖς τοιούτοις ἥκιστα συμβαίνει. τίς γὰρ ἀποκτεῖναί τινα βούλοιτ' ἂν μᾶλλον, ἢ ζῶντι πειθομένῳ χρῆσθαι;

ιβ΄. Ἀλλ', ἔφη γε ὁ κατήγορος, Σωκράτει ὁμιλητὰ γενομένω Κριτίας τε καὶ Ἀλκιβιάδης, πλεῖστα κακὰ τὴν πόλιν ἐποιησάτην. Κριτίας μὲν γὰρ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πάντων πλεονεκτίστατός τε καὶ βιαιότατος ἐγένετο· Ἀλκιβιάδης δὲ αὖ τῶν ἐν τῇ δημοκρατίᾳ πάντων ἀκρατέστατος, καὶ ὑβριστότατος, καὶ βιαιότατος.

ιγ΄. Ἐγὼ

conjuncta esse, hæc autem posse fieri absque omni periculo, & cum amicitia, persuadendo: nam qui vi coguntur, ita oderunt, ut quibus aliquid ademtum sit: at qui persuadentur, quasi quibus grata res acciderit, etiam amant: quamobrem horum minime est qui prudentiam exercent, vim inferre: sed illorum qui vires habent absque consilio.

11. Præterea siquis violenter audeat agere, non paucis egebit sociis: qui vero persuadere potest, nullo: nam solum se putat ad persuadendum satis valere: quinetiam ejusmodi hominibus minime accidit ut quenquam occidant: quis enim interficere velit aliquem potius, quam vivum obsequentem habere?

12. At vero, dicebat accusator, usi consuetudine Socratis Critias & Alcibiades, maximis malis civitatem affecerunt. Nam Critias quidem paucorum in dominatu longe omnium avarissimus & violentissimus fuit: Alcibiades autem longe omnium in statu populari fuit intemperantissimus, & petulantissimus, & violentissimus.

13. Equi-

ιγ'. Ἐγὼ δ' εἰ μέν τι κακὸν ἐκείνω τὴν πόλιν ἐποιησάτην, οὐκ ἀπολογήσομαι· τὴν δὲ πρὸς Σωκράτην συνουσίαν αὐτοῖν, ὡς ἐγένετο, διηγήσομαι.

ιδ'. Ἐγενέσθην μὲν γὰρ δὴ τὼ ἄνδρε τούτω φύσει φιλοτιμοτάτω πάντων Ἀθηναίων, βουλομένω τε πάντα δι' ἑαυτῶν πράττεσθαι, καὶ πάντων ὀνομαστοτάτω γενέσθαι, ᾔδεσαν δὲ, Σωκράτην ἀπ' ἐλαχίστων μὲν χρημάτων αὐταρκέστατα ζῶντα, τῶν ἡδονῶν δὲ πασῶν ἐγκρατέστατον ὄντα, τοῖς δὲ διαλεγομένοις αὐτῷ πᾶσι χρώμενον ἐν τοῖς λόγοις ὅπως βούλοιτο.

ιε'. Ταῦτα δὲ ὁρῶντε, καὶ ὄντε οἵω προειρήσθον, πότερόν τις αὐτὼ φῇ τοῦ βίου τοῦ Σωκράτους ἐπιθυμήσαντε, καὶ τῆς σωφροσύνης, ἣν ἐκεῖνος εἶχεν, ὀρέξασθαι τῆς ὁμιλίας αὐτοῦ, ἢ νομίσαντε, εἰ ὁμιλησάτην ἐκείνῳ, γενέσθαι ἂν ἱκανωτάτω λέγειν τε καὶ πράττειν;

ιϛ'. Ἐγὼ μὲν γὰρ ἡγοῦμαι, Θεοῦ διδόντος αὐτοῖν, ἢ ζῆν ὅλον τὸν βίον, ὥσπερ ζῶντα Σωκράτην ἑώρων, ἢ τεθνά-

13. Equidem si quo damno civitatem hi duo affecerunt, non excusabo: quæ autem fuerit utriusque cum Socrate consuetudo, commemoraturus sum.

14. Fuerunt hi viri natura longe omnium Atheniensium ambitiosissimi, & qui cuperent omnia per se geri, omniumque clarissimi evadere: norunt autem, minimis facultatibus Socratem plane contentum vivere, cunctisque à voluptatibus se prorsus abstinere: denique illos, quibuscum dissereret, in colloquiis ita flectere, prout ipse vellet.

15. Quæ quum illi viderent, ac tales essent, quales fuisse ante referebamus, an quis dicat, eos cupidos vitæ modestiæque Socraticæ, consuetudinem ipsius expetivisse: an potius quod existimarent, se, si cum ipso versarentur, futuros & ad dicendum, & ad gerendas res promptissimos?

16. Arbitror equidem, si Deus optionem utrique dedisset, ut vel totam vitam sic viverent, quemadmodum Socratem viderent vivere, vel

τεθνάναι, ἑλέσθαι ἂν αὐτὼ μᾶλλον τεθνάναι. δήλω δ' ἐγενέσθην ἐξ ὧν ἐπραξάτην. ὡς γὰρ τάχιστα κρείττονε τῶν συγγινομένων ἡγησάσθην εἶναι, εὐθὺς ἀποπηδήσαντε Σωκράτους, ἐπραττέτην τὰ πολιτικὰ, ὧνπερ ἕνεκα Σωκράτους ὠρεχθήτην.

ιζ΄. Ἴσως οὖν εἴποι τις ἂν πρὸς ταῦτα, ὅτι χρῆν τὸν Σωκράτην, μὴ πρότερον τὰ πολιτικὰ διδάσκειν τοὺς συνόντας, ἢ σωφρονεῖν. ἐγὼ δὲ πρὸς τοῦτο μὲν οὐκ ἀντιλέγω· πάντας δὲ τοὺς διδάσκοντας ὁρῶ αὐτοὺς δεικνύντας τε τοῖς μανθάνουσιν ᾗπερ αὐτοὶ ποιοῦσιν, ἃ διδάσκουσι, καὶ τῷ λόγῳ προσβιβάζοντας.

ιη΄. Οἶδα δὲ καὶ Σωκράτην δεικνύντα τοῖς ξυνοῦσιν ἑαυτὸν καλὸν κἀγαθὸν ὄντα, καὶ διαλεγόμενον κάλλιστα περὶ ἀρετῆς, καὶ τῶν ἄλλων ἀνθρωπίνων. οἶδα δὲ κἀκείνω σωφρονοῦντε, ἔς τε Σωκράτει συνήστην, οὐ φοβουμένω μὴ ζημιοῖντο ἢ παίοιντο ὑπὸ Σωκράτους, ἀλλ' οἰομένω τότε κράτιστον εἶναι τοῦτο πράττειν.

ιθ΄. Ἴσως

vel morerentur, potius mortem fuisse electuros: ex iis autem rebus, quas gessere, cogniti fuerunt. Nam ubi primum arbitrabantur, se condiscipulis præstantiores esse, statim à Socrate resilierunt, remque publicam gerendam susceperunt, cujus gratia Socratis studiosi fuerant.

17. Fortasse quis ad hæc responderit, debuisse Socratem, non prius familiares suos in rerum civilium scientia instituere, quam modestiam illi didicissent. Ego vero nihil ad hoc contradico: video tamen omnes eos, qui docent, seipsos discipulis exhibere, quo pacto præstent ipsi, quod docent, atque etiam eos oratione impellere.

18. Novi Socratem quoque seipsum virum probum & bonum familiaribus suis exhibuisse, deque virtute ac rebus humanis cæteris, præclarissime disseruisse. Necnon illos duos novi modeste se gessisse, quam quidem diu Socratis utebantur familiaritate: non quod vererentur ne à Socrate vel multarentur vel cæderentur; sed quod putarent id temporis, hoc sibi maxime ex usu esse.

19. Fortassis

ιθ'. Ἴσως οὖν εἴποιεν ἂν πολλοὶ τῶν φασκόντων φιλοσοφεῖν, ὅτι οὐκ ἄν ποτε ὁ δίκαιος, ἄδικος γένοιτο, οὐδὲ ὁ σώφρων, ὑβριστής· οὐδὲ ἄλλο οὐδὲν ὧν μάθησίς ἐστιν, ὁ μαθὼν ἀνεπιστήμων ἄν ποτε γένοιτο. ἐγὼ δὲ περὶ τούτων οὐχ οὕτω γιγνώσκω. ὁρῶ γὰρ, ὥσπερ τὰ τοῦ σώματος ἔργα τοὺς μὴ τὰ σώματα ἀσκοῦντας οὐ δυναμένους ποιεῖν, οὕτω καὶ τὰ τῆς ψυχῆς ἔργα τοὺς μὴ τὴν ψυχὴν ἀσκοῦντας οὐ δυναμένους. οὔτε γὰρ ἃ δεῖ πράττειν, οὔτε ὧν δεῖ ἀπέχεσθαι, δύνανται.

κ'. Διὸ καὶ τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, εἴργουσιν ἀπὸ τῶν πονηρῶν ἀνθρώπων ὅμως, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν τῆς ἀρετῆς, τὴν δὲ τῶν πονηρῶν, κατάλυσιν. μαρτυρεῖ δὲ καὶ (c) τῶν ποιητῶν ὅ,τε λέγων,

Ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ διδάξεαι· ἢν δὲ κακοῖσι
Συμμιχθῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

καὶ ὁ λέγων,

Αὐτὰρ

19. Fortaſſis autem plerique illorum, qui philoſophari ſe profitentur, dixerint, juſtum hominem nunquam injuſtum fieri, neque ex modeſto petulantem; neque in quoquam illorum, quæ diſcendo percipiuntur, eum, qui didicit, indoctum poſſe fieri. Verum ego de his non ita ſentio. Video enim, perinde atque corporis actiones ab iis ſuſcipi non poſſunt, qui corpora non exercent: ſic etiam actiones animi non poſſe ab iis perfici, qui animum non exerceant. Nec enim quæ oportet facere, nec à quibus oportet abſtinere, poſſunt.

20. Quamobrem & parentes filios ſuos, tametſi modeſti ſint, nihilominus ab improbis hominibus arceant: quippe quod bonorum conſuetudo, virtutis exercitatio ſit; malorum autem, ejuſdem exitium. Idem teſtatur Poetarum ille qui ait,

Juſti juſta docent, ſed ſi verſaberis inter
Pravos, amittes quod tibi mentis adeſt.

& qui ait:

Vir

Αὐτὰρ ἀνὴρ ἀγαθὸς, τοτὲ μὲν κακὸς, ἄλλοτε δ' ἐσθλός.

κα'. Κἀγὼ δὲ μαρτυρῶ τούτοις. ὁρῶ γὰρ, ὥσπερ τῶν ἐν μέτρῳ πεποιημένων ἐπῶν τοὺς μὴ μελετῶντας ἐπιλανθανομένους, οὕτω καὶ τῶν διδασκαλικῶν λόγων τοῖς ἀμελοῦσι λήθην ἐγγιγνομένην· ὅταν δὲ τῶν νουθετικῶν λόγων ἐπιλάθηταί τις, ἐπιλέλησται καὶ ὧν ἡ ψυχὴ πάσχουσα τῆς σωφροσύνης ἐπεθύμει· τούτων δὲ ἐπιλαθόμενον οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι.

κβ'. Ὁρῶ δὲ καὶ τοὺς εἰς φιλοποσίαν προαχθέντας, καὶ τοὺς εἰς ἔρωτας ἐκκυλισθέντας, ἧττον δυναμένους τῶν τε δεόντων ἐπιμελεῖσθαι, καὶ τῶν μὴ δεόντων ἀπέχεσθαι. πολλοὶ γὰρ καὶ χρημάτων δυνάμενοι φείδεσθαι, πρὶν ἐρᾶν, ἐρασθέντες οὐκέτι δύνανται· καὶ τὰ χρήματα καταναλώσαντες, ὧν πρόσθεν ἀπείχοντο κερδῶν, αἰσχρὰ νομίζοντες εἶναι, τούτων οὐκ ἀπέχονται.

κγ'. Πῶς

Vir bonus interdum male, mox bene se gerit idem.

21. Equidem hæc ipſe teſtor. Video enim quod perinde ac illi, qui ſe non exercent, carminum certa lege compoſitorum obliviſcuntur: ſic & præceptorum oblivio in iis naſcatur, qui negligentes ſunt. Quum autem aliquis bonorum præceptorum obliviſcitur, eorum etiam oblitus eſt, quibus dum afficitur animus, modeſtiam appetit. Eum vero qui horum obliviſcitur, mirum non eſt, ipſius etiam obliviſci modeſtiæ.

22. Video etiam, illos qui ad potandi ſtudium plus æquo provecti ſunt, & ad amores effuſi, minus poſſe & ea curare, quæ agenda ſunt, & ab iis abſtinere, quæ non ſunt agenda. Nam multi, qui etiam pecuniis parcere prius poterant, quam amarent, in amorem prolapſi jam non amplius id poſſunt: abſumtiſque pecuniis, ab iis lucris, à quibus ante ſe continebant, quippe quæ turpia ducerent, abſtinere nequeunt.

κγ΄. Πῶς οὖν οὐκ ἐνδέχεται σωφρονήσαντα πρόσθεν, αὖθις μὴ σωφρονεῖν, καὶ δίκαια δυνηθέντα πράττειν, αὖθις ἀδυνατεῖν; πάντα μὲν οὖν ἔμοιγε δοκεῖ τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἀσκητὰ εἶναι, οὐχ ἥκιστα δὲ σωφροσύνη. ἐν τῷ γὰρ αὐτῷ σώματι συμπεφυτευμέναι τῇ ψυχῇ αἱ ἡδοναὶ πείθουσιν αὐτὴν μὴ σωφρονεῖν, ἀλλὰ τὴν ταχίστην ἑαυταῖς τε καὶ σώματι χαρίζεσθαι.

κδ΄. Καὶ Κριτίας δή, καὶ Ἀλκιβιάδης, ἕως μὲν Σωκράτει συνήστην, ἐδυνάσθην ἐκείνῳ χρωμένω συμμάχῳ, τῶν μὴ καλῶν ἐπιθυμιῶν κρατεῖν· ἐκείνου δ' ἀπαλλαγέντε, Κριτίας μὲν φυγὼν εἰς Θετταλίαν, ἐκεῖ συνῆν ἀνθρώποις ἀνομίᾳ μᾶλλον ἢ δικαιοσύνῃ χρωμένοις· Ἀλκιβιάδης δ' αὖ διὰ μὲν κάλλος ὑπὸ πολλῶν καὶ σεμνῶν γυναικῶν θηρώμενος, διὰ δύναμιν δὲ τὴν ἐν τῇ πόλει καὶ τοῖς συμμάχοις, ὑπὸ πολλῶν καὶ δυνατῶν κολακεύειν ἀνθρώπων διαθρυπτόμενος, ὑπὸ δὲ τοῦ δήμου τιμώμενος, καὶ ῥᾳδίως πρωτεύων, ὥσπερ οἱ τῶν γυμνι-

23. Cur igitur fieri non possit, ut qui ante modestus fuerit, deinde non sit modestus; & qui juste agere potuerit, deinde non possit? Equidem omnia bona & honesta comparari exercitatione posse statuo, nec minime quidem modestiam. Nam in eodem corpore voluptates animo insitæ persuadēt ei, ne modeste se gerat, sed quam primū & ipsis & corpori gratificetur.

24. Quamobrem etiam Critias & Alcibiades, quamdiu cum Socrate versabantur, quod illum opitulatorem haberent, cupiditates inhonestas vincere poterant: verum posteaquam ab eo discessissent, Critias quidem, quum in Thessaliam fuga se recepisset, consuetudine hominum istic utebatur, qui vitam facinorosam potius quam justam agerent: Alcibiades autem, posteaquam eum, ob elegantiam formæ, multæ ac speciosæ mulieres venatæ essent, atque ipse propter potentiā, quam & in urbe & apud socios obtinebat, à multis hominibus, iisdemq; assentandi peritis, dissolutior fieret, & à populo honorem ei habente coleretur, facileque primas

γυμνικῶν ἀγώνων ἀθληταὶ ῥᾳδίως πρωτεύοντες ἀμελοῦσι τῆς ἀσκήσεως, οὕτω κἀκεῖνος ἠμέλησεν αὐτοῦ.

κε'. Τοιούτων δὲ συμβάντων αὐτοῖν, καὶ ὠγκωμένω μὲν ἐπὶ γένει, ἐπηρμένω δ' ἐπὶ πλούτῳ, πεφυσημένω δ' ἐπὶ δυνάμει, διατεθρυμμένω δὲ ὑπὸ πολλῶν ἀνθρώπων, ἐπὶ δὲ πᾶσι τούτοις διεφθαρμένω, καὶ πολὺν χρόνον ἀπὸ Σωκράτους γεγονότε, τί θαυμαστὸν εἰ ὑπερηφάνω ἐγενέσθην;

κϛ'. Εἶτα εἰ μέν τι ἐπλημμελησάτην, τούτου Σωκράτην ὁ κατήγορος αἰτιᾶται· ὅτι δὲ νέω ὄντε αὐτὼ, ἡνίκα καὶ ἀγνωμονεστάτω καὶ ἀκρατεστάτω εἰκὸς εἶναι, Σωκράτης παρέσχε σώφρονε, οὐδενὸς ἐπαίνου δοκεῖ τῷ κατηγόρῳ ἄξιος εἶναι; οὐ μὴν τά γε ἄλλα οὕτω κρίνεται.

κζ'. Τίς μὲν γὰρ αὐλητὴς, τίς δὲ καὶ κιθαριστὴς, τίς δὲ ἄλλος διδάσκαλος ἱκανοὺς ποιήσας τοὺς μαθητὰς, ἐὰν πρὸς ἄλλους ἐλθόντες χείρους φανῶσιν, αἰτίαν ἔχει τούτου; τίς

mas obtineret; perinde ac athletæ, qui gymnicis in certaminibus facile primas adepti ſunt, exercitationem negligunt; ſic & ipſe ſeipſum neglexit.

25. Hujuſmodi ergo res quum illis accidiſſent, quum ob generis nobilitatem intumuiſſent, elati eſſent propter opes, inflati propter potentiam, diſſolutiores multorum hominum opera facti, & his adeo omnibus corrupti; quum etiam longo tempore abfuiſſent à Socrate, quid mirum erat, eos inſolentes evaſiſſe?

26. Deinde ſi quid ab his peccatum eſt, ejus culpam accuſator in Socratem confert: quod autem eos adhuc adoleſcentes, qua ætate conſentaneum eſt, maxime contumaces & intemperantiſſimos fuiſſe, Socrates modeſtos reddiderit, id nulla dignum laude putat accuſator? atqui eo modo de aliis non judicatur.

27. Quis tibicen, quis citharædus, quis magiſter alius, poſteaquã diſcipulos idoneè ſatis inſtituit, ſi deinde ad alios profecti pejores evaſerint, culpam ejus rei ſuſtinet? Quis

τίς δὲ πατὴρ, ἐὰν ὁ παῖς αὐτοῦ συνδιατρίβων τῳ, σώφρων ᾖ, ὕστερον δὲ ἄλλῳ τῳ συγγενόμενος, πονηρὸς γένηται, τὸν πρόσθεν αἰτιᾶται, ἀλλ' οὐχ ὅσῳ ἂν παρὰ τῷ ὑστέρῳ χείρων φαίνηται, τοσούτῳ μᾶλλον ἐπαινεῖ τὸν πρότερον; ἀλλ' οἵγε πατέρες αὐτοῖς συνόντες τοῖς υἱέσι, τῶν παίδων πλημμελούντων, οὐκ αἰτίαν ἔχουσιν, ἐὰν αὐτοὶ σωφρονῶσιν.

κη'. Οὕτω δὲ καὶ Σωκράτην δίκαιον ἦν κρίνειν. εἰ μὲν αὐτὸς ἐποίει τι φαῦλον, εἰκότως ἂν ἐδόκει πονηρὸς εἶναι. εἰ δ' αὐτὸς σωφρονῶν διετέλει, πῶς ἂν δικαίως τῆς οὐκ ἐνούσης αὐτῷ κακίας αἰτίαν ἔχοι; ἀλλ' εἰ καὶ μηδὲν αὐτὸς πονηρὸν ποιῶν, ἐκείνους φαῦλα πράττοντας ὁρῶν ἐπῄνει, δικαίως ἂν ἐπετιμᾶτο.

κθ'. Κριτίαν μὲν τοίνυν αἰσθανόμενος ἐρῶντα Εὐθυδήμου, καὶ πειρῶντα χρῆσθαι καθάπερ οἱ πρὸς τὰ ἀφροδίσια τῶν σωμάτων ἀπολαύοντες, ἀπέτρεπε, φάσκων ἀνελεύθερόν τε εἶναι καὶ οὐ πρέπον ἀνδρὶ καλῷ κἀγαθῷ, τὸν ἐρώμενον,

Quis pater, si filius ejus cum aliquo vivens, modestus sit, deinde alterius usus consuetudine pravus efficiatur, priorem culpet? ac non tanto magis priorem laudet, quanto filius apud posteriorem pejor evadit? quin ne parentes quidem, quum filios secum habent, filiis delinquentibus culpam ullam merentur, modo ipsi modeste se gerant.

28. Sic æquum erat etiam de Socrate judicium fieri: siquid ipse rei turpis agebat, merito malus esse videbatur: at si constanter summam continentiam coluit, qui fieri potest, ut jure culpam ejus vitii sustineat, quod in ipso non erat? quinetiam si nihil ipse delinquens, illos tamen vitiose se gerentes aspiciens, laudabat, jure scilicet reprehendebatur.

29. At vero quum Critiam Euthydemi amore captum, eoque non aliter atque illi qui corporibus ad venerem abutuntur, frui velle animadverteret, dehortatus est, quum illiberale esse diceret, neque decorum viro probo & honesto, ab amato, apud quem

μενον, ᾧ βούλεται πολλοῦ ἄξιος φαίνεσθαι, προσαιτεῖν ὥσπερ τοὺς πτωχούς, ἱκετεύοντα καὶ δεόμενον προσδοῦναι, καὶ ταῦτα μηδενὸς ἀγαθοῦ.

λ'. Τοῦ δὲ Κριτίου τοῖς τοιούτοις οὐχ ὑπακούοντος, οὐδὲ ἀποτρεπομένου, λέγεται τὸν Σωκράτην, ἄλλων τε πολλῶν παρόντων καὶ τοῦ Εὐθυδήμου, εἰπεῖν ὅτι ὑϊκὸν δοκοίη πάσχειν ὁ Κριτίας, ἐπιθυμῶν Εὐθυδήμῳ προσκνᾶσθαι, ὥσπερ τὰ ὑΐδια τοῖς λίθοις.

λα'. Ἐξ ὧν δὴ καὶ ἐμίσει τὸν Σωκράτην ὁ Κριτίας, ὥστε καὶ ὅτε τῶν τριάκοντα ὢν νομοθέτης μετὰ Χαρικλέους ἐγένετο, ἀπεμνημόνευσεν αὐτῷ, καὶ ἐν τοῖς νόμοις ἔγραψε, λόγων τέχνην μὴ διδάσκειν, ἐπηρεάζων ἐκείνῳ, καὶ οὐκ ἔχων ὅπῃ ἐπιλάβοιτο, ἀλλὰ τὸ κοινῇ τοῖς φιλοσόφοις ὑπὸ τῶν πολλῶν ἐπιτιμώμενον ἐπιφέρων αὐτῷ, καὶ διαβάλλων πρὸς τοὺς πολλούς. οὔτε γὰρ ἔγωγε οὔτε αὐτὸς τοῦτο πώποτε Σωκράτους ἤκουσα, οὔτ' ἄλλου φάσκοντος ἀκηκοέναι ᾐσθόμην. ἐδήλωσε δέ.

λβ'. Ἐπεὶ

quem esse magno velit in pretio, aliquid pauperum instar mendicare ac supplicare, darique sibi quippiam petere, quod ne quidem bonum sit.

30. Quibus quum Critias non obediret, neque se averti pateretur, dixisse Socratem perhibent, cum aliis multis præsentibus, tum Euthydemo, accidisse suinum quiddam Critiæ, qui concupiscat ad Euthydemum se affricare, quemadmodum porcelli soleant ad saxa.

31. Quibus de causis usque adeo Socratem Critias oderat, ut quum Trigintavirum unus esset, & cum Charicle legum-lator factus esset, hoc ipsum in memoriam ei revocarit, atque in legibus proscripserit, tradi artem eloquentiæ non debere, Socrati nimirum obtrectans, & quum ansam reprehendendi non haberet, torquens in eum, & apud multitudinem criminans id quod vulgo in Philosophis reprehenditur. Etenim ego de Socrate nunquam ipse tale aliquid audivi, neq; de alio commemorante, quod audierit, comperi. Sed Critias tamen hoc manifesto prodidit.

32. Quippe

λβ΄. Ἐπεὶ γὰρ οἱ τριάκοντα πολλοὺς μὲν τῶν πολιτῶν καὶ οὐ τοὺς χειρίστους ἀπέκτεινον, πολλοὺς δὲ προετρέποντο ἀδικεῖν, εἶπέ που ὁ Σωκράτης, ὅτι θαυμαστόν οἱ δοκεῖ εἶναι, εἴ τις γενόμενος βοῶν ἀγέλης νομεύς, καὶ τὰς βοῦς ἐλάττους τε καὶ χείρους ποιῶν, μὴ ὁμολογοίη κακὸς βουκόλος εἶναι· ἔτι δὲ θαυμαστότερον, εἴ τις προστάτης γενόμενος πόλεως, καὶ ποιῶν τοὺς πολίτας ἐλάττους καὶ χείρους, μὴ αἰσχύνοιτο, μηδ᾽ οἴοιτο κακὸς εἶναι προστάτης τῆς πόλεως.

λγ΄. Ἀπαγγελθέντος δὲ αὐτοῖς τούτου, καλέσαντες ὅ,τε Κριτίας καὶ ὁ Χαρικλῆς τὸν Σωκράτην, τόν τε νόμον ἐδεικνύτην αὐτῷ, καὶ τοῖς νέοις ἀπειπέτην μὴ διαλέγεσθαι. ὁ δὲ Σωκράτης ἐπήρετο αὐτώ, εἰ ἐξείη πυνθάνεσθαι εἴ τι ἀγνοοῖτο τῶν προηγορευμένων. τὼ δὲ φάτην.

λδ΄. Ἐγὼ τοίνυν (ἔφη) παρεσκεύασμαι μὲν πείθεσθαι τοῖς νόμοις· ὅπως δὲ μὴ δι᾽ ἄγνοιαν λάθω τι παρανομήσας, τοῦτο βούλομαι σαφῶς μαθεῖν παρ᾽ ὑμῶν, πότερον τὴν τῶν λόγων τέχνην σὺν τοῖς ὀρθῶς λεγομένοις εἶναι νομίζοντες,

32. Quippe quum Trigintaviri complures cives, eosque non infimos, interfecissent, multosque ad injuste agendum impellerent: dixit forte Socrates, mirum videri sibi, si bubulcus quispiam, qui vaccas cum pauciores tum deteriores reddat, non malum se bubulcum esse fateatur: sed hoc magis mirum, si quis præses civitatis factus, & cives pauciores deterioresque reddens, non erubescat, neque malum se civitatis præfectum esse putet.

33. Quod quum ad eos renunciatum esset, arcessito Socrati Critias & Charicles non solum legem ostendunt, verumetiam ne cum adolescentibus colloqueretur, interdicunt. At Socrates interrogabat eos, ecquid in interdictis, quod non intelligeretur, quærere liceret. Assentiunt illi.

34. Ego igitur, inquit, legibus quidem parere sum paratus, verum ne per ignorationem inscius transgrediar, scire de vobis aperte volo, utrum hanc dicendi artem inter ea esse censeatis, quæ recte dicuntur, an quæ

ζοντες, ἢ σὺν τοῖς μὴ ὀρθῶς, ἀπέχεσθαι κελεύετε αὐτῆς· εἰ μὲν γὰρ σὺν ὀρθῶς, δῆλον ὅτι ἀφεκτέον εἴη τοῦ ὀρθῶς λέγειν· εἰ δὲ σὺν τοῖς μὴ ὀρθῶς, δῆλον ὅτι πειρατέον ὀρθῶς λέγειν.

λε'. Καὶ ὁ Χαρικλῆς ὀργισθεὶς αὐτῷ, ἐπειδὰν, ἔφη, ὦ Σώκρατες, ἀγνοεῖς, τάδε σοι εὐμαθέστερα ὄντα προαγορεύομεν, τοῖς νέοις ὅλως μὴ διαλέγεσθαι. καὶ ὁ Σωκράτης, ἵνα τοίνυν, ἔφη, μὴ ἀμφίβολον ᾖ, ὡς ἄλλό τι ποιῶ, ἢ τὰ προηγορευμένα, ὁρίσατέ μοι μέχρι πόσων ἐτῶν δεῖ νομίζειν νέους εἶναι τοὺς ἀνθρώπους. καὶ ὁ Χαρικλῆς, ὅσουπερ, εἶπε, χρόνου βουλεύειν οὐκ ἔξεστιν, ὡς οὔπω φρονίμοις οὖσι· μηδὲ σὺ διαλέγου νεωτέροις τριάκοντα ἐτῶν.

λϛ'. Μηδὲ ἄν τι ὠνῶμαι, ἔφη, ἢν πωλῇ νεώτερος τριάκοντα ἐτῶν, ἔρωμαι ὁπόσου πωλεῖ; ναὶ τά γε τοιαῦτα, ἔφη Χαρικλῆς. ἀλλά τοι σύγε, ὦ Σώκρατες, εἴωθας, εἰδὼς πῶς ἔχει τὰ πλεῖστα, ἐρωτᾷν. ταῦτα οὖν μὴ ἐρώτα.

quæ non recte, quum ab illa abstinendum esse dicitis? Nam si inter illa quæ recte dicuntur, patet, à recte dicendo abstinendum esse: sin vero sit inter ea quæ non recte, patet conandum esse ut recte dicamus.

35. Tum excandescens Charicles, Quoniam, inquit, ignoras hoc Socrates, edicimus tibi quiddam intellectu facilius, cum juvenibus non omnino colloqui. Et Socrates, Itaque ne sit ambiguum, ait, an aliud faciam quam præscriptum sit; definite mihi, ad quot usque annos existimandum sit, homines esse juvenes. Tum Charicles, Quousque, ait, senatoribus esse non licet, tanquam nondum prudentibus: nec tu cum iis colloquitor, qui juniores triginta annis sunt.

36. Ne tunc quidem, inquit, siquid emam ego, quod minor triginta annis vendit, quanti vendat, interrogabo? Ea vero quærere licet, ait Charicles: sed soles tu, Socrates, interrogare, cum scias quomodo se habeant plurima: itaque noli hæc quærere.

Ergo

ἐρωτᾷ. μηδ' ἀποκρίνωμαι οὖν, ἔφη, ἄν τίς με ἐρωτῶν τάχα ἐξετάσῃ, ποῦ οἰκεῖ Χαρικλῆς, ἢ ποῦ ἐστι Κριτίας; καὶ τά γε τοιαῦτα, ἔφη ὁ Χαρικλῆς.

λζ'. Ὁ δὲ Κριτίας, ἀλλὰ τῶν δέ τοί σε ἀπέχεσθαι, ἔφη, δεήσει, ὦ Σώκρατες, τῶν σκυτέων, καὶ τῶν τεκτόνων, καὶ τῶν χαλκέων· καὶ γὰρ οἶμαι αὐτοὺς ἤδη κατατετρῖφθαι διαθρυλλουμένους ὑπὸ σοῦ. οὐκοῦν, ἔφη ὁ Σωκράτης, καὶ τῶν ἑπομένων τούτοις, τοῦ τε δικαίου, καὶ τοῦ ὁσίου, καὶ τῶν ἄλλων τῶν δικαίων. ναὶ μὰ Δί', ἔφη ὁ Χαρικλῆς, καὶ τῶν βουκόλων γε· εἰ δὲ μή, φυλάττου ὅπως μὴ καὶ σὺ ἐλάττους τὰς βοῦς ποιήσῃς.

λη'. Ἔνθα καὶ δῆλον ἐγένετο, ὅτι ἀπαγγελθέντος αὐτοῖς τοῦ περὶ τῶν βοῶν λόγου, ὠργίζοντο τῷ Σωκράτει. οἵα μὲν οὖν ἡ συνουσία ἐγεγόνει Κριτίᾳ πρὸς Σωκράτην, καὶ ὡς εἶχον πρὸς ἀλλήλους, εἴρηται.

λθ'. Φαίην δ' ἂν ἔγωγε μηδενὶ μηδεμίαν εἶναι παίδευσιν παρὰ τοῦ μὴ ἀρέσκοντος. Κριτίας δὲ καὶ Ἀλκιβιάδης οὐκ

Ergo non respondebo, inquit, si quis ex me interrogando exquireret, ubinam habitet Charicles, vel ubi sit Critias? Hujusmodi vero licet respondeas, ait Charicles.

37. Critias autem, Ab iis abstinendum tibi est, Socrates, inquit, nimirum à sutoribus, & fabris, & ærariis artificibus. Etenim arbitror illos jam confici obtusos loquacitate tua. Ergo, subjecit Socrates, ab iis etiam abstinendum, quæ consequuntur, à justitia, pietate, & cæteris rebus, quæ justæ sunt. Profecto, ait Charicles, etiam à bubulcis: quod nisi feceris, cave ne & ipse vaccas pauciores reddas.

38. Hinc autem constat, renunciato ad ipsos sermone de vaccis, eos Socrati succensuisse. Qualis itaque cum Socrate consuetudo fuerit Critiæ, & quomodo alter ad alterum se habuerit dictum est.

39. Dixerim equidem, non posse ullum hominem ab ullo institui, qui non placeat. Critias autem & Alcibiades, versabantur

οὐκ ἀρέσκοντος αὐτοῖς Σωκράτους ὡμιλησάτην ὃν χρόνον ὡμιλείτην αὐτῷ, ἀλλ' εὐθὺς ἐξ ἀρχῆς ὡρμηκότε προεστάναι τῆς πόλεως· ἔτι γὰρ Σωκράτει συνόντες οὐκ ἄλλοις τισὶ μᾶλλον ἐπεχείρουν διαλέγεσθαι, ἢ τοῖς μάλιστα πράττουσι τὰ πολιτικά.

μ΄. Λέγεται γὰρ, Ἀλκιβιάδην, πρὶν εἴκοσιν ἐτῶν εἶναι, Περικλεῖ ἐπιτρόπῳ μὲν ὄντι ἑαυτοῦ, προστάτῃ δὲ τῆς πόλεως, τοιάδε διαλεχθῆναι περὶ νόμων·

μα΄. Εἰπέ μοι, φάναι, ὦ Περίκλεις, ἔχοις ἄν με διδάξαι τί ἐστι νόμος; πάντως δήπου, φάναι τὸν Περικλέα. δίδαξον δὴ πρὸς τῶν Θεῶν, φάναι τὸν Ἀλκιβιάδην· ὡς ἔγωγ' ἀκούων τινῶν ἐπαινουμένων, ὅτι νόμιμοι ἄνδρες εἰσὶν, οἶμαι μὴ ἂν δικαίως τούτου τυχεῖν τοῦ ἐπαίνου, τὸν μὴ εἰδότα, τί ἐστι νόμος.

μβ΄. Ἀλλ' οὐδέν τι χαλεποῦ πράγματος ἐπιθυμεῖς, ὦ Ἀλκιβιάδη, φάναι τὸν Περικλέα, βουλόμενος γνῶναι τί ἐστι νόμος. πάντες γὰρ οὗτοι νόμοι εἰσὶν, οὓς τὸ πλῆθος συνελθὸν καὶ δοκι-

μάσαν

bantur illi quidem cum Socrate, qui eis non placebat, quamdiu cum illo versabantur; verum ita ut statim ab initio flagitarent civitati præesse. Nam quo tempore Socrati familiares erant, non cum aliis disserere conabantur potius, quam qui rempublicam imprimis tractarent.

40. Proditum est enim, Alcibiadem, priusquam viginti natus esset annos, cum Pericle tutore suo, civitatis præside, de legibus talia disseruisse:

41. Mi Pericles, ait, dicito mihi, possisne me, quid lex sit, docere? Omnino, inquit Pericles. Et Alcibiades: Ergo me per Deos hoc doceto: quoniam ego laudari quosdam audiens quod legum observantes sint, arbitror non merito laude hac dignari hominem, qui, quid lex sit, ignoret.

42. Tu vero, mi Alcibiades, rem non difficilem flagitas, ait Pericles, qui cognoscere cupias, quid lex sit. Etenim omnes hæ leges sunt, quas in unum conveniens & consentiens vulgus

μάσαν ἔγραψε, φράζον ἅ, τε δεῖ ποιεῖν, καὶ ἃ μή. πότερον δὲ τἀγαθὰ νομίσαι δεῖν ποιεῖν, ἢ τὰ κακά; τἀγαθά, νὴ Δία, φάναι, ὦ μειράκιον, τὰ δὲ κακά, οὔ.

μγʹ. Ἐὰν δὲ μὴ πλῆθος, ἀλλ᾽ ὥσπερ ὅπου ὀλιγαρχία ἐστίν, ὀλίγοι συνελθόντες γράψωσιν ὅ,τι χρὴ ποιεῖν, ταῦτα τί ἐστι; πάντα, φάναι, ὅσα δ᾽ ἂν τὸ κρατοῦν τῆς πόλεως βουλευσάμενον ἃ χρὴ ποιεῖν, γράψῃ, νόμος καλεῖται. καὶ ἂν τύραννος οὖν κρατῶν τῆς πόλεως γράφῃ τοῖς πολίταις ἃ χρὴ ποιεῖν, καὶ ταῦτα νόμος ἐστί; καὶ ὅσα τύραννος ἄρχων, φάναι, γράφει, καὶ ταῦτα νόμος καλεῖται.

μδʹ. Βία δέ, φάναι, καὶ ἀνομία τί ἐστιν, ὦ Περίκλεις; ἆρ᾽ οὐχ ὅταν ὁ κρείττων τὸν ἥττω μὴ πείσας, ἀλλὰ βιασάμενος ἀναγκάσῃ ποιεῖν ὅ,τι ἂν αὐτῷ δοκῇ; ἔμοιγε δοκεῖ, φάναι τὸν Περικλέα. καὶ ὅσα ἄρα τύραννος μὴ πείσας τοὺς πολίτας ἀναγκάζει ποιεῖν γράφων, ἀνομία ἐστί; δοκεῖ μοι, φάναι τὸν Περικλέα· ἀνα-

gus conſcripſit, declarans, quæ facienda ſint, quæ non. Utrum autem ea faciunda ſanxerunt, quæ bona ſunt, an quæ mala? Profectò bona, mi adoleſcens, ait Pericles, minimeque mala.

43. Jam ſi non vulgus, ſed uti paucorum in dominatu fit, pauci quidam congreſſi, quid faciundum ſit, conſcripſerint, ea quid ſunt? Omnia, inquit, quæcunque pars ea quæ ſummam in republica potentiam obtinet, habita de iis quæ agenda ſint conſultatione ſcripſerit, lex appellantur. Si ergo tyrannus etiam civitate potitus, quæ civibus agenda ſint, perſcripſerit, num & ea lex ſunt? Nimirum, ait, quæcunq; tyrannus imperans perſcribit, ea quoque lex appellantur.

44. Quid autem, inquit, vis eſt, & legum everſio, mi Pericles? an non quum fortior imbecilliorem non perſuadendo, ſed vim afferendo, quodcunque ſibi videatur, facere cogit? Ita mihi videtur, ait Pericles. Ergo quæcunq; tyrannus non perſuaſis civibus perſcribit, atq; ut illi faciant, cogit, nonne legum ſunt everſio? id mihi videtur, inquit

ἀνατίθεμαι γὰρ τοι ὅσα τύραννος μὴ πείσας γράφῃ, νόμον εἶναι.

με΄. Ὅσα δὲ οἱ ὀλίγοι τοὺς πολλοὺς μὴ πείσαντες, ἀλλὰ κρατοῦντες γράφουσι, πότερον βίαν φῶμεν, ἢ μὴ φῶμεν εἶναι; πάντα δοκεῖ, φάναι τὸν Περικλέα, ὅσα τις μὴ πείσας ἀναγκάζει τινὰ ποιεῖν, εἴτε γράφων, εἴτε μή, βία μᾶλλον ἢ νόμος εἶναι. καὶ ὅσα ἄρα τὸ πᾶν πλῆθος κρατοῦν τῶν τὰ χρήματα ἐχόντων, γράφει μὴ πεῖσαν, βία μᾶλλον ἢ νόμος ἂν εἴη.

μϛ΄. Μάλα τοι, φάναι τὸν Περικλέα, ὦ Ἀλκιβιάδη, καὶ ἡμεῖς τηλικοῦτοι ὄντες, δεινοὶ τὰ τοιαῦτα ἦμεν· τοιαῦτα γὰρ καὶ ἐμελετῶμεν, καὶ ἐσοφιζόμεθα, οἷάπερ καὶ σὺ νῦν ἐμοὶ δοκεῖς μελετᾶν. τὸν δὲ Ἀλκιβιάδην φάναι· εἴθε σοι, ὦ Περίκλεις, τότε συνεγενόμην, ὅτε δεινότατος σαυτοῦ ταῦτα ἦσθα.

μζ΄. Ἐπεὶ τοίνυν τάχιστα τῶν πολιτευομένων ὑπέλαβον κρείττονες εἶναι, Σωκράτει μὲν οὐκέτι προσῄεσαν· (οὔτε

inquit Pericles: nam id retracto, nimirum legem esse, quæcunque tyrannus suis non persuasis scribat.

45. Quæ vero pauci, multitudine non persuasa, sed rerum potientes scribunt, num vim esse, vel non, dicemus? Tum Pericles, Videntur, inquit, illa omnia, quæcunque non persuadendo quis cogit aliquem facere, sive scribat ea, sive non, vis potius esse, quam lex. Ergo quæcunque plebs universa iis superior qui locupletes sunt, non persuadendo scribit, vis erunt potius quam lex.

46. Tum dixit Pericles: Nos etiam, mi Alcibiades, quum isthac ætate essemus, peracres in hujusmodi rebus eramus. Nam & meditabamur ejusmodi & argurabamur, qualia tu mihi nunc meditari videris. Subjecit Alcibiades, Utinam, mi Pericles, id temporis tecum essem versatus, quum teipsum in his rebus superabas.

47. Ubi primum igitur se hi superiores esse arbitrabantur illis qui rempublicam gerebant, non jam ad Socratem amplius accedebant,

 (quod

(οὔτε γὰρ αὐτοῖς ἄλλως ἤρεσκεν· εἴ τι προσέλθοιεν, ὑπὲρ ὧν ἡμάρτανον ἐλεγχόμενοι, ἤχθοντο) τὰ δὲ τῆς πόλεως ἔπραττον, ὧνπερ ἕνεκεν καὶ Σωκράτει προσῆλθον.

μη'. Ἀλλὰ Κρίτων τε Σωκράτους ἦν ὁμιλητὴς, καὶ Χαιρέφων, καὶ *Χαιρεκράτης, καὶ Σιμμίας, καὶ Κέϐης, καὶ Φαίδων δὲ, καὶ ἄλλοι, οἳ ἐκείνῳ συνῆσαν, οὐχ ἵνα δημηγορικοὶ ἢ δικανικοὶ γένοιντο, ἀλλ' ἵνα καλοί τε κἀγαθοὶ γενόμενοι, καὶ οἴκῳ, καὶ οἰκέταις, καὶ οἰκείοις, καὶ φίλοις, καὶ πόλει, καὶ πολίταις δύναιντο καλῶς χρῆσθαι· καὶ τούτων οὐδεὶς οὔτε νεώτερος οὔτε πρεσβύτερος ὢν, οὔτ' ἐποίησε κακὸν οὐδὲν, οὔτ' αἰτίαν ἔσχεν.

μθ'. Ἀλλὰ Σωκράτης γ', ἔφη ὁ κατήγορος, τοὺς πατέρας προπηλακίζειν ἐδίδασκε, πείθων μὲν τοὺς συνόντας αὐτῷ, σοφωτέρους ποιεῖν τῶν πατέρων, φάσκων δὲ κατὰ νόμον ἐξεῖναι παρανοίας ἑλόντι καὶ τὸν πατέρα δῆσαι, τεκμηρίῳ τούτῳ χρώμενος, ὡς τὸν ἀμαθέστερον ὑπὸ τοῦ σοφωτέρου νόμιμον εἴη δεδέσθαι.

ν'. Σω-

(quod is cæteroquin eis haud placeret: & si accederent, reprehendi se propter ea in quibus peccabant, graviter ferebant) sed reip. negotia capessebant quæ una causa fuerat, quamobrem ad Socratem arcesserant.

48. Crito autem, & Chærephon, & Chærecrates, & Simmias, & Cebes, & Phœdo, & alii plerique Socrati familiares erant, qui cum eo conversabantur, non ut oratores vel causidici fierent: sed ut in viros probos & honestos evadentes, & domo, & domesticis, & propinquis, & amicis, civitateque ac civibus suis quam optime uti possint. Quorum quidē nemo neq; dum junior esset, neque senior, mali quidpiam vel commisit, vel commisisse culpatus fuit.

49. At enim Socrates, inquit accusator, patres contemnere docebat, dum persuaderet, se familiares suos patribus sapientiores effecturum; atque etiam diceret, lege permissum esse, ut aliquis patrem convictum amentiæ devinciat, hoc argumento usus, quod imperitiorem a sapientiore vinciri jus esset.

50. Imo

ν'. Σωκράτης δὲ τὸν μὲν ἀμαθίας ἕνεκα δεσμεύοντα δικαίως ἂν καὶ αὐτὸν ᾤετο δεδέσθαι ὑπὸ τῶν ἐπισταμένων ἃ μὴ αὐτὸς ἐπίσταται· καὶ τῶν τοιούτων ἕνεκα πολλάκις ἐσκόπει, τί διαφέρει μανίας ἀμαθία· καὶ τοὺς μὲν μαινομένους ᾤετο συμφερόντως ἂν δεδέσθαι καὶ αὐτοῖς καὶ τοῖς φίλοις, τοὺς δὲ μὴ ἐπισταμένους τὰ δέοντα, δικαίως ἂν μανθάνειν παρὰ τῶν ἐπισταμένων.

να'. Ἀλλὰ Σωκράτης γε, ἔφη ὁ κατήγορος, οὐ μόνον τοὺς πατέρας, ἀλλὰ καὶ τοὺς ἄλλους συγγενεῖς ἐποίει ἐν ἀτιμίᾳ εἶναι παρὰ τοῖς αὐτῷ συνοῦσι, λέγων, ὡς οὔτε τοὺς κάμνοντας, οὔτε τοὺς δικαζομένους οἱ συγγενεῖς ὠφελοῦσιν, ἀλλὰ τοὺς μὲν οἱ ἰατροὶ, τοὺς δὲ οἱ συνδικεῖν ἐπιστάμενοι.

νβ'. Ἔφη δὲ καὶ περὶ τῶν φίλων αὐτὸν λέγειν, ὡς οὐδὲν ὄφελος εὔνους εἶναι, εἰ μὴ καὶ ὠφελεῖν δυνήσονται· μόνους δὲ φάσκειν αὐτὸν ἀξίους εἶναι τιμῆς τοὺς εἰδότας τὰ δέοντα, καὶ ἑρμηνεῦσαι δυναμένους· ἀναπείθοντα οὖν τοὺς

νέους

50. Imo vero Socrates, eum qui imperitiæ causa quenquam ligasset, merito & ipsum vinciendum esse putabat ab iis qui quod ipse ignoraret, scirent: adeoque sæpenumero propter hujusmodi, quid imperitia differat ab insania, dispiciebat: ac furiosos quidem vinciri cum suo & amicorum emolumento, putabat; inscios vero illorum quæ sciri oporteret, merito debere ab iis discere, qui scirent.

51. At Socrates, inquit accusator, non solum ut patres, sed cæteros etiam cognatos parvo in honore apud familiares ipsius essent, effecit: dicebat enim, propinquos nec illis esse usui, qui adversa valetudine laborarent, nec illis, quorum de re in judicio agitur; sed iis quidem prodesse medicos, his vero quotquot patrocinari scirent.

52. Addebat etiam de amicis eum dicere, nihil esse commodi si benevoli sint, nisi possint etiam prodesse. Eos quoque solos dicere Socratem dignos honoribus esse, qui quæ deceant sciant, & oratione possint explicare: quapropter ipsum persuadendo

juvenibus

νέους αὐτὸν, ὡς αὐτὸς εἴη σοφώτατός τε, καὶ ἄλλους ἱκανώτατος ποιῆσαι σοφοὺς, οὕτω διατεθῆναι τοὺς αὐτῷ συνόντας, ὥστε μηδαμοῦ παρ' αὐτοῖς τοὺς ἄλλους εἶναι πρὸς ἑαυτόν.

νγ'. Ἐγὼ δ' αὐτὸν οἶδα μὲν καὶ περὶ πατέρων τε, καὶ τῶν ἄλλων συγγενῶν τε, καὶ περὶ φίλων ταῦτα λέγοντα· καὶ πρὸς τούτοις γε, διότι τῆς ψυχῆς ἐξελθούσης, ἐν ᾗ μόνῃ γίγνεται φρόνησις, τὸ σῶμα τοῦ οἰκειοτάτου ἀνθρώπου τὴν ταχίστην ἐξενέγκαντες ἀφανίζουσιν.

νδ'. Ἔλεγε δὲ, ὅτι καὶ ζῶν ἕκαστος ἑαυτοῦ ὃ πάντων μάλιστα φιλεῖ τοῦ σώματος ὅ,τι ἂν ἀχρεῖον ᾖ καὶ ἀνωφελὲς, αὐτός τε ἀφαιρεῖ, καὶ ἄλλῳ παρέχει. αὐτοί τέ γε αὑτῶν ὄνυχάς τε, καὶ τρίχας, καὶ τύλους ἀφαιροῦσι, καὶ τοῖς ἰατροῖς παρέχουσι μετὰ πόνων τε καὶ ἀλγηδόνων καὶ ἀποτέμνειν, καὶ ἀποκάειν, καὶ τούτου χάριν οἴονται δεῖν αὐτοῖς καὶ μισθὸν τίνειν· καὶ τὸ σίαλον ἐκ τοῦ στόματος ἀποπτύουσιν ὡς δύνανται πορρωτάτω, διότι ὠφελεῖ μὲν οὐδὲν αὐτοὺς ἐνὸν, βλάπτει δὲ πολὺ μᾶλλον.

νε'. Ταῦ-

juvenibus se sapientissimum esse, ac ad efficiundum alios sapientes maxime idoneum, sic affectos erga se reddidisse familiares suos, ut nequaquam apud eos alii cujusquam essent pretii, cum Socrate comparati.

53. Ego vero memini eum de patribus, de propinquis cæteris, & de amicis hæc dicere; ac præter hæc, quamobrem postea quam migraverit anima, in qua sola est prudentia, homines etiam maxima necessitudine conjuncti corpus quamprimum elatum è conspectu auferant.

54. Dicebat etiam quemlibet, dum in vivis est, de corpore suo, quod omnium maxime diligit, quicquid otiosum & inutile sit, tum per se tollere, tum aliis tollendum præbere. Nam homines ipsi suos ungues, capillos, callos tollunt; eosdemque medicis cum molestiis ac doloribus amputandos deurendosque præbēt, eaq; de causa putāt ipsis etiam se mercedem debere solvere. Salivā quoque, quam possunt longissime, ab ore exspuunt; quod dum ore continetur, non solū nihil prosit, sed multo magis etiam noceat.

55. Hæc

νέ. Ταῦτα οὖν ἔλεγεν, οὐ τὸν μὲν πατέρα ζῶντα κατορύττειν διδάσκων, ἑαυτὸν δὲ κατατέμνειν· ἀλλ' ἐπιδεικνύων ὅτι τὸ ἄφρον, ἄτιμόν ἐστι· καὶ παρεκάλει ἐπιμελεῖσθαι τοῦ ὡς φρονιμώτατον εἶναι καὶ ὠφελιμώτατον, ὅπως ἐάν τε ὑπὸ πατρὸς, ἐάν τε ὑπὸ ἀδελφοῦ, ἐάν τε ὑπ' ἄλλου τινὸς βούληται τιμᾶσθαι, μὴ τῷ οἰκεῖος εἶναι πιστεύων ἀμελῇ, ἀλλὰ πειρᾶται, ὑφ' ὧν ἂν βούλοιτο τιμᾶσθαι, τούτοις ὠφέλιμος εἶναι.

νϛ'. Ἔφη δ' αὐτὸν ὁ κατήγορος καὶ τῶν ἐνδοξοτάτων ποιητῶν ἐκλεγόμενον τὰ πονηρότατα, καὶ τούτοις μαρτυρίοις χρώμενον, διδάσκειν τοὺς συνόντας κακούργους εἶναι, καὶ τυραννικούς· Ἡσιόδου μὲν τὸ,

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργείη δὲ τ' ὄνειδος·

Τοῦτο δὴ λέγειν αὐτὸν, ὡς ὁ ποιητὴς κελεύει μηδενὸς ἔργου, μήτε ἀδίκου, μήτε αἰσχροῦ ἀπέχεσθαι, ἀλλὰ καὶ ταῦτα ποιεῖν ἐπὶ τῷ κέρδει.

νζ'. Σωκράτης δ' ἔπειτα ὁμολογήσαιτο, τὸ μὲν ἐργάτην εἶναι,

55. Hæc igitur dicebat, non quidem docens, patrem vivum ſepeliendum eſſe, ac ſeipſum in fruſta concidendum; ſed demonſtrans, quod quid inſipiens, inglorium ſit: Etiam hortabatur ut ſtudeat quiſque quam prudentiſſimus fieri ac utiliſſimus: ut ſive à patre quis, ſeu à fratre, ſeu alio quopiam honorari velit, non idcirco negligens ſit quod propinquum ſe crédat, ſed conetur, ut illis proſit, à quibus honorari cupiat.

56. Præterea dicebat accuſator, illum ſeligentem de Poëtis celeberrimis ea quæ eſſent peſſima, eiſque teſtimoniis utentem, docere familiares ſuos, ut facinoroſi eſſent ac tyrannici: Heſiodi quidem illud,

Otia ſunt probrum, ſunt nulla negotia probrum:

Hoc illum ſic exponere, quaſi Poëta nullo jubeat ab opere, nec injuſto, nec turpi abſtinere, ſed quæſtus gratia, hæc quoque facere.

57. At enim Socrates quum fateretur, ex uſu hominis eſſe ac bonum

εἶναι, ὠφέλιμόν τε ἀνθρώπῳ καὶ ἀγαθὸν εἶναι, τὸ δὲ ἀργὸν, βλαβερόν τε καὶ κακὸν, καὶ τὸ μὲν ἐργάζεσθαι ἀγαθὸν, τὸ δὲ ἀργεῖν κακόν· τοὺς μὲν ἀγαθόν τι ποιοῦντας, ἐργάζεσθαί τε ἔφη, καὶ ἐργάτας ἀγαθοὺς εἶναι· τοὺς δὲ κυβεύοντας, ἤ τι ἄλλο πονηρὸν καὶ ἐπιζήμιον ποιοῦντας, ἀργοὺς ἀπεκάλει· ἐκ δὲ τούτων ὀρθῶς ἂν ἔχοι τὸ,

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργείη δέ τ' ὄνειδος.

νη'. Τὸ δὲ Ὁμήρου ἔφη ὁ κατήγορος πολλάκις αὐτὸν λέγειν ὅ,τι Ὀδυσσεύς,

Ὅντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
Τόνδ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·
Δαιμόνι', οὔ σε ἔοικε κακὸν ὣς δειδίσσεσθαι,
Ἀλλ' αὐτός τε κάθησο, καὶ ἄλλους ἵδρυε λαούς.
Ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι, βοόωντά τ' ἐφεύροι,
Τὸν σκήπτρῳ ἐλασάσκεν, ὁμοκλήσασκέ τε μύθῳ·
Δαιμόνι', ἀτρέμας ἧσο, καὶ ἄλλων μῦθον ἄκουε,

Οἱ

bonum, negotiosum esse; contraque, otiosum esse, noxium & malum: & operari, bonum; otiari, malum: quoscunque boni quid facere videret, eos operari dicebat, ac bonos esse operarios; qui vero talis luderent, vel aliud quidpiam pravi damnosique agerent, hos otiosos appellabat. Qua sententia recte se habet id,

Otia sunt probrum, sunt nulla negotia probrum.

58. Illud etiam Homeri dicebat accusator eum sæpenumero proferre, quod Ulysses,

Si regem, egregiumve virum deprenderit ullum,
Adstitit, & verbis sic hunc cohibebat amicis:
O felix, tibi non ignavi more timendum est;
Tu sedeas, faciasque alios de plebe sedere.
At si quem è vulgo clamantem invenerit usquam,
Hunc sceptro ferit, & verbis non lenibus urget:
Tu vero, taceas, & Te melioribus aures

Præbe:

Οἱ σέο φέρτεροί εἰσι· σὺ δ' ἀπτόλεμος καὶ ἄναλκις,
Οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος, οὔτ' ἐνὶ βουλῇ.

Ταῦτα δὴ αὐτὸν ἐξηγεῖσθαι, ὡς ὁ ποιητὴς ἐπαινοίη παίεσθαι τοὺς δημότας καὶ πένητας.

νθ'. Σωκράτης δ' οὐ ταῦτ' ἔλεγε, (καὶ γὰρ ἑαυτὸν οὕτω γ' ἂν ᾤετο δεῖν παίεσθαι) ἀλλ' ἔφη δεῖν τοὺς μήτε λόγῳ μήτε ἔργῳ ὠφελίμους ὄντας, μήτε στρατεύματι, μήτε πόλει, μήτε αὐτῷ τῷ δήμῳ, εἴ τι δέοι, βοηθεῖν ἱκανούς, ἄλλως τ' ἐὰν πρὸς τούτῳ καὶ θρασεῖς ὦσι, πάντα τρόπον κωλύεσθαι, κἂν πάνυ πλούσιοι τυγχάνωσιν ὄντες.

ξ'. Ἀλλὰ Σωκράτης γε τἀναντία τούτων φανερὸς ἦν καὶ δημοτικὸς καὶ φιλάνθρωπος ὤν. ἐκεῖνος γὰρ πολλοὺς ἐπιθυμητὰς καὶ ἀστοὺς καὶ ξένους λαβὼν, οὐδένα πώποτε μισθὸν τῆς συνουσίας ἐπράξατο, ἀλλὰ πᾶσιν ἀφθόνως ἐπήρκει τῶν ἑαυτοῦ· ὧν τινες μικρὰ μέρη, παρ' ἐκείνου προῖκα λαβόντες, πολλοῦ τοῖς ἄλλοις ἐπώλουν, καὶ οὐκ ἦσαν, ὥσπερ ἐκεῖνος, δημοτικοί. τοῖς γὰρ μὴ ἔχου-

σι

Præbe nec belli arte potes, nec robore præstas;
Tu nec consilio quicquam, nec idoneus armis.

Hæc vero eum sic interpretari, quasi Poëta probaret, si plebeii paupere sque cæderentur.

59. At vero Socrates minime ista dicebat, (nam illo pacto seipsum esse cædendum existimasset) sed necessario dicebat, eos qui nec oratione nec facto utiles essent, neque vel exercitui, vel civitati, vel ipsi etiam populo, si opus fuerit, possent succurrere, præsertim si adhæc audaces essent, omni modo coërcendos esse, quamvis ditissimi essent.

60. Erat certe Socrates è contrario palam popularis & humanus. Nam quum multos sui studiosos tum cives tum exteros haberet, nullam unquam mercedem consuetudinis exegit, sed omnibus abunde citraque invidiam sua communicabat: quorum exiguas quasdam partes nonnulli gratis ab eo consequuti, magno aliis vendebant, nec erant, ut ipse, populares: quippe cum iis quibus ad largiendum

 pecu-

σι χρήματα διδόναι, οὐκ ἤθελον διαλέγεσθαι.

ξα'. Ἀλλὰ Σωκράτης γε καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους κόσμον τῇ πόλει παρεῖχε πολλῷ μᾶλλον, ἢ * Λίχας τῇ Λακεδαιμονίων, ὃς ὀνομαστὸς ἐπὶ τούτῳ γέγονε. Λίχας μὲν γὰρ ταῖς * γυμνοπαιδείαις τοὺς ἐπιδημοῦντας ἐν Λακεδαίμονι ξένους ἐδείπνιζε· Σωκράτης δὲ διὰ παντὸς τοῦ βίου τὰ ἑαυτοῦ δαπανῶν, τὰ μέγιστα πάντας τοὺς βουλομένους ὠφέλει· βελτίους γὰρ ποιῶν τοὺς συγγιγνομένους ἀπέπεμπεν.

ξβ'. Ἐμοὶ μὲν δὴ Σωκράτης, τοιοῦτος ὤν, ἐδόκει τιμῆς ἄξιος εἶναι τῇ πόλει μᾶλλον, ἢ θανάτου· καὶ κατὰ τοὺς νόμους δὲ σκοπῶν ἄν τις, τοῦθ' εὕροι. κατὰ γὰρ τοὺς νόμους, ἐάν τις φανερὸς γένηται κλέπτων, ἢ λωποδυτῶν, ἢ βαλαντιοτομῶν, ἢ τοιχωρυχῶν, ἢ ἀνδραποδιζόμενος, ἢ ἱεροσυλῶν, τούτοις θάνατός ἐστιν ἡ ζημία· ὧν ἐκεῖνος πάντων ἀνθρώπων πλεῖστον ἀπεῖχεν.

ξγ'. Αλ-

pecunia deesset, differere nolebant.

61. Socrates autem huic civitati apud alios homines etiam multo majus ornamentum conciliabat, quam Lichas Lacedæmoniorum urbi, qui eo nomine celeberrimus evasit: Nam ludis illis, qui à nudis exhibebantur, Lichas hospitibus Lacedæmonem peregre venientibus, cœnam præbebat: Socrates autem, quum per omnem vitam impenderet sua, plurimum omnibus non nolentibus proderat. Etenim eos qui ad ipsum accedebant, reddebat meliores, ac deinde dimittebat.

62. Quamobrem mihi sane Socrates, qui talis esset, potius honorem de republica, quam mortem meruisse videbatur: atque si leges quis consideret, hoc ipsum inveniet. Nam secundum leges siquis furari, vel grassando vestes auferre, vel crumenas incidere, vel parietes perfodere, vel plagium vel sacrilegium committere palam deprehendatur, morte multatur; à quibus flagitiis hic longissime supra mortales omnes aberat.

63. Ne-

ξγ'. Ἀλλὰ μὴν τῇ πόλει γε οὔτε πολέμου κακῶς συμβάντος, οὔτε στάσεως, οὔτε προδοσίας, οὔτε ἄλλου κακοῦ οὐδενὸς πώποτε αἴτιος ἐγένετο· οὐδὲ μὴν ἰδίᾳ γε οὐδένα πώποτε ἀνθρώπων οὔτε ἀγαθῶν ἀπεστέρησεν, οὔτε κακοῖς περιέβαλεν· ἀλλ' οὐδ' αἰτίαν τῶν εἰρημένων οὐδενὸς πώποτ' ἔσχε.

ξδ'. Πῶς οὖν ἔνοχος ἂν εἴη τῇ γραφῇ, ὃς ἀντὶ μὲν τοῦ μὴ νομίζειν Θεοὺς, (ὡς ἐν τῇ γραφῇ ἐγέγραπτο) φανερὸς ἦν θεραπεύων τοὺς Θεοὺς μάλιστα τῶν ἄλλων ἀνθρώπων· ἀντὶ δὲ τοῦ διαφθείρειν τοὺς νέους, (ὃ δὴ ὁ γραψάμενος αὐτὸν ᾐτιᾶτο) φανερὸς ἦν, τῶν συνόντων τοὺς πονηρὰς ἐπιθυμίας ἔχοντας, τούτων μὲν παύων, τῆς δὲ καλλίστης καὶ μεγαλοπρεπεστάτης ἀρετῆς, ᾗ πόλεις τε καὶ * οἴκοις εὖ οἰκοῦσι, προτρέπων ἐπιθυμεῖν· ταῦτα δὲ πράττων, πῶς οὐ μεγάλης ἄξιος ἦν τιμῆς τῇ πόλει;

ΚΕΦ.

63. Neque vero civitati belli alicujus male cedentis, neque seditionis, neque proditionis, neque ullius unquam mali alterius auctor extitit. Nec privatim quidem ullum hominem unquam vel bonis privavit, vel in mala conjecit: imo nullius horum, quæ diximus, culpam unquam sustinuit.

64. Quo igitur pacto ille accusationi obnoxius esset, qui pro eo, quod Deos esse non putaret, quemadmodum in actione perscriptum erat, palam se Deos colere studiosius quam homines cæteri, declarabat: ac pro eo, quod juvenes corrumperet, cujus rei eum accusabat actor, palam eos ex familiaribus, qui pravis libidinibus flagrarent, ab iisdem cessare faciebat, ac ipsos ad pulcerrimæ splendidissimæque virtutis, qua tam civitates quam familias bene administrant, amorem incitabat? Atque hæc quum faceret, quo pacto de civitate honorem non meruit maximum?

ΚΕΦ. γ'.

Ὡς δὲ δὴ καὶ ὠφελεῖν ἐδόκει μοι τοὺς ξυνόντας, τὰ μὲν ἔργῳ δεικνύων ἑαυτὸν οἷος ἦν, τὰ δὲ καὶ διαλεγόμενος, τούτων δὴ γράψω ὁπόσα ἂν διαμνημονεύσω. τὰ μὲν τοίνυν πρὸς τοὺς θεοὺς φανερὸς ἦν καὶ ποιῶν καὶ λέγων, ᾗπερ ἡ Πυθία ἀποκρίνεται τοῖς ἐρωτῶσι, πῶς δεῖ ποιεῖν ἢ περὶ θυσίας, ἢ περὶ προγόνων θεραπείας, ἢ περὶ ἄλλου τινὸς τῶν τοιούτων. ἥ τε γὰρ Πυθία νόμῳ πόλεως ἀναιρεῖ ποιοῦντας εὐσεβῶς ἂν ποιεῖν· Σωκράτης τε οὕτω καὶ αὐτὸς ἐποίει, καὶ τοῖς ἄλλοις παρῄνει· τοὺς δὲ ἄλλως πως ποιοῦντας περιέργους καὶ ματαίους ἐνόμιζεν εἶναι.

β'. Καὶ ηὔχετο δὲ πρὸς τοὺς θεοὺς ἁπλῶς τἀγαθὰ διδόναι, ὡς τοὺς θεοὺς κάλλιστα εἰδότας ὁποῖα ἀγαθά ἐστι· τοὺς δὲ εὐχομένους χρυσίον, ἢ ἀργύριον, ἢ τυραννίδα, ἢ ἄλλο τι τῶν τοιούτων, οὐδὲν διάφορον ἐνόμιζεν εὔχεσθαι, ἢ εἰ κυβείαν,

CAP. III.

Quo autem modo mihi visus sit familiaribus suis prodesse, partim operibus demonstrans, qualis esset, partim colloquiis usus, horum conscribam quæcunque meminero. Itaque divinis in rebus constabat eum & facere & loqui eo modo, quo Pythia respondet consulentibus, quid faciendum sit, vel de sacrificiis, vel de cultu majorum, vel de alia re quapiam, quæ hujus sit generis. Nam Pythia respondet oraculo, pie facturos, si ex instituto civitatis hæc agant. At Socrates ita & ipse faciebat, & alios facere cohortabatur; eosque, qui aliter faciebant, superstitiosos & vanos esse censebat.

2. Precabatur etiam Deos simpliciter, ut bona largirentur, tanquam Dii optime scirent, cujusmodi res sint bonæ. At qui aurum, vel argentum, vel tyrannidem, vel quid aliud hujusmodi à Diis peterent, non dissimile quid petere putabat, quam si aleam,

κυβείαν, ἢ μάχην, ἢ ἄλλο τι εὔχοιντο τῶν φανερῶς ἀδήλων, ὅπως ἀποβήσοιτο.

γʹ. Θυσίας δὲ θύων μικρὰς ἀπὸ μικρῶν, οὐδὲν ἡγεῖτο μειοῦσθαι τῶν ἀπὸ πολλῶν καὶ μεγάλων πολλὰ καὶ μεγάλα θυόντων. οὔτε γὰρ τοῖς Θεοῖς ἔφη καλῶς ἔχειν, εἰ ταῖς μεγάλαις θυσίαις μᾶλλον ἢ ταῖς μικραῖς ἔχαιρεν, (πολλάκις γὰρ ἂν αὐτοῖς τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἢ τὰ παρὰ τῶν χρηστῶν εἶναι κεχαρισμένα) οὔτ᾽ ἂν τοῖς ἀνθρώποις ἄξιον εἶναι ζῆν, εἰ τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἦν κεχαρισμένα τοῖς Θεοῖς, ἢ τὰ παρὰ τῶν χρηστῶν· ἀλλ᾽ ἐνόμιζε τοὺς Θεοὺς ταῖς παρὰ τῶν εὐσεβεστάτων τιμαῖς μάλα χαίρειν. ἐπαινέτης δ᾽ ἦν καὶ τοῦ ἔπους τούτου,

Καδδύναμιν δ᾽ ἔρδειν ἱέρ᾽ ἀθανάτοισι Θεοῖσι·

Καὶ πρὸς φίλους δὲ, καὶ ξένους, καὶ πρὸς τὴν ἄλλην δίαιταν καλὴν ἔφη παραίνεσιν εἶναι τὴν καδδύναμιν ἔρδειν.

δʹ. Εἰ δέ τι δόξειεν αὐτῷ σημαίνεσθαι παρὰ θεῶν, ἧττον ἂν

aleam, vel prælium, vel quid aliud earum rerum peterent, quæ omnino ſunt obſcuræ, quomodo eveniant.

3. Quumque de facultatibus exiguis exigua ſacra faceret, nihilo ſe putabat minus præſtare, quam ii qui de multis & magnis opibus multas ac magnas hoſtias cæderent. Etenim neque decere Deos hoc aiebat, ut magnis potius quam exiguis ſacrificiis gauderent, (ſic enim eis improborum ſacrificia ſæpius eſſent grata, quam proborum) neque vitam mortalibus optandam eſſe, ſi ſacrificia ſceleſtorum Diis eſſent acceptiora, quam bonorum. Exiſtimabat autem Deos imprimis honoribus gaudere, qui ab hominibus maxime religioſis oblati eſſent. Laudabat & hoc carmen,

Sacra Deis, quantum potes, immortalibus offer:

Et aiebat hanc admonitionem, ut pro viribus agamus, ad amicos, ad hoſpites, ad reliquam vitæ rationem, præclaram eſſe.

4. Quod ſiquid divinitus ei ſignificari viſum eſſet, minus perſuaderi

ἂν ἐπείσθη παρὰ τὰ σημαινόμενα ποιῆσαι, ἢ εἴ τις αὐτὸν ἔπειθεν ὁδοῦ λαβεῖν ἡγεμόνα τυφλὸν, καὶ μὴ εἰδότα τὴν ὁδὸν, ἀντὶ βλέποντος καὶ εἰδότος· καὶ τῶν ἄλλων δὲ μωρίαν κατηγόρει, οἵτινες παρὰ τὰ παρὰ τῶν Θεῶν σημαινόμενα ποιοῦσί τι, φυλαττόμενοι τὴν παρὰ τοῖς ἀνθρώποις ἀδοξίαν· αὐτὸς δὲ πάντ' ἀνθρώπινα ὑπερεώρα πρὸς τὴν παρὰ τῶν θεῶν ξυμβουλίαν.

ε΄. Διαίτῃ δὲ τήν τε ψυχὴν ἐπαίδευσε καὶ τὸ σῶμα, ᾗ χρώμενος ἄν τις, εἰ μή τι δαιμόνιον εἴη, θαῤῥαλέως καὶ ἀσφαλῶς διάγοι, καὶ οὐκ ἂν ἀπορήσειε τοσαύτης δαπάνης. οὕτω γὰρ εὐτελὴς ἦν, ὥστ' οὐκ οἶδ' εἴ τις οὕτως ἂν ὀλίγα ἐργάζοιτο, ὥστε μὴ λαμβάνειν τὰ Σωκράτει ἀρκοῦντα. σίτῳ μὲν γὰρ τοσούτῳ ἐχρῆτο, ὅσον ἡδέως ἤσθιε· καὶ ἐπὶ τούτῳ οὕτως παρεσκευασμένος ᾖει, ὥστε τὴν ἐπιθυμίαν τοῦ σίτου ὄψον αὐτῷ εἶναι. ποτὸν δὲ πᾶν ἡδὺ ἦν αὐτῷ, διὰ τὸ μὴ πίνειν, εἰ μὴ διψώη.

ς΄. Εἰ δέ ποτε κληθεὶς ἐθελήσειεν ἐπὶ δεῖπνον ἐλθεῖν, ὃ

τοῖς

persuaderi potuisset, ut præter significata faceret, quam si quis ei suasisset, ut cæcum & ignarum viæ ducem pro vidente & gnaro acciperet. Alios etiam stultitiæ accusabat, qui præter illa quæ à Diis significata essent, aliquid facerent, caventes malam apud homines existimationem: interim ipse res humanas omnes præ divinis consiliis aspernabatur.

5. Corpus & animam tali vivendi ratione castigabat, qua quispiam usus, nisi quid divinitus impediat, & confidenter & secure possit degere, nec tanto carere sumptu. Nam adeo frugalis erat, ut haud sciam, num quis lucrum tam exiguum labore suo facere possit, quod non Socrati sufficeret. Quippe cibi tantum sumebat, quantum jucunde comederet, & ad eum sic paratus accedebat, ut appetitus ei cibi esset obsonium. Etiam quivis potus ei gratus erat, propterea quod non biberet, nisi sitiret.

6. Si vero nonnunquam invitatus ad cœnam vellet accedere, tum id, quod difficillimum

τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν, ὥστε φυλάξασθαι τὸ ὑπὲρ τὸν καιρὸν ἐμπίπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο· τοῖς δὲ μὴ δυναμένοις τοῦτο ποιεῖν, συνεβούλευε φυλάττεσθαι τὰ πείθοντα μὴ πεινῶντας ἐσθίειν, μηδὲ διψῶντας πίνειν· καὶ γὰρ τὰ λυμαινόμενα γαστέρας, καὶ κεφαλὰς, καὶ ψυχὰς, ταῦτ' ἔφη εἶναι.

ζ'. Οἴεσθαι δ' ἔφη ἐπισκώπτων καὶ τὴν Κίρκην ὗς ποιεῖν, τοιούτοις πολλοῖς δειπνίζουσαν· τὸν δὲ Ὀδυσσέα Ἑρμοῦ τε ὑποθημοσύνῃ, καὶ αὐτὸν ἐγκρατῆ ὄντα, καὶ ἀποσχόμενον τὸ ὑπὲρ τὸν καιρὸν τῶν τοιούτων ἅπτεσθαι, διὰ ταῦτα οὐδὲ γενέσθαι ὗν. τοιαῦτα μὲν περὶ τούτων ἔπαιζεν ἅμα σπουδάζων.

η'. Ἀφροδισίων δὲ, παρῄνει τῶν καλῶν ἰσχυρῶς ἀπέχεσθαι· οὐ γὰρ, ἔφη, ῥᾴδιον εἶναι τῶν τοιούτων ἁπτόμενον σωφρονεῖν. ἀλλὰ καὶ Κριτόβουλόν ποτε τὸν Κρίτωνος πυθόμενος, ὅτι ἐφίλησε τὸν Ἀλκιβιάδου υἱὸν καλὸν ὄντα, παρόντος τοῦ Κριτοβούλου ἤρετο Ξενοφῶντα·

θ'. Εἰπέ

mum eſt plurimis, cavere ſcilicet, ne ſe repleant ulterius quam commodum ſit, ipſe perquam facile cavebat. Illis autem, qui hoc facere non poſſent, auctor erat, ab iis ut ſibi caverent, quæ ſuadent non eſurientes edere,& non ſitientes bibere. Hæc enim illa eſſe dicebat, quæ & ventribus, & capitibus, & animis noceant.

7. Arbitrari autem ſe jocoſe dicebat,Circem ex hominibus feciſſe ſues,quod multis talibus eos in cœnis exciperet:Ulyſſem vero partim Mercurii monitu,partim quod ipſe temperans eſſet, ſeq; cohibere poſſet, quo minus intempeſtive hujuſmodi attingeret, idcirco non factũ fuiſſe ſuem. Atque hujuſmodi de his ſerio ſimul ac joco proferebat.

8. Quod res venereas attinet, monebat,ut à formoſis ſummopere abſtineretur : nec enim eſſe dicebat facile,ut ejuſmodi attingendo,continenter quis ſe gereret. Quinimo cum aliquando audiiſſet,quod Critobulus Critonis filius, Alcibiadis filium perquam elegantem oſculatus eſſet, Xenophontem, præſente Critobulo, interrogabat:

9. Dic

θ'. Εἰπέ μοι, ἔφη, ὦ Ξενοφῶν, οὐ σὺ Κριτόβουλον ἐνόμιζες εἶναι τῶν σωφρονικῶν ἀνθρώπων μᾶλλον, ἢ τῶν *ἐραστῶν, καὶ τῶν προνοητικῶν μᾶλλον, ἢ τῶν ἀνοήτων τε καὶ ῥιψοκινδύνων; πάνυ μὲν οὖν, ἔφη ὁ Ξενοφῶν. νῦν τοίνυν νόμιζε αὐτὸν θερμουργότατον εἶναι, καὶ *λεωργότατον· οὗτος κἂν εἰς μαχαίρας κυβιστήσειε, κἂν εἰς πῦρ ἅλοιτο.

ι'. Καὶ τί δή, ἔφη ὁ Ξενοφῶν, ἰδὼν ποιοῦντα, ταῦτα κατέγνωκας αὐτοῦ; οὐ γὰρ οὗτος, ἔφη, ἐτόλμησε τὸν Ἀλκιβιάδου υἱὸν φιλῆσαι, ὄντα εὐπροσωπότατον καὶ ὡραιότατον; ἀλλ' εἰ μέντοι, ἔφη ὁ Ξενοφῶν, τοιοῦτόν ἐστι τὸ ῥιψοκίνδυνον ἔργον, κἂν ἐγὼ δοκῶ μοι τὸν κίνδυνον τοῦτον ὑπομεῖναι.

ια'. Ὦ τλῆμον, ἔφη ὁ Σωκράτης, καὶ τί ἆρ' οἴει παθεῖν καλὸν φιλήσας; ἆρ' οὐκ ἂν αὐτίκα μάλα δοῦλος ἀντ' ἐλευθέρου εἶναι; πολλὰ δὲ δαπανᾶν εἰς βλαβερὰς ἡδονάς; πολλὴν δὲ ἀσχολίαν ἔχειν τοῦ ἐπιμεληθῆναί τινος καλοῦ κἀγαθοῦ; σπουδάζειν δὲ ἀναγκασθῆναι ἐφ' οἷς οὐδ' ἂν μαινόμενος σπουδάσειεν;

ιβ'. Ω

9. Dic mihi, mi Xenophon, non tu Critobulum existimabas potius continentem esse, quam amatorem, providumque potius quam amentem ac temerarium? omnino, inquit Xenophon. Nunc igitur cum velis existimes fervidissimum in agendo esse, ac audacissimum, ita ut se vel in enses præcipitem dare, vel in ignem insilire audeat.

10. Et quidnam, inquit Xenophon, committentem vidisti, quod ita de ipso statuis? Annon hic ille est, ait, qui filium Alcibiadis formosissimum ac pulcerrimum osculari ausus est? Enimvero si tale quid, inquit Xenophon, temerarium facinus est, etiam ipse videor id adire periculi posse.

11. Miserum te, ait Socrates, quid eventurum tibi existimas, si formosum osculeris? annon subito pro libero servus esses? non multa in voluptates noxias impenderes? non occupatus esses, quo minus honestæ alicui præclaræque rei studeres? non in ea cogereris incumbere, quæ ne furiosus quidem curaverit?

12. Acrem

ιβ΄. Ὦ Ἡράκλεις, ἔφη Ξενοφῶν, ὡς δεινήν τινα λέγεις δύναμιν τοῦ φιλήματος εἶναι. καὶ τοῦτο, ἔφη ὁ Σωκράτης, θαυμάζεις; οὐκ οἶσθα, ἔφη, ὅτι τὰ φαλάγγια οὐδ' ἡμιωβολιαῖα τὸ μέγεθος ὄντα, προσαψάμενα μόνον τῷ στόματι, ταῖς τε ὀδύναις ἐπιτρίβει τοὺς ἀνθρώπους, καὶ τοῦ φρονεῖν ἐξίστησι; ναὶ μὰ Δί', ἔφη ὁ Ξενοφῶν· ἐνίησι γάρ τι τὰ φαλάγγια κατὰ τὸ δῆγμα.

ιγ΄. Ὦ μωρέ, ἔφη ὁ Σωκράτης, τοὺς δὲ καλοὺς οὐκ οἴει φιλοῦντας ἐνιέναι τι, * ὅ, τι σὺ οὐχ ὁρᾷς; οὐκ οἶσθ' ὅτι τοῦτο τὸ θηρίον, ὃ καλοῦσι καλὸν καὶ ὡραῖον, τοσούτῳ δεινότερόν ἐστι τῶν φαλαγγίων, ὅσῳ ἐκεῖνα μὲν ἁψάμενα, τοῦτο δὲ οὐδ' ἁπτόμενον, ἐάν τις αὐτὸ θεᾶται, ἐνίησί τε καὶ πάνυ πόρρωθεν τοιοῦτον, ὥστε μαίνεσθαι ποιεῖν; ἴσως δὲ καὶ οἱ ἔρωτες τοξόται διὰ τοῦτο καλοῦνται, ὅτι καὶ πόρρωθεν οἱ καλοὶ τιτρώσκουσιν. ἀλλὰ συμβουλεύω σοι, ὦ Ξενοφῶν, ὁπότ' ἂν ἴδῃς τινὰ καλόν, φεύγειν προτροπάδην. σοὶ δέ, ὦ Κριτόβουλε, συμβουλεύω ἀπενιαυτίσαι· μόλις

γὰρ

12. Acrem tu mehercules, inquit Xenophon, inesse vim dicis osculo. Hoccine, inquit Socrates, tibi mirum est? an nescis phalangia quæ vix oboli dimidii magnitudinem æquant, tantum ori applicata, doloribus homines conficere, & mente emovere. Ita est profecto, ait Xenophon: nam phalangia morsu ipso quiddam infigunt.

13. O stulte, ait Socrates, non existimas formosos osculando quiddam infigere, quod tu non videas? an nescis id animal, quod appellant pulcrum ac formosum, eo phalangiis esse acrius, quod illa quidem tangendo, hoc vero ne quidem tangens, si modo spectetur, infigat etiam longo ex intervallo aliquid ejusmodi, quod insanire faciat? Fortassis etiam Amores hac ipsa de causa sagittarii dicuntur, quod formosi etiam longe vulnerent. Quamobrem, mi Xenophon, tibi consulo, ut ubi formosum videris, averso vultu fugias: Tibi vero, mi Critobule, hoc do consilii, ut anno toto peregrineris; nam vix fortasse

tasse

γὰρ ἂν ἴσως ἐν τοσούτῳ χρόνῳ τὸ δῆγμα ὑγιὴς γένοιο.

ιδ΄. Οὕτω δὴ καὶ * ἀφροδισιάζειν τοὺς μὴ ἀσφαλῶς ἔχοντας πρὸς ἀφροδίσια ᾤετο χρῆναι πρὸς τοιαῦτα, οἷα μὴ πάνυ μὲν δεομένου τοῦ σώματος, οὐκ ἂν προσδέξαιτο ἡ ψυχή· δεομένου δὲ, οὐκ ἂν πράγματα παρέχοι. αὐτὸς δὲ πρὸς ταῦτα φανερὸς ἦν οὕτω παρεσκευασμένος, ὥστε ῥᾷον ἀπέχεσθαι τῶν καλλίστων καὶ ὡραιοτάτων, ἢ οἱ ἄλλοι τῶν αἰσχίστων καὶ ἀωροτάτων.

ιε΄. Περὶ μὲν δὴ βρώσεως, καὶ πόσεως, καὶ ἀφροδισίων, οὕτω κατεσκευασμένος ἦν, καὶ ᾤετο οὐδὲν ἂν ἧττον ἀρκούντως ἥδεσθαι τῶν πολλὰ ἐπὶ τούτοις πραγματευομένων, λυπεῖσθαι δὲ πολὺ ἔλαττον.

ΚΕΦ. δ΄.

Εἰ δέ τινες Σωκράτην νομίζουσιν (ὡς ἔνιοι γράφουσί τε καὶ λέγουσι περὶ αὐτοῦ τεκμαιρόμενοι) προ-

τρέψασθαι

taſſe tantum intra ſpatium ex hoc morſu convalueris.

14. Hujuſmodi rebus uti venereis eos qui adverſus talia muniti non eſſent, oportere putabat, cujuſmodi animus non expeteret, ſi corpus illis non admodum egeret; ſin egeret, negotia non faceſſerent. Atque ipſum conſtabat adverſus talia adeo paratum fuiſſe, ut facilius ab elegantiſſimis ac formoſiſſimis abſtineret, quam cæteri à turpiſſimis maximeque deformibus.

15. Quod igitur cibum, potum, & res venereas attinet, ita ſe comparaverat, ac ſe nihil quidem minus ad ſatietatem delectari putabat, quam qui in iis laborarent, at multo minus dolere.

CAP. IV.

Quod ſiqui Socratem putant, (ut & ſcribunt nonnulli de eo & loquuntur, quibuſdam argumentis inducti) adhortari

προτρέψασθαι μὲν ἀνθρώπους ἐπ' ἀρετὴν κράτιστον γεγονέναι, προαγαγεῖν δ' ἐπ' αὐτὴν οὐχ ἱκανόν, σκεψάμενοι μὴ μόνον ἃ ἐκεῖνος κολαστηρίου ἕνεκα τοὺς πάντ' οἰομένους εἰδέναι ἐρωτῶν ἤλεγχεν, ἀλλὰ καὶ ἃ λέγων συνημέρευε τοῖς συνδιατρίβουσι, δοκιμαζόντων εἰ ἱκανὸς ἦν βελτίους ποιεῖν τοὺς συνόντας.

β'. Λέξω δὲ πρῶτον ἅ ποτε αὐτοῦ ἤκουσα περὶ τοῦ δαιμονίου διαλεγομένου πρὸς Ἀριστόδημον τὸν Μικρὸν ἐπικαλούμενον. καταμαθὼν γὰρ αὐτὸν οὔτε θύοντα τοῖς θεοῖς ★ μηχανώμενον, οὔτε μαντικῇ χρώμενον, ἀλλὰ καὶ τῶν ποιούντων ταῦτα καταγελῶντα· Εἰπέ μοι, ἔφη, ὦ Ἀριστόδημε, ἔστιν οὕστινας ἀνθρώπων τεθαύμακας ἐπὶ σοφίᾳ; Ἔγωγ', ἔφη.

γ'. Καὶ ὅς, Λέξον ἡμῖν, ἔφη, τὰ ὀνόματα αὐτῶν. Ἐπὶ μὲν τοίνυν ἐπῶν ποιήσει Ὅμηρον ἔγωγε μάλιστα τεθαύμακα, ἐπὶ δὲ διθυράμβῳ Μελανιππίδην, ἐπὶ δὲ τραγῳδίᾳ Σοφοκλέα, ἐπὶ δὲ ἀνδριαντοποιίᾳ Πολύκλειτον, ἐπὶ δὲ ζωγραφίᾳ Ζεῦξιν.

δ'. Πό-

adhortari quidem homines ad virtutem fuisse optimum, adducere vero ad eam minus sufficientem, illi velim non solum considerent, quæ coërcendi causa de iis interrogata, qui omnia scire se putabant, refellebat; sed etiam ea, quæ quotidie cum familiaribus disserebat; atque ita periculum faciant, potueritne suos familiares meliores reddere.

2. Dicam autem primum, quæ aliquando ex ipso audivi, disserente de Deo ad Aristodemum cognomine Parvum. Hunc enim cum accepisset neque Diis sacrificare aliquid molientem, neque divinatione uti, imo & ridere omnes qui hæc facerent: Dic mihi, ait, Aristodeme, suntne quos ob sapientiam sis admiratus? Equidem, ait.

3. Dicito nobis, inquit, eorum nomina. Equidem Homerum in pangendis carminibus epicis admiratus sum maxime, in dithyrambo Melanippidem, in tragœdia Sophoclem, in statuaria Polycletum, in pictura Zeuxim.

4. Num

δ'. Πότερά σοι δοκοῦσιν οἱ ἀπεργαζόμενοι εἴδωλα ἄφρονά τε καὶ ἀκίνητα, ἀξιοθαυμαστότεροι εἶναι, ἢ οἱ ζῷα ἔμφρονά τε καὶ ἐνεργά; πολὺ νὴ Δία οἱ ζῷα, εἴπερ γε μὴ τύχῃ τινί, ἀλλὰ ὑπὸ γνώμης ταῦτα γίγνεται. τῶν δὲ ἀτεκμάρτως ἐχόντων ὅτου ἕνεκά ἐστι, καὶ τῶν φανερῶς ἐπ' ὠφελείᾳ ὄντων, πότερα τύχης καὶ πότερα γνώμης ἔργα κρίνεις; πρέπει μὲν τὰ ἐπ' ὠφελείᾳ γιγνόμενα γνώμης εἶναι ἔργα.

ε'. Οὐκοῦν δοκεῖ σοι ★ ἐξ ἀρχῆς ποιῶν ἀνθρώπους, ἐπ' ὠφελείᾳ προσθεῖναι αὐτοῖς δι' ὧν αἰσθάνονται ἕκαστα, ὀφθαλμοὺς μὲν ὥσθ' ὁρᾶν τὰ ὁρατά, ὦτα δὲ ὥστ' ἀκούειν τὰ ἀκουστά; ὀσμῶν γε μήν, εἰ μὴ ῥῖνες προσετέθησαν, τί ἂν ἡμῖν ὄφελος ἦν; τίς δ' ἂν αἴσθησις ἦν γλυκέων, καὶ δριμέων, καὶ πάντων τῶν διὰ στόματος ἡδέων, εἰ μὴ γλῶττα τούτων γνώμων ἐνειργάσθη;

ϛ'. Πρὸς δὲ τούτοις, οὐ δοκεῖ σοι καὶ τόδε προνοίας ἔργον ἐοικέναι, τὸ, ἐπεὶ ἀσθενὴς μέν ἐστιν ἡ ὄψις, βλε-

φάροις

4. Num vero videntur tibi digni esse majori admiratione, qui simulacra mente & motu expertia perficiunt, an qui animalia mente & motu prædita? Multo magis profecto qui animalia, siquidem ea non fortuito, sed consilio facta sint. Utra vero vel casus, vel consilii judicas esse opera? num ea, de quibus conjicere non licet, quanam de causa facta sint, an quæ manifesto sunt utilitatis causa? Ea certe convenit consilii esse opera, quæ utilitatis causa sint.

5. Annon igitur tibi videtur is qui ab initio fecit homines, utilitatis causa eis addidisse, per quæ sensu perciperent singula: nimirum oculos, ut ea cernerent, quæ cerni possunt; aures, ut audirent, quæ audiri possunt? Odorum certe, si nares additæ non fuissent, quis nobis extitisset usus? Quinam sensus fuisset rerum dulcium & acrium, suaviumq; omnium, quæ per os demittuntur, si non lingua harum exploratrix nobis fuisset indita?

6. Præterea non tibi videtur hoc quoq; putandum esse providentiæ opus, quod quum visus imbecillis

sit,

φάροις αὐτὴν θυρῶσαι, ἃ ὅταν μὲν αὐτῇ χρῆσθαί τι δέῃ, ἀναπετάννυται, ἐν δὲ τῷ ὕπνῳ συγκλείεται; ὡς δ' ἂν μηδὲ ἄνεμοι βλάπτωσιν, ἠθμὸν βλεφαρίδας ἐμφῦσαι, ὀφρύσι τε ἀπογεισῶσαι τὰ ὑπὲρ τῶν ὀμμάτων, ὡς μηδ' ὁ ἐκ τῆς κεφαλῆς ἱδρὼς κακουργῇ; τὸ δὲ ἀκοὴν δέχεσθαι μὲν πάσας φωνάς, ἐμπίπλασθαι δὲ μήποτε· καὶ τοὺς μὲν πρόσθεν ὀδόντας πᾶσι ζώοις οἵους τέμνειν εἶναι, τοὺς δὲ γομφίους, οἵους παρὰ τούτων δεξαμένους λεαίνειν· καὶ στόμα μὲν, δι' οὗ ὧν ἐπιθυμεῖ τὰ ζῶα, εἰσπέμπεται, πλησίον ὀφθαλμῶν καὶ ῥινῶν καταθεῖναι· ἐπεὶ δὲ τὰ ἀποχωροῦντα δυσχερῆ, ἀποστρέψαι τοὺς τούτων ὀχετοὺς, καὶ ἀπενεγκεῖν ᾗ δυνατὸν προσωτάτω ἀπὸ τῶν αἰσθήσεων; ταῦτα οὕτω προνοητικῶς πεπραγμένα ἀπορεῖς πότερα τύχης ἢ γνώμης ἔργα ἐστίν;

ζʹ. Οὐ μὰ τὸν Δί', ἔφη, ἀλλ' οὕτω γε σκοπουμένῳ πάνυ ἔοικε ταῦτα σοφοῦ τινος δημιουργοῦ καὶ φιλοζώου τεχνήματι. Τὸ δὲ, ἐμφῦσαι μὲν ἔρωτα τῆς τεκνοποιίας, ἐμφῦσαι δὲ

ταῖς

ſit, palpebris quaſi foribus muniretur, quæ ubi viſu opus eſt, aperiuntur, in ſomno autem clauduntur? quod, ne venti nocerent, cilia quaſi cribrum à natura adderentur, ac ſuperciliis, quaſi ſuggrundiis ea, quæ ſupra oculos ſunt, tegerentur, ut ne ſudor quidem de capite eos læderet? quod item auditus voces omnes exciperet, nunquam tamen repleretur? quod dentes anteriores univerſis animalibus darentur velut ad ſecandum, molares vero ad comminuendum, quæ ab iis acceperint? quod os, per quod immittitur, quicquid animalia appetunt, prope oculos & naribus collocaretur? quumque moleſta ſint, quæ excernuntur, canales horum averterentur, ut quam remotiſſime ab ipſis ſenſibus aveherentur? hæc igitur tam provide facta, caſuſne ſint, an conſilii opera dubitas?

7. Minime profecto, inquit, ſed mihi ſic ea conſideranti, ſapientis cujuſdam opificis ac animantium ſtudioſi artificium præ ſe ferre videntur. Jam quod cupiditas procreationis innaſceretur, ac parientibus

tibus

ταῖς γιναμέναις ἔρωτα τῦ ἐκτρέφειν, τοῖς δὲ τεραφῆσι μέγιςον μὲ πόθον τῦ ζῆν, μέγιςον δὲ φόβον τῦ θανάτε· ἀμέλει καὶ ταῦτα ἔοικε μηχανήμασί τινος ζῶα εἶναι βυλευσαμένε.

η'. Σὺ δὲ σαυτὸν φρόνιμόν τι δοκεῖς ἔχειν; ἐρώτα γοῦν, καὶ ἀποκρινῦμαι. ἄλλοθι δὲ ὐδαμῦ ὐδὲν οἴει φρόνιμον εἶναι; καὶ ταῦτα εἰδὼς, ὅτι γῆς τε μικρὸν μέρος ἐν τῷ σώματι, πολλῆς ὔσης, ἔχεις, καὶ ὑγρῦ βραχὺ, πολλοῦ ὄντος, καὶ τῶν ἄλλων δήπυ μεγάλων ὄντων ἑκάςυ μικρὸν μέρος λαβόντι τὸ σῶμα συνήρμοςαί σοι· νοῦν δὲ μόνον ἄρα ὐδαμῦ ὄντα σε εὐτυχῶς πῶς δοκεῖς συναρπάσαι; καὶ τάδε τὰ ὑπερμεγέθη καὶ πλῆθος ἄπειρα, δι' ἀφροσύνην τινὰ ὡς οἴει εὐτάκτως ἔχειν;

θ'. Μὰ Δί', ἔφη. ὐ γὰρ ὁρῶ τὺς κυρίυς, ὥσπερ τῶν ἐνθάδε γινομένων τὺς δημιυργύς. ὐδὲ γὰρ τὴν ἑαυτῦ σύγε ψυχὴν ὁρᾷς, ἣ τῦ σώματος κυρία ἐςίν· ὥςε κατά γε τῦτο ἔξεςί σοι λέγειν, ὅτι ὐδὲ γνώμῃ, ἀλλὰ τύχῃ πάντα πράττεις.

ι'. Καὶ

tibus cupiditas educandi, educatis maximum vitæ desiderium, maximusque mortis metus; certe hæc quoque similia sunt illius artificiis, qui, ut essent animalia, certo consilio constituerit.

8. Tu vero non teipsum aliquid habere prudentiæ putas? Interroga me, ac respondebo. An vero nusquam alibi quidquam esse putas prudentiæ? præsertim quum scias, quod exiguam terræ partem habeas in corpore, quum ea magna sit; quod humoris parum, quum is multus sit; quod de singulis rebus cæteris, quæ magnæ sunt, tibi exiguam partem accipienti corpus compactum fuerit; mentem vero, quæ sola nusquam est, quodammodo feliciter prehendisse te sentis? atq; hæc amplissima, numeroque infinita, per dementiam quandam tam pulcre ordinari putas?

9. Profecto, inquit. Nam autores non video, sicut earum rerum opifices, quæ hic fiunt. Nimirum tu ne tui quidem ipsius animum cernis, qui in corpore dominatur; ita ut secundum hoc liceat tibi dicere, te non consilio, sed casu omnia facere.

10. Tum

ι'. Καὶ ὁ Ἀριστόδημος, οὔτοι, ἔφη, ἐγώ, ὦ Σώκρατες, ὑπερορῶ τὸ δαιμόνιον, ἀλλ' ἐκεῖνον μεγαλοπρεπέστερον ἡγοῦμαι, ἢ ὡς τῆς ἐμῆς θεραπείας προσδεῖσθαι. Οὐκοῦν (ἔφη) ὅσῳ μεγαλοπρεπέστερον ἀξιοῖ σε θεραπεύειν, τοσούτῳ μᾶλλον τιμητέον αὐτό.

ια'. Εὖ ἴσθι (ἔφη) ὅτι εἰ νομίζοιμι Θεοὺς ἀνθρώπων τι φροντίζειν, οὐκ ἂν ἀμελοίην αὐτῶν. ἔπειτ' οὐκ οἴει φροντίζειν, οἳ πρῶτον μὲν μόνον τῶν ζώων ἄνθρωπον ὀρθὸν ἀνέστησαν, (ἡ δὲ ὀρθότης καὶ προορᾶν πλεῖον ποιεῖ δύνασθαι, καὶ τὰ ὕπερθεν μᾶλλον θεᾶσθαι, καὶ ἧττον κακοπαθεῖν) καὶ ὄψιν, καὶ ἀκοήν, καὶ στόμα ἐνεποίησε; ἔπειτα τοῖς μὲν ἄλλοις ἑρπετοῖς πόδας ἔδωκαν, οἳ τὸ πορεύεσθαι μόνον παρέχουσιν· ἀνθρώπῳ δὲ καὶ χεῖρας προσέθεσαν, αἳ τὰ πλεῖστα, οἷς εὐδαιμονέστεροι ἐκείνων ἐσμέν, ἐξεργάζονται;

ιβ'. Καὶ μὴν γλῶτταν γε πάντων τῶν ζώων ἐχόντων, μόνην τὴν τῶν ἀνθρώπων ἐποίησε, οἵαν ἄλλοτε ἀλλαχῇ ψαύουσαν τοῦ στόματος ἀρθροῦν τε τὴν φωνήν, καὶ σημαίνειν πάντα ἀλλήλοις ἃ βουλόμεθα·

10. Tum Ariſtodemus, Ego, mi Socrates, inquit, numen non ſperno, ſed arbitror id eſſe magnificentius, quam ut cultu meo indigeat. Imo (ait) quanto magnificentius tui curam habere dignatur, tanto magis honore abs te afficiendum eſt.

11. Scias (inquit) non me Deos neglecturum, ſi putarem eos res humanas curare. Tu ergo curare non arbitraris eos, qui primo inter animalia ſolum hominem rectum conſtituerint, (rectitudo autem & longius proſpicere facit, & melius ſuperna ſpectare, & minus lædi) atque etiam viſum, auditum, os in eo effecerint: deinde cæteris quidem reptilibus pedes dederint, qui hoc ſolum præbent, ut incedere poſſint: homini vero etiam manus addiderint, quæ plurima perficiunt, ob quæ beatiores illis ſumus?

12. Linguam vero quum animalia cuncta habeant, ſolam humanam ejuſmodi condiderunt, ut, ore alias alibi contacto, vocem articulet, omniaque ſignificet invicem quæcunque volumus.

βουλόμεθα. *τὸ δὲ, καὶ τὰς τῶν ἀφροδισίων ἡδονὰς τοῖς μὲν ἄλλοις ζώοις δοῦναι, περιγράψαντας τοῦ ἔτους χρόνον, ἡμῖν δὲ συνεχῶς μέχρι γήρως ταῦτα παρέχειν.

ιγ'. Οὐ τοίνυν μόνον ἤρκεσε τῷ Θεῷ σώματος ἐπιμεληθῆναι, ἀλλ' (ὅπερ μέγιστόν ἐστι) καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσε. τίνος γὰρ ἄλλου ζώου ψυχὴ πρῶτα μὲν Θεῶν τῶν τὰ μέγιστα καὶ κάλλιστα συνταξάντων, ἤσθηται ὅτι εἰσί; τί δὲ φῦλον ἄλλο, ἢ ἄνθρωποι, Θεοὺς θεραπεύουσι; ποία δὲ ψυχὴ τῆς ἀνθρωπίνης ἱκανωτέρα προφυλάττεσθαι ἢ λιμὸν, ἢ δίψος, ἢ ψύχη, ἢ θάλπη, ἢ νόσοις ἐπικουρῆσαι, ἢ ῥώμην ἀσκῆσαι, ἢ πρὸς μάθησιν ἐκπονῆσαι, ἢ ὅσα ἂν ἀκούσῃ, ἢ ἴδῃ, ἢ μάθῃ, ἱκανωτέρα ἐστὶ διαμεμνῆσθαι;

ιδ'. Οὐ γὰρ πάνυ σοὶ κατάδηλον, ὅτι παρὰ τὰ ἄλλα ζῶα ὥσπερ Θεοὶ ἄνθρωποι βιοτεύουσι, φύσει καὶ τῷ σώματι καὶ τῇ ψυχῇ κρατιστεύοντες; οὔτε γὰρ βοὸς ἂν ἔχων σῶμα, ἀνθρώπου δὲ γνώμην, ἠδύνατ' ἂν πράττειν

mus. Addas & hoc, quod venereas voluptates quum cæteris animalibus ita dederint, ut certum anni tempus eis præscripserint, nobis ad senectutem usque has continuo suppeditent.

13. Neque tamen satis hoc Deo fuit, ut corpus curaret; sed (quod maximum est) etiam præstantissimam animam homini indidit. Nam cujus alterius animalis anima deprehendit primum de Diis qui hæc amplissima ac pulcerrima construxerunt, eos esse? quod item aliud genus, præter homines, Deos colit? Quænam anima humanam superat in præcavenda fame, siti, frigoribus, caloribus, vel in medendo morbis, vel exercendo robore, vel ampliori doctrina comparanda, vel in eorum memoria retinenda, quæcunque vel audierit, vel viderit, vel didicerit?

14. An enim plane tibi manifestum non est, homines inter animalia cætera quasi Deos quosdam vivere, longe ab ipsa natura tum corpore tum anima cæteris præstantes? Nec enim si bovis haberet corpus, mentē autem hominis, facere,

πράττειν ἃ ἐβούλετο· οὔθ᾽ ὅσα χεῖρας ἔχει, ἄφρονα δ᾽ ἐστί, πλέον οὐδὲν ἔχει. σὺ δὲ ἀμφοτέρων τῶν πλείστου ἀξίων τετυχηκώς, οὐκ οἴει σοῦ θεοὺς ἐπιμελεῖσθαι; ἀλλ᾽ ὅταν τί ποιήσωσι, νομιῇς αὐτοὺς σοῦ φροντίζειν;

ιε΄. Ὅταν πέμπωσιν (ὥσπερ σὺ φῂς πέμπειν αὐτοὺς) συμβούλους ὅ,τι χρὴ ποιεῖν καὶ μὴ ποιεῖν. ὅταν δὲ Ἀθηναίοις (ἔφη) πυνθανομένοις τι διὰ μαντικῆς φράζωσιν, οὐ καὶ σοὶ δοκεῖς φράζειν αὐτούς; οὐδ᾽ ὅταν τοῖς Ἕλλησι τέρατα πέμποντες προσημαίνωσιν, οὐδ᾽ ὅταν πᾶσιν ἀνθρώποις; ἀλλὰ μόνον σὲ ἐξαιροῦντες ἐν ἀμελείᾳ κατατίθενται;

ιϛ΄. Οἴει δ᾽ ἂν τοὺς θεοὺς τοῖς ἀνθρώποις δόξαν ἐμφῦσαι, ὡς ἱκανοί εἰσιν εὖ καὶ κακῶς ποιεῖν, εἰ μὴ δυνατοὶ ἦσαν; καὶ ἀνθρώπους ἐξαπατωμένους τὸν πάντα χρόνον οὐδέποτ᾽ ἂν αἰσθέσθαι; οὐχ ὁρᾷς ὅτι τὰ πολυχρονιώτατα καὶ σοφώτατα τῶν ἀνθρωπίνων, πόλεις καὶ ἔθνη, θεοσεβέστατά ἐστι, καὶ αἱ φρονιμώταται ἡλικίαι, θεῶν ἐπιμελέσταται;

ιζ΄. Ω

cere, quæ voluiſſet, potuiſſet: nec illa, quæ manus quidem habent, ſed mente carent, aliquid plus obtinēt. Tu vero quum utrumq; pretii longe maximi conſequutus ſis, non curare te Deos arbitraris? At quidnā ubi fecerint, eos te curare putabis?

15. Quum miſerint (quemadmodum tu dicis eos mittere) conſiliarios eorum quæ vel agenda vel non agenda ſint. Verum ubi quid Athenienſibus (inquit) per divinationem conſulentibus reſpondent, annon tibi quoque reſpondere putas? non quum Græcis, quum hominibus univerſis portenta mittunt quid prænunciantes? Te ſcilicet ſolum eximentes, extra curam ſuam collocant?

16. Num arbitraris Deos hominibus opinionem indituros fuiſſe, quod & beneficiis & pœnis afficere poſſint, ſi non revera id poſſent? & homines perpetuo deceptos horum nihil unquam ſenſiſſe? non vides quod inter res humanas antiquiſſimæ & ſapientiſſimæ, nimirum urbes & nationes, ſint religioſiſſimæ; quodq; ætates prudentiſſimæ, Deorū maxime ſint ſtudioſæ?

ιζ΄. Ὦ 'γαθὲ (ἔφη) κατάμαθε, ὅτι καὶ ὁ σὸς νοῦς ἐνὼν τὸ σὸν σῶμα, ὅπως βούλεται, μεταχειρίζεται· οἴεσθαι οὖν χρὴ καὶ τὴν ἐν παντὶ φρόνησιν τὰ πάντα, ὅπως ἂν αὐτῇ ἡδὺ ᾖ, οὕτω τίθεσθαι· καὶ μὴ τὸ σὸν μὲν ὄμμα δύνασθαι ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι, τὸν δὲ τοῦ Θεοῦ ὀφθαλμὸν ἀδύνατον εἶναι ἅμα πάντα ὁρᾷν· μηδὲ τὴν σὴν μὲν ψυχὴν καὶ περὶ τῶν ἐνθάδε καὶ περὶ τῶν ἐν Αἰγύπτῳ καὶ ἐν Σικελίᾳ δύνασθαι φροντίζειν, τὴν δὲ τοῦ Θεοῦ φρόνησιν μὴ ἱκανὴν εἶναι ἅμα πάντων ἐπιμελεῖσθαι.

ιη΄. Ἢν μέντοι, ὥσπερ ἀνθρώπους θεραπεύων γιγνώσκεις τοὺς ἀντιθεραπεύειν ἐθέλοντας, καὶ χαριζόμενος τοὺς ἀντιχαριζομένους, καὶ συμβουλευόμενος καταμανθάνεις τοὺς φρονίμους· οὕτω καὶ τῶν Θεῶν πεῖραν λαμβάνῃς θεραπεύων, εἴ τι σοι θελήσουσι περὶ τῶν ἀδήλων ἀνθρώποις συμβουλεύειν, γνώσῃ τὸ θεῖον, ὅτι τοσοῦτόν ἐστιν, ὥσθ' ἅμα πάντα ὁρᾷν, καὶ πάντα ἀκούειν, καὶ πανταχοῦ παρεῖναι, καὶ ἅμα πάντων ἐπιμελεῖσθαι αὐτούς.

ιθ΄. Ἐμοὶ

17. Disce, inquit, ô bone vir, etiam mentem tuam, dum ineſt, ex arbitratu ſuo corpus gubernare. Quamobrem exiſtimandum eſt, illam quoque ſapientiam, quæ eſt in hoc univerſo, ſic omnia regere, ut ipſi gratum eſt: non oculum tuum ad multa uſque ſtadia pertingere poſſe, & non poſſe Dei oculum ſimul omnia intueri: neque animum tuum tam de rebus quæ heic accidunt, quam de illis quæ in Ægypto & Sicilia, cogitare poſſe; & non poſſe Dei ſapientiam ſimul omnia curare.

18. Enimvero ſi, quemadmodum advertis, dum homines colis, qui te viciſſim colere velint; ac dum gratificaris, qui viciſſim velint gratificari; dumque alios conſulis, quinam prudentes ſint perſpicis: eodem modo Deos etiam colendo periculum feceris, an quid tibi velint iis de rebus, quæ hominibus obſcuræ ſunt, conſulere; intelliges numen tantum eſſe, ut omnia pariter videat, & audiat omnia, & ubique adſit, & pariter omnium curam gerat.

19. Hæc

ιθ'. Ἐμοὶ μὲ ταῦτα λέγων οὐ μόνον τοὺς συνόντας ἐδόκει ποιεῖν, ὁπότε ὑπὸ τῶν ἀνθρώπων ὁρῷντο, ἀπέχεσθαι ἀνοσίων τε καὶ ἀδίκων καὶ αἰσχρῶν, ἀλλὰ καὶ ὁπότε ἐν ἐρημίᾳ εἶεν· ἐπείπερ ἡγήσαιντο μηδὲν ἄν ποτε, ὧν πράττοιεν, θεοὺς διαλαθεῖν.

ΚΕΦ. έ.

Εἰ δὲ δὴ καὶ ἐγκράτεια καλόν τε κἀγαθὸν ἀνδρὶ κτῆμά ἐστιν, ἐπισκεψώμεθα εἴ τι προυβίβαζε λέγων εἰς τοιαύτην τοιάδε· Ὦ ἄνδρες, εἰ πολέμου ἡμῖν γινομένου βουλοίμεθα ἑλέσθαι ἄνδρα, ὑφ᾽ οὗ μάλιστα ἂν αὐτοὶ μὲ σωζοίμεθα, τοὺς δὲ πολεμίους χειροίμεθα, ἆρ᾽ ὅντιν᾽ ἂν αἰσθανοίμεθα ἥττω γαστρὸς, ἢ οἴνου, ἢ ἀφροδισίων, ἢ πόνου, ἢ ὕπνου, τοῦτον αἱροίμεθα; καὶ πῶς μὲ οἰηθείημεν τὸν τοιοῦτον ἢ ἡμᾶς σῶσαι, ἢ τοὺς πολεμίους κρατῆσαι;

β'. Εἰ δ᾽ ἐπὶ τελευτῇ τοῦ βίου γινόμενοι βουλοίμεθά τῳ

19. Hæc quum diceret, non mihi tantum in familiaribus suis efficere videbatur, ut quoties ab hominibus conspicerentur, à rebus impiis, injustis, turpibus abstinerent, sed etiam quoties in solitudine essent: quippe qui existimarent, nihil unquam eorum quæ agerent, occultum esse Diis posse.

CAP. V.

Quod si etiam continentia possessio quædam bona & præclara est homini, dispiciamus, an aliquid proficeret, ita de ea disserens: Si bello nobis indicto, Viri, aliquem vellemus eligere, per quem nos maxime conservaremur, atque hostes subigerentur: num aliquem legeremus, quem & à gula, & à vino, & à rebus venereis, & à labore, & à somno vinci sentirimus? Et quinam statuere possemus ejusmodi hominem vel nos conservaturum, vel debellaturum hostes?

2. Itidem si vitæ fine nobis imminente, committere vellemus alicui

τα ἐπιτρέψαι ἢ παῖδας ἄρρενας παιδεῦσαι, ἢ θυγατέρας παρθένους διαφυλάξαι, ἢ χρήματα διασῶσαι, ἆρ' ἀξιόπιστον εἰς τοῦτ' ἡγησόμεθα τὸν ἀκρατῆ; δούλῳ δ' ἀκρατεῖ ἐπιτρέψαιμεν ἂν ἢ βοσκήματα, ἢ ταμιεῖα, ἢ ἔργων ἐπίστασιν; διάκονον δὲ καὶ ἀγοραστὴν τοιοῦτον ἐθελήσαιμεν ἂν προῖκα λαβεῖν; ἀλλὰ μὴν εἴ γε μηδὲ δοῦλον ἀκρατῆ δεξαίμεθ' ἄν, πῶς οὐκ ἄξιον αὐτόν γε φυλάξασθαι τοιοῦτον γενέσθαι;

γ'. Καὶ γὰρ οὐχ ὥσπερ οἱ πλεονέκται τῶν ἄλλων ἀφαιρούμενοι χρήματα ἑαυτοὺς δοκοῦσι πλουτίζειν, οὕτως ὁ ἀκρατὴς τοῖς μὲν ἄλλοις βλαβερός, ἑαυτῷ δ' ὠφέλιμος, ἀλλὰ κακοῦργος μὲν τῶν ἄλλων, ἑαυτοῦ δὲ πολὺ κακουργότερος, εἴ γε κακουργότατόν ἐστι, μὴ μόνον τὸν οἶκον τὸν ἑαυτοῦ φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν.

δ'. Ἐν συνουσίᾳ δὲ τίς ἂν ἡσθείη τῷ τοιούτῳ, ὃν εἰδείη τῷ ὄψῳ τε καὶ τῷ οἴνῳ χαίροντα μᾶλλον ἢ τοῖς φίλοις, καὶ τὰς πόρνας ἀγαπῶντα μᾶλλον ἢ τοὺς ἑταίρους;

ἆρα

alicui vel liberos mares erudiendos, vel filias virgines custodiendas, vel servandam pecuniam: num hominem intemperantem in his fide dignum esse putaremus? Et servo intemperanti num vel pecora, vel penum, vel operum cognitionem committeremus? num ministrum & obsonatorem ejusmodi vel gratis accipere vellemus? Enimvero si ne servum quidem intemperantem accepturi simus, qui non operæ-pretium sit cavere ne quis ipse talis fiat?

3 Etenim non ita, ut avari homines, qui dum aliis pecunias auferunt, seipsos videntur collocupletare; sic & intemperans aliis quidem nocet, sibi vero prodest; sed ut aliis perniciosus est, ita sibi ipsi multo perniciosior: siquidem longe perniciosissimum est, non modo domum suam destruere, sed & corpus & animam.

4. Cæterum in conversatione quis ejusmodi homine delectetur, quem obsonio & vino magis gaudere sciat, quam amicis; magisque scorta diligere, quam socios?

Nonne

ἆρά γε οὐ χρὴ πάντα ἄνδρα ἡγησάμενον τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα, ταύτην πρῶτον ἐν τῇ ψυχῇ κατασκευάσασθαι;

ε'. Τίς γὰρ ἄνευ ταύτης ἢ μάθοι τι ἂν ἀγαθὸν, ἢ μελετήσειεν ἀξιολόγως; ἢ τίς οὐκ ἂν ταῖς ἡδοναῖς δουλεύων αἰσχρῶς διατεθείη καὶ τὸ σῶμα καὶ τὴν ψυχήν; ἐμοὶ μὲν δοκεῖ νὴ τὴν Ἥραν ἐλευθέρῳ μὲν ἀνδρὶ εὐκτὸν εἶναι, μὴ τυχεῖν δούλου τοιούτου, δουλεύοντα δὲ ταῖς τοιαύταις ἡδοναῖς ἱκετεύειν τοὺς Θεοὺς δεσποτῶν ἀγαθῶν τυχεῖν· οὕτω γὰρ ἂν μόνον ὁ τοιοῦτος σωθείη.

ς'. Τοιαῦτα δὲ λέγων, ἔτι ἐγκρατέστερον τοῖς ἔργοις ἢ τοῖς λόγοις ἑαυτὸν ἐπεδείκνυεν. οὐ γὰρ μόνον τῶν διὰ τοῦ σώματος ἡδονῶν ἐκράτει, ἀλλὰ καὶ τῆς διὰ τῶν χρημάτων· νομίζων τὸν παρὰ τοῦ τυχόντος χρήματα λαμβάνοντα, δεσπότην ἑαυτοῦ καθιστάναι, καὶ δουλεύειν δουλείαν οὐδεμιᾶς ἧττον αἰσχράν.

ΚΕΦ.

Nonne quemvis hominem, qui norit temperantiam virtutis eſſe fundamentum, hanc primum in animo ſuo parare decet?

5. Quis enim abſque hac recte vel boni aliquid diſcat, vel exercitatione conſequatur? Quis voluptatibus ſerviens non turpiter tum corpore tum animo diſpoſitus ſit? Equidem profecto ita ſtatuo, homini libero optandum eſſe, ut hujuſmodi ſervum non conſequatur: atque illi, qui voluptatibus ejuſmodi ſervit, Deos eſſe obſecrandos, ut dominos bonos nanciſcatur: nam hoc modo tantum vir talis ſalvus eſſe poſſit.

6. Hæc quum diceret, ſe temperantiorem ipſa re, quam oratione, demonſtrabat: quippe non ſolum eas voluptates ſuperabat, quæ per corpus percipiuntur, ſed etiam eam, quæ ex opibus. Exiſtimabat enim illum qui à quovis pecuniam acciperet, dominum ſibi conſtituere, ac ſervitutem ſervire quavis alia turpiorem.

CAP.

ΚΕΦ. ϛ'.

Ἄξιον δ' αὐτοῦ καὶ ἃ πρὸς Ἀντιφῶντα τὸν σοφιστὴν διελέχθη, μὴ παραλιπεῖν. ὁ γὰρ Ἀντιφῶν ποτε βουλόμενος τοὺς συνουσιαστὰς αὐτοῦ παρελέσθαι, προσελθὼν τῷ Σωκράτει, παρόντων αὐτῶν, ἔλεξε τάδε·

β'. Ὦ Σώκρατες, ἐγὼ μὲν ᾤμην τοὺς φιλοσοφοῦντας εὐδαιμονεστέρους χρῆναι γίγνεσθαι· σὺ δέ μοι δοκεῖς τἀναντία τῆς σοφίας ἀπολελαυκέναι. ζῇς γοῦν οὕτως, ὡς οὐδ' ἂν εἷς δοῦλος ὑπὸ δεσπότῃ διαιτώμενος μείνειε· σιτία τε σιτῇ καὶ ποτὰ πίνεις τὰ φαυλότατα, καὶ ἱμάτιον ἠμφίεσαι οὐ μόνον φαῦλον, ἀλλὰ τὸ αὐτὸ θέρους τε καὶ χειμῶνος· ἀνυπόδητός τε καὶ ἀχίτων διατελεῖς.

γ'. Καὶ μὴν χρήματά γε οὐ λαμβάνεις, ἃ καὶ κτωμένους εὐφραίνει, καὶ κεκτημένους ἐλευθεριώτερόν τε καὶ ἥδιον ποιεῖ ζῆν. εἰ οὖν, ὥσπερ καὶ τῶν ἄλλων ἔργων οἱ διδάσκαλοι τοὺς

CAP. VI.

Fuerit autem operæ-pretium, ne illa quidem præterire, quæ cum Antiphonte sapientiæ professore disseruit. Antipho enim, volens aliquando familiares ejus ab eo abducere, ad Socratem accedens, ipsis etiam præsentibus, ita locutus est:

2. Arbitrabar ego, Socrates, eos qui philosopharentur, feliciores fieri oportere: at tu mihi videris sapientia in contrarium frui. Sic enim vivis, quo pacto si vel quivis servus sub domino victitaret, non maneret. Uteris cibo potuque vilissimo, neque tantum veste vili, sed eadem quoque per æstatem & hyemem indueris, & semper sine calceis tunicaque incedis.

3. Præterea pecuniam non accipis, quæ & comparantes lætificat, & iis qui jam compararunt liberalius jucundiusque vivendi causam præbet. Quamobrem, si quemadmodum reliquorum studiorum magistri discipulos

τοὺς μαθητὰς μιμητὰς ἑαυτῶν ἀποδεικνύουσιν, οὕτω καὶ σὺ τοὺς συνόντας διαθήσεις, νόμιζε κακοδαιμονίας διδάσκαλος εἶναι.

δ'. Καὶ ὁ Σωκράτης πρὸς ταῦτα εἶπεν· δοκεῖς μοι, (ἔφη) ὦ Ἀντιφῶν, ὑπειληφέναι με οὕτως ἀνιαρῶς ζῆν, ὥστε πέπεισμαι σὲ μᾶλλον ἀποθανεῖν ἂν ἑλέσθαι, ἢ ζῆν ὥσπερ ἐγώ. Ἴθι οὖν ἐπισκεψώμεθα, τί χαλεπὸν ᾔσθησαι τοῦ ἐμοῦ βίου.

ε'. Πότερον, ὅτι τοῖς μὲν λαμβάνουσιν ἀργύριον ἀναγκαῖόν ἐστιν ἀπεργάζεσθαι τοῦτο, ἐφ' ᾧ ἂν μισθὸν λαμβάνωσιν· ἐμοὶ δὲ μὴ λαμβάνοντι οὐκ ἀνάγκη διαλέγεσθαι ᾧ ἂν μὴ βούλωμαι; ἢ τὴν δίαιτάν μου φαυλίζεις, ὡς ἧττον μὲν ὑγιεινὰ ἐσθίοντος ἐμοῦ ἢ σοῦ, ἧττον δὲ ἰσχὺν παρέχοντα; ἢ ὡς χαλεπώτερα πορίσασθαι τὰ ἐμὰ διαιτήματα τῶν σῶν, διὰ τὸ σπανιώτερά τε καὶ πολυτελέστερα εἶναι; ἢ ὡς ἡδίω σοὶ, ἃ σὺ παρασκευάζῃ, ὄντα ἢ ἐμοὶ λέγω; οὐκ οἶσθ', ὅτι ὁ μὲν ἥδιστα ἐσθίων, ἥκιστα ὄψου δεῖται· ὁ δὲ ἥδιστα πίνων, ἥκιστα τοῦ μὴ παρόντος ἐπιθυμεῖ ποτοῦ;

ς'. Τὰ

pulos suos imitatores sui efficiunt, tales tu quoque familiares tuos reddes: puta infelicitatis te magistrum esse.

4. Ad ea Socrates, suspicari mihi videris, inquit, Antipho, tam ærumnosam me vitam degere, ut persuasus sim, malle te mori, quam meo more vivere. Age igitur dispiciamus, quid in vita mea acerbi deprehenderis.

5. An quod necesse sit, eos qui pecuniam accipiunt, hoc ipsum præstare, cujus causa mercedem accipiunt; quum mihi mercedem nullam accipienti necesse non sit ad eum differere quem nolim? an vilem victum esse meum putas, qui minus salubribus vescar, quam tu, ac iis quæ minus roboris suppeditent? an quod comparatu difficiliorem putas esse victum meum, quam tuum, quod & rarior sit, & pretiosior? an ea, quæ tu paras, tibi jucundiora esse dicam, quam mihi? num ignoras, qui suavissime vescitur, minime indigeat obsonio? qui suavissime bibit, minime potum absentem desideret?

6. Vestes

ϛ'. Τά γε μὴν ἱμάτια οἶσθ' ὅτι οἱ μεταβαλλόμενοι, ψύχους καὶ θάλπους ἕνεκα μεταβάλλονται, καὶ ὑποδήματα ὑποδοῦνται, ὅπως μὴ διὰ τὰ λυποῦντα τοὺς πόδας κωλύωνται πορεύεσθαι· ἤδη οὖν ποτε ᾔσθου ἐμὲ ἢ διὰ ψῦχος μᾶλλόν του ἔνδον μένοντα, ἢ διὰ θάλπος μαχόμενόν τῳ περὶ σκιᾶς, ἢ διὰ τὸ ἀλγεῖν τοὺς πόδας οὐ βαδίζοντα, ὅπου ἂν βούλωμαι;

ζ'. Οὐκ οἶσθ', ὅτι οἱ φύσει ἀσθενέστατοι τῷ σώματι, μελετήσαντες, τῶν ἰσχυροτάτων ἀμελησάντων κρείττους τε γίγνονται πρὸς ἃ μελετῶσι, καὶ ῥᾷον αὐτὰ φέρουσιν,; ἐμὲ δὲ ἄρα οὐκ οἴει τῷ σώματι ἀεὶ τὰ συντυγχάνοντα μελετῶντα καρτερεῖν, πάντα ῥᾷον φέρειν σοῦ μὴ μελετῶντος;

η'. Τοῦ δὲ μὴ δουλεύειν γαστρὶ, μηδὲ ὕπνῳ, καὶ λαγνείᾳ, οἴει τι ἄλλο αἰτιώτερον εἶναι, ἢ τὸ ἕτερα ἔχειν τούτων ἡδίω, ἃ οὐ μόνον ἐν χρείᾳ ὄντα εὐφραίνει, ἀλλὰ καὶ ἐλπίδας παρέχοντα ὠφελήσειν ἀεί;, καὶ μὴν τοῦτό γε οἶσθα, ὅτι οἱ μὲν οἰόμενοι μηδὲν εὖ πράττειν οὐκ εὐφραίνονται·

οἱ

6. Vestes quidem qui commutant, frigoris eas æstusque causa commutare nosti; & calceos subligant, ne propter ea quæ pedes lædunt, ambulare impediantur: tu vero an unquam sensisti me vel ob frigus magis, quam alius, domi manere, vel ob æstum cum aliquo de umbra pugnare, vel propter pedum dolorem non ire, quo velim?

7. An nescis eos qui sunt à natura corpore maxime imbecilli, ubi se exercuerint, in iis ad quæ se exercuerint, robustissimos quosque inexercitatos superare, eaque facilius ferre? me vero non putas exercitatum fortiter ferre quæcunque corpori unquam acciderint, cuncta facilius perferre, quam te non exercitatum?

8. An vero aliquid aliud magis in causa esse putas, quod gulæ, somno, lasciviæ non servio, quam quod his alia quædam habeo suaviora, quæ non solum in necessitate constitutum exhilarant, verum etiam hoc ipso, quod commodi perpetui spem faciant? Porro scis, qui nihil prospere sibi successurum putant, non esse lætos:

quum

οἱ δὲ ἡγούμενοι καλῶς προχωρεῖν ἑαυτοῖς ἢ γεωργίαν, ἢ ναυκληρίαν, ἢ ἄλλ' ὅ,τι ἂν τυγχάνωσιν ἐργαζόμενοι, ὡς εὖ πράττοντες εὐφραίνονται.

θ. Οἴει οὖν ἀπὸ πάντων τούτων τοσαύτην ἡδονὴν εἶναι, ὅσην ἀπὸ τοῦ ἑαυτόν τε ἡγεῖσθαι βελτίω γίγνεσθαι, καὶ φίλους ἀμείνους κτᾶσθαι; ἐγὼ τοίνυν διατελῶ ταῦτα νομίζων. ἐὰν δὲ δὴ φίλους ἢ πόλιν ὠφελεῖν δέῃ, ποτέρῳ ἡ πλείων σχολὴ τούτων ἐπιμελεῖσθαι, τῷ ὡς ἐγὼ νῦν, ἢ τῷ ὡς σὺ μακαρίζεις, διαιτωμένῳ; στρατεύοιτο δὲ πότερος ἂν ῥᾷον, ὁ μὴ δυνάμενος ἄνευ πολυτελοῦς διαίτης ζῆν, ἢ ᾧ τὸ παρὸν ἀρκοίη; ἐκπολιορκηθείη δὲ πότερος ἂν θᾶττον, ὁ τῶν χαλεπωτάτων δεόμενος μᾶλλον, ἢ ὁ τοῖς ῥᾴστοις ῥᾷστως ἐντυγχάνειν ἀρκούντως χρώμενος;

ι. Ἔοικας, ὦ Ἀντιφῶν, τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι· ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς δέεσθαι, θεῖον εἶναι, τὸ δὲ ὡς ἐλαχίστων, ἐγγυτάτω τοῦ θείου· καὶ τὸ μὲν θεῖον,

κρά-

quum illi, qui præclare ſibi vel agriculturam, vel naviculatoriam, vel quid aliud, quo occupati ſunt, ſuccedere putant, quaſi qui rebus utantur proſperis, lætentur.

9. Tune vero de his omnibus tantum voluptatis percipi cogitas, quantum ex eo, quod aliquis ſeipſum meliorem reddi putat, & amicos meliores conſequi? quod equidem nunquam non de me ſtatuo. Jam ſi vel amici juvandi ſint, vel ipſa civitas, cuinam plus otii fuerit ad ea procuranda? eine, qui ut ego victitat; an qui illo modo quem tu prædicas? uter facilius militet? Iſne qui nequit abſque ſumptuoſo victu vivere, an cui ſatis eſt id quod adeſt? uter citius expugnabitur? iſne qui inventu difficillima requirit, an qui eorum uſu, quæ facillime obvia ſunt, abunde contentus eſt?

10. Videris, Antipho, pro felicitate habere delicias & ſumptuoſum apparatum. Ego vero arbitror, nulla re indigere, divinum eſſe: quam pauciſſimis, proximum divino: ac divinum quidem quod ſit, præſtantiſſimum eſſe; quod

 autem

κράτιστον, τὸ δὲ ἐγγυτάτω τοῦ θείου, ἐγγυτάτω τοῦ κρατίστου.

ια'. Πάλιν δέ ποτε ὁ Ἀντιφῶν διαλεγόμενος τῷ Σωκράτει εἶπεν· ὦ Σώκρατες, ἐγώ τοι σὲ μὲν δίκαιον νομίζω, σοφὸν δὲ οὐδὲ ὁπωστιοῦν· δοκεῖς δέ μοι καὶ αὐτὸς τοῦτο γιγνώσκειν· οὐδένα γ' οὖν τῆς συνουσίας ἀργύριον πράττῃ. καί τοι τό γε ἱμάτιον, ἢ τὴν οἰκίαν, ἢ ἄλλό τι ὧν κέκτησαι, νομίζων ἀργυρίου ἄξιον εἶναι, οὐδενὶ ἂν μὴ ὅτι προῖκα δοίης, ἀλλ' οὐδ' ἔλαττον τῆς ἀξίας λαβών.

ιβ'. Δῆλον δή, ὅτι εἰ καὶ τὴν συνουσίαν ᾤου τινὸς ἀξίαν εἶναι, καὶ ταύτης ἂν οὐκ ἔλαττον τῆς ἀξίας ἀργύριον ἐπράττου. δίκαιος μὲν οὖν ἂν εἴης, ὅτι οὐκ ἐξαπατᾷς ἐπὶ πλεονεξίᾳ· σοφὸς δὲ οὐκ ἄν, μηδενός γε ἄξια ἐπιστάμενος.

ιγ'. Ὁ δὲ Σωκράτης πρὸς ταῦτα εἶπεν· ὦ Ἀντιφῶν, παρ' ἡμῖν νομίζεται, τὴν ὥραν καὶ τὴν σοφίαν ὁμοίως μὲν καλόν, ὁμοίως δὲ αἰσχρὸν διατίθεσθαι εἶναι· τήν τε γὰρ ὥραν, ἐὰν μέν τις ἀργυρίου πωλῇ τῷ βουλομένῳ, πόρνον αὐτὸν ἀποκαλοῦσιν·

ἐὰν

autem divino proximum, id etiam præstantissimo proximum esse.

11. Rursus idem Antipho disserens aliquando cum Socrate, Justum equidem, ait, esse te judico, mi Socrates, verum ne tantillum quidem sapientem: quod etiam ipse mihi videris non ignorare. Nam à nemine pecuniam exigis ob conversationem: at si vestem, vel domum, vel aliud quiddam eorum quæ possides, pretio dignum esse putares; non dicam gratis dares, sed ne minus quidem accipiens, quam valeat.

12. Itaque patet te, si existimares ullius esse pretii conversationem tuam, ex dignitate ejus pecuniam exacturum. Sis ergo sane justus, quod ob avaritiam neminem decipis: nequaquam vero sapiens, quum nihilo quidem digna noveris.

13. Ad ea respondit Socrates: Apud nos, Antipho, existimatur eodem modo posse aliquem & forma & sapientia vel honeste vel turpiter uti. Nam quum aliquis formam pecunia cuivis prostituat, scortatorem appellant; siquis autem,

ἐὰν δέ τις, ὃν ἂν γνῷ καλῶν τε κἀγαθῶν ἐραστὴν ὄντα, τοῦτον φίλον ἑαυτῷ ποιῆται, σώφρονα νομίζομεν. καὶ τὴν σοφίαν ὡσαύτως τοὺς μὲν ἀργυρίου τῷ βουλομένῳ πωλοῦντας, σοφιστὰς, ὥσπερ πόρνους ἀποκαλοῦσιν, ὅστις δὲ, ὃν ἂν γνῷ εὐφυῆ ὄντα, διδάσκων ὅ,τι ἂν ἔχῃ ἀγαθὸν, φίλον ποιῆται, τοῦτον νομίζομεν, ἃ τῷ καλῷ κἀγαθῷ πολίτῃ προσήκει, ταῦτα ποιεῖν.

ιδ'. Ἐγὼ δ' οὖν καὶ αὐτὸς, ὦ Ἀντιφῶν, ὥσπερ ἄλλος τις ἢ ἵππῳ ἀγαθῷ, ἢ κυνὶ, ἢ ὄρνιθι ἥδεται, οὕτω καὶ ἔτι μᾶλλον ἥδομαι φίλοις ἀγαθοῖς· καὶ ἐάν τι ἔχω ἀγαθὸν, διδάσκω, καὶ ἄλλοις συνίστημι, παρ' ὧν ἂν ἡγῶμαι ὠφελήσεσθαί τι αὐτοὺς εἰς ἀρετήν. καὶ τοὺς θησαυροὺς τῶν πάλαι σοφῶν ἀνδρῶν, οὓς ἐκεῖνοι κατέλιπον ἐν βιβλίοις γράψαντες, ἀνελίττων, κοινῇ σὺν τοῖς φίλοις διέρχομαι· καὶ ἄν τι ὁρῶμεν ἀγαθὸν, ἐκλεγόμεθα· καὶ μέγα νομίζομεν κέρδος, ἐὰν ἀλλήλοις φίλοι γιγνώμεθα. ἐμοὶ μὲν δὴ ταῦτα ἀκούοντι ἐδόκει αὐτός τε μακάριος εἶναι, καὶ τοὺς ἀκούοντας ἐπὶ καλοκἀγαθίαν ἄγειν.

ιε'. Καὶ

tem, quemcunque intellexerit rerum honeſtarum & bonarum amatorem eſſe, amicum ſibi adjungat, hunc modeſtum ducimus. Itidem qui ſapientiam pro pecunia cuivis proſtituunt, ſophiſtas, quaſi ſcortatores, vocant: quicunque vero illum, quem bona eſſe indole animadvertat, quicquid boni ſcit docens, amicum facit; hunc facere putamus, quod civem honeſtum ac probum decet.

14. Quamobrem & ego, mi Antipho, perinde ac alius quiſquam vel equo bono, vel cane, vel ave delectatur, ſic bonis amicis potius delector; eoſque, ſiquid habeo boni, doceo, atque aliis commendo, à quibus nonnihil eos habituros adjumenti ad virtutem arbitror. Etiam theſauros priſcorum ſapientū, quos illi literis mandatos nobis reliquerunt, una cum amicis revolvens percurro: quod ſiquid in eis boni videmus, ſeligimus; magnique lucri loco ducimus, ſi amici invicem ſimus. Hæc ego de Socrate quum audirem, & ipſum beatum eſſe arbitrabar, & auditores ſuos ad honeſtatem deducere.

15. Rurſus

ιε'. Καὶ πάλιν ποτὲ τοῦ Ἀντιφῶντος ἐρομένου αὐτὸν, πῶς ἄλλους μὲν ἡγεῖται πολιτικοὺς ποιεῖν, αὐτὸς δὲ οὐ πράττει τὰ πολιτικά, εἴπερ ἐπίσταται· ποτέρως δ' ἂν, ἔφη, ὦ Ἀντιφῶν, μᾶλλον τὰ πολιτικὰ πράττοιμι; εἰ μόνος αὐτὰ πράττοιμι, ἢ εἰ ἐπιμελοίμην τοῦ ὡς πλείστους ἱκανοὺς εἶναι πράττειν αὐτά;

ΚΕΦ. ζ'.

Ἐπισκεψώμεθα δὲ, εἰ καὶ ἀλαζονείας ἀποτρέπων τοὺς συνόντας, ἀρετῆς ἐπιμελεῖσθαι προέτρεπεν. ἀεὶ γὰρ ἔλεγεν, ὡς οὐκ εἴη καλλίων ὁδὸς ἐπ' εὐδοξίᾳ, ἢ δι' ἧς ἄν τις ἀγαθός τε γένοιτο, καὶ μὴ δοκεῖν βούλοιτο· ὅτι δ' ἀληθῆ ἔλεγεν, ὧδε ἐδίδασκεν.

β'. Ἐνθυμώμεθα γὰρ (ἔφη) εἴ τις μὴ ὢν ἀγαθὸς αὐλητὴς, δοκεῖν βούλοιτο, τί ἂν αὐτῷ ποιητέον εἴη· ἆρ' οὐ τὰ ἔξω τῆς τέχνης μιμητέον τοὺς ἀγαθοὺς αὐλητάς; καὶ πρῶτον μὲν, ὅτι ἐκεῖνοι

σκεύη

15. Rursus quum interrogaret ipsum Antipho, quo pacto se alios rerum civilium peritos efficere putaret, quum ipse reipublicæ negotia non attingeret, si quidem sciret: utro (inquit) modo magis res publicas tracto, mi Antipho? an si solus id faciam, an vero si dem operam, ut plurimi ad ea tractanda sint idonei?

CAP. VII.

Hoc quoque consideremus, an familiares suos ab ostentatione revocans, ad virtutis studium impulerit. Semper enim aiebat, viam ad gloriam meliorem nullam esse, quam qua bonus aliquis esset, ac non videri vellet: atque hoc ab se vere dici, sic docebat.

2. Cogitemus enim, aiebat, si quispiam, quum tibicen bonus non sit, videri tamen velit, quid ei faciendum sit. Annon imitari bonos tibicines debet in iis quæ extra artem posita sunt? ac primum quidem, quum illi instrumenta pulcra habeant,

σκεύη τε καλὰ κέκτηνται, καὶ ἀκολούθους πολλοὺς περιάγονται, καὶ τούτῳ ταῦτα ποιητέον· ἔπειτα ὅτι ἐκείνους πολλοὶ ἐπαινοῦσι, καὶ τούτῳ πολλοὺς ἐπαινέτας παρασκευαστέον. ἀλλὰ μὴν ἔργον γε οὐδαμοῦ ληπτέον, ἢ εὐθὺς ἐλεγχθήσεται γελοῖος ὤν, καὶ οὐ μόνον αὐλητὴς κακὸς, ἀλλὰ καὶ ἄνθρωπος ἀλαζών. καίτοι πολλὰ μὲν δαπανῶν, μηδὲν δὲ ὠφελούμενος, πρὸς δὲ τούτοις κακοδοξῶν, πῶς οὐκ ἐπιπόνως τε, καὶ ἀλυσιτελῶς, καὶ καταγελάστως βιώσεται;

γ΄. Ὡσαύτως εἴ τις βούλοιτο στρατηγὸς ἀγαθὸς μὴ ὢν φαίνεσθαι, ἢ κυβερνήτης, ἐννοῶμεν τί ἂν συμβαίνοι. ἆρ᾽ οὐκ ἄν, εἰ μὲν ἐπιθυμῶν τοῦ δοκεῖν ἱκανὸς εἶναι ταῦτα πράττειν, μὴ δύναιτο πείθειν, ταύτῃ λυπηρόν; εἰ δὲ πείσειεν, ἔτι ἀθλιώτερον· δῆλον γὰρ, ὅτι κυβερνᾶν τε κατασταθεὶς ὁ μὴ ἐπιστάμενος, ἢ στρατηγεῖν, ἀπολέσειεν ἂν οὓς ἥκιστα βούλοιτο, καὶ αὐτὸς αἰσχρῶς τε καὶ κακῶς ἀπαλλάξειεν.

δ΄. Ὡσαύτως δὲ καὶ τὸ πλούσιον, καὶ τὸ ἀνδρεῖον, καὶ τὸ ἰσχυρὸν, μὴ ὄντα, δοκεῖν, ἀλυσιτελὲς ἀπέφαινε· προστάττεσθαι

γὰρ

beant, multoſque pediſſequos circumducant, etiam ipſi hoc faciendum: deinde quum multi eos laudent, etiam huic multi laudatores comparandi ſunt. Verum res ipſa nullibi aggredienda eſt, ne mox deprehendatur eſſe ridiculus homo, ac non modo tibicen malus, ſed & oſtentator. At vero ſi ſumptus magnos faciat, & utilitatem capiat nullam, ac præterea male audiat, qui non & ærumnoſe & inutiliter & ridicule vivet?

3. Eodem modo ſiquis, quum neutrum ſit, vel bonus imperator vel gubernator videri velit; quid eventurum ſit, cogitemus. Annon ipſi moleſtum erit, ſi, quum cupiat videri ad hæc perficienda idoneus, aliis id perſuadere non poſſit? ac ſi perſuaſerit, multo miſerius eſt. Conſtat enim, quod ſi aut gubernare conſtituatur, aut exercitũ ducere, qui neſcius horum eſt, perdet eos quos minime vellet; atq; ipſe turpiter ac fœde ab incepto deſiſtet.

4. Eodem modo non expedire aiebat, ſiquis vel opulentus, vel fortis, vel robuſtus eſſe videretur, qui non eſſet. Nam his aie-

bat

γὰρ αὐτοῖς ἔφη μείζω, ἢ κατὰ δύναμιν, καὶ μὴ δυναμένους ταῦτα ποιεῖν, δοκοῦντας ἱκανοὺς εἶναι, συγγνώμης οὐκ ἂν τυγχάνειν.

ε΄. Ἀπατεῶνα δ' ἐκάλει τὸν οὐ μικρὸν μὲν, οὐδ' εἴ τις ἀργύριον, ἢ σκεῦος παρά του πειθοῖ λαβὼν ἀποστεροίη, πολὺ δὲ μέγιστον, ὅστις μηδενὸς ἄξιος ὢν ἐξηπατήκοι, πείθων ὡς ἱκανὸς εἴη τῆς πόλεως ἡγεῖσθαι. ἐμοὶ μὲν ἐδόκει καὶ τοῦ ἀλαζονεύεσθαι ἀποτρέπειν τοὺς συνόντας, τοιάδε διαλεγόμενος.

ΞΕΝΟ-

bat imperari majora ipsorum viribus, quumque præstare illa deinde non possint, quæ posse videbantur, veniam minime consequi.

5. Impostorem autem appellabat non qui aliquid exigui pretii, neque qui pecuniam, vel supellectilem ab aliquo persuaso accipiens, eum spoliaret; sed longe maximum, qui nullius homo pretii fefellisset alios, persuadendo quod idoneus esset civitati præesse. Quæ ita differens, mihi quidem videbatur familiares suos etiam ab ostentatione revocare.

XENO-

ΞΕΝΟΦΩΝΤΟΣ
ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ

Βιβλίον Δεύτερον.

ΚΕΦ. α'.

Ἐδόκει δέ μοι καὶ τοιαῦτα λέγων προτρέπειν τοὺς συνόντας ἀσκεῖν ἐγκράτειαν πρὸς ἐπιθυμίαν βρωτοῦ, καὶ ποτοῦ, καὶ λαγνείας, καὶ ὕπνου, καὶ ῥίγους, καὶ θάλπους, καὶ πόνου. γνοὺς δέ τινα τῶν συνόντων ἀκολαστοτέρως ἔχοντα πρὸς τὰ τοιαῦτα, Εἰπέ μοι, ἔφη, ὦ Ἀρίστιππε, εἰ δέοι σε παιδεύειν παραλαβόντα δύο τῶν νέων, τὸν μέν, ὅπως ἱκανὸς ἔσται ἄρχειν, τὸν δέ, ὅπως μὴ ἀντιποιήσεται ἀρχῆς, πῶς ἂν ἑκάτερον παιδεύοις; βούλει σκοπῶμεν ἀρξάμενοι ἀπὸ τῆς τροφῆς,

XENOPHONTIS
MEMORABILIUM

Liber Secundus.

CAP. I.

Videbatur etiam mihi familiares ſuos ad exercendam tolerantiam in cibi, potus, laſciviæ, ſomni, itemque frigoris, & æſtus, & laboris appetitu, impellere, quoties hujuſmodi diceret. Quippe quum de familiaribus quendam intemperantius ſe gerere accepiſſet, Dic mihi, ait, Ariſtippe, ſi te duos adoleſcentes tibi traditos inſtituere oporteat, alterum ut ad imperandum ſit idoneus, alterum ut imperare nunquam cupiat: quo pacto utrumque inſtitues? Vis diſpiciamus à nutrimento, tanquam

φῆς, ὥσπερ ἀπὸ τῶν στοιχείων; καὶ ὁ Ἀρίστιππος ἔφη· δοκεῖ γοῦν μοι ἡ τροφὴ ἀρχὴ εἶναι. οὐδὲ γὰρ ζώη γ᾽ ἄν τις, εἰ μὴ τρέφοιτο.

β΄. Οὐκοῦν τὸ μὲν βούλεσθαι σίτου ἅπτεσθαι, ὅταν ὥρα ἥκῃ, ἀμφοτέροις εἰκὸς παραγίγνεσθαι. εἰκὸς γάρ, ἔφη. τὸ οὖν προαιρεῖσθαι τὸ κατεπεῖγον μᾶλλον πράττειν, ἢ τῇ γαστρὶ χαρίζεσθαι, πότερον ἂν αὐτῶν ἐθίζοιμεν; τὸν εἰς τὸ ἄρχειν (ἔφη) νὴ Δία παιδευόμενον· ὅπως μὴ τὰ τῆς πόλεως ἄπρακτα γίγνηται παρὰ τὴν ἐκείνου ἀρχήν. οὐκοῦν (ἔφη) καὶ ὅταν πιεῖν βούλωνται, τὸ δύνασθαι διψῶντα ἀνέχεσθαι τῷ αὐτῷ προσθετέον; πάνυ μὲν οὖν, ἔφη.

γ΄. Τὸ δὲ ὕπνου ἐγκρατῆ εἶναι, ὥστε δύνασθαι καὶ ὀψὲ κοιμηθῆναι, καὶ πρωῒ ἀναστῆναι, καὶ ἀγρυπνῆσαι, εἴ τι δέοι, πότερῳ ἂν προσθείημεν; καὶ τοῦτο (ἔφη) τῷ αὐτῷ. τί δὲ (ἔφη) τὸ ἀφροδισίων ἐγκρατῆ εἶναι, ὥστε μὴ διὰ ταῦτα κωλύεσθαι πράττειν εἴ τι δέοι; καὶ τοῦτο (ἔφη) τῷ αὐτῷ. τί δέ; τὸ μὴ φεύγειν τοὺς πόνους, ἀλλὰ ἐθελοντὴν ὑπομένειν, πότερῳ

quam ab ipsis elementis, incipientes? Et Aristippus, Nimirum mihi videtur, ait, nutrimentum esse principium. Nam ne quidem quis vixerit, si non nutriatur.

2. Ergo consentaneum est utrisque accidere, ut, ubi tempus adest, cibum sumere velint. Consentaneum, ait. Utrum igitur horum consuefacere possimus, ut potius eligat rem urgentem conficere, quam gulæ gratificari? eum profecto (inquit) qui ad imperandum instituitur, ne sub ipsius imperio negotia civitatis infecta sint. Ergo etiam quum bibere volent, eidem hoc imponendum, ut sitim perferre possit? Omnino, ait.

3. At in somno temperantem esse, ut & sero dormire possit, & primo diluculo surgere, & vigilare, si opus sit, utri addemus? Etiam hoc eidem, ait. Quid vero (inquit) venereis in rebus continentem esse, ut per eas non impediatur id agere, quod opus sit? Etiam hoc eidem, inquit. Quid autem? labores non fugere, sed sponte sua perferre, utri

ποτέρῳ ἂν προσθείημεν; καὶ τοῦτο (ἔφη) τῷ ἄρχειν παιδευομένῳ. τί δέ; τὸ μαθεῖν, εἴ τι ἐπιτήδειόν ἐστι μάθημα πρὸς τὸ κρατεῖν τῶν ἀντιπάλων, ποτέρῳ ἂν προσεῖναι μᾶλλον πρέποι; πολὺ νὴ Δί᾽ (ἔφη) τῷ ἄρχειν παιδευομένῳ· καὶ γὰρ καὶ τῶν ἄλλων οὐδὲν ὄφελος ἄνευ τῶν τοιούτων μαθημάτων.

δ΄. Οὐκοῦν ὁ οὕτω πεπαιδευμένος ἧττον ἂν δοκεῖ σοι ὑπὸ τῶν ἀντιπάλων, ἢ τὰ λοιπὰ ζῶα, ἁλίσκεσθαι; τούτων γὰρ δήπου τὰ μὲν γαστρὶ δελεαζόμενα, καὶ μάλα ἔνια δυσωπούμενα, ὅμως τῇ ἐπιθυμίᾳ τοῦ φαγεῖν ἀγόμενα πρὸς τὸ δέλεαρ, ἁλίσκεται· τὰ δὲ ποτῷ ἐνεδρεύεται. πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν καὶ ἄλλα ὑπὸ λαγνείας, οἷον οἵτε ὄρτυγες καὶ οἱ πέρδικες, πρὸς τὴν τῆς θηλείας φωνὴν τῇ ἐπιθυμίᾳ καὶ τῇ ἐλπίδι τῶν ἀφροδισίων φερόμενοι, καὶ ἐξιστάμενοι τοῦ τὰ δεινὰ ἀναλογίζεσθαι, τοῖς θηράτροις ἐμπίπτουσι; συνέφη καὶ ταῦτα.

ε΄. Οὐκοῦν δοκεῖ σοι αἰσχρὸν εἶναι ἀνθρώπῳ ταὐτὰ πάσχειν ἀφρονεστάτοις τῶν θηρίων; ὥσπερ οἱ μοιχοὶ εἰσέρχονται εἰς τὰς * εἱρκτάς, εἰδότες ὅτι κίνδυνος τῷ μοιχεύοντι ἅ τε

ὁ

utri attribuemus? Hoc itidem illi (ait) qui ad imperandum instituitur. Quid? siqua disciplina sit ad superandum adversarios idonea, eandem discere, utri magis convenit? Multis profecto (ait) modis ei, qui ad imperandum instituitur. Nam neque aliarum rerum usus ullus est absque hujusmodi disciplinis.

4. Ergo qui sic institutus est minus tibi videtur ab adversariis posse capi, quam animalia cætera? quorum scilicet quædam à gula inescata, tametsi nonnulla etiam valde timida sint, nihilominus vescendi cupiditate ad escam ducta capiuntur: aliis per potum insidiæ struuntur. Prorsus ita est, inquit. Itaque alia præ lascivia, velut coturnices ac perdices, ad femellæ vocem cupiditate speque rei venereæ agitata, & ejecta cogitatione de periculis, in casses incidunt? Concessit & hæc.

5. Ergo tibi videtur turpe homini esse eadem pati quæ animalia imprudentissima? sicut adulteri carceres adeunt, quum sciant esse adulteriū committenti periculum

ὁ νόμος ἀπειλεῖ παθεῖν, καὶ ἐνεδρευθῆναι, καὶ ληφθέντα ὑβρισθῆναι· καὶ τηλικούτων μὲν ἐπικειμένων τῷ μοιχεύοντι κακῶν τε καὶ αἰσχρῶν, ὄντων δὲ πολλῶν τῶν ἀπολυσόντων τῆς τῶν ἀφροδισίων ἐπιθυμίας, ἐλαύνεσθαι ὅμως εἰς τὰ ἐπικίνδυνα φέρεσθαι. ἆρ' οὐκ ἤδη τοῦτο παντάπασι κακοδαιμονῶντός ἐστι; ἐμοί γε δοκεῖ, ἔφη.

ϛ'. Τὸ δὲ εἶναι μὲν ἀναγκαιοτάτας πλείστας πράξεις τοῖς ἀνθρώποις ἐν ὑπαίθρῳ, (οἷον τάς τε πολεμικὰς, καὶ τὰς γεωργικὰς, καὶ τῶν ἄλλων οὐ τὰς ἐλαχίστας) τοὺς δὲ πολλοὺς ἀγυμνάστως ἔχειν πρός τε ψύχη, καὶ πρὸς θάλπη, οὐ δοκεῖ σοι πολλὴ ἀμέλεια εἶναι; συνέφη καὶ τοῦτο. Οὐκοῦν δοκεῖ σοι τὸν μέλλοντα ἄρχειν ἀσκεῖν δεῖν καὶ ταῦτα εὐπετῶς φέρειν; πάνυ μὲν οὖν, ἔφη.

ζ'. Οὐκοῦν εἰ τοὺς ἐγκρατεῖς τούτων ἁπάντων εἰς τοὺς ἀρχικοὺς τάττομεν, τοὺς ἀδυνάτους ταῦτα ποιεῖν εἰς τοὺς μηδ' ἀντιποιησαμένους τοῦ ἄρχειν τάξομεν; συνέφη καὶ τοῦτο. τί οὖν; ἔπειτα καὶ τούτων ἑκατέρου τοῦ φύλου τὴν τάξιν οἶσθα, ἤδη

ea perpetiendi quæ lex minitatur, & insidias strui, & captum contumeliis affici. Tanta quum adultero immineant & mala & dedecora, multaque sint, quæ à rerum venerearum cupiditate liberare possint, nihilominus in pericula præceps fertur. Annon igitur hoc omnino hominis est à malo genio perciti? Ita mihi videtur, ait.

6. Jam quum plurimæ sint maximeque necessariæ res sub dio peragendæ hominibus, (veluti res bellicæ, agricolarum, aliæque non paucæ) multos interim ad frigora & æstus exercitos non esse, non tibi magna esse videtur desidia? Concessit etiam hoc. Ergo tibi videtur exercendus is, qui velit imperare, ut haud difficulter hæc quoque toleret? Omnino, ait.

7. Ergo si homines horum omnium tolerantes inter viros ad imperandum comparatos ponemus, nonne illos qui hæc præstare non possunt, inter eos collocabimus, qui de imperando ne quidem cogitent. Hoc etiam concessit. Quid igitur? quandoquidem utriusque generis ordinem nosti, jamne aliquando considerasti,

ἤδη ποτ' ἐπεσκέψω εἰς ποτέραν τῶν τάξεων τούτων σαυτὸν δικαίως ἂν τάττοις; ἔγωγ', ἔφη ὁ Ἀρίστιππος· καὶ οὐδαμῶς γε τάττω ἐμαυτὸν εἰς τὴν τῶν ἄρχειν βουλομένων τάξιν.

η'. Καὶ γὰρ πάνυ μοι δοκεῖ ἄφρονος ἀνθρώπου εἶναι τό, μεγάλου ἔργου ὄντος τοῦ ἑαυτῷ τὰ δέοντα παρασκευάζειν, μὴ ἀρκεῖν ★ τοῦτο, ἀλλὰ προσαναθέσθαι τὸ καὶ τοῖς ἄλλοις πολίταις ὧν δέονται πορίζειν· καὶ ἑαυτῷ μὲν πολλὰ ὧν βούλεται ἐλλείπειν, τῆς δὲ πόλεως προεστῶτα, ἐὰν μὴ πάντα ὅσα ἡ πόλις βούλεται καταπράττῃ, τούτου δίκην ὑπέχειν, τοῦτο πῶς οὐ πολλὴ ἀφροσύνη ἐστί;

θ'. Καὶ γὰρ ἀξιοῦσιν αἱ πόλεις τοῖς ἄρχουσιν, ὥσπερ ἐγὼ τοῖς οἰκέταις, χρῆσθαι· ἐγώ τε γὰρ ἀξιῶ τοὺς θεράποντας ἐμοὶ μὲν ἄφθονα τὰ ἐπιτήδεια παρασκευάζειν, αὐτοὺς δὲ μηδενὸς τούτων ἅπτεσθαι· αἵ τε πόλεις οἴονται χρῆναι τοὺς ἄρχοντας ἑαυταῖς μὲν ὡς πλεῖστα ἀγαθὰ πορίζειν, αὐτοὺς δὲ πάντων τούτων ἀπέχεσθαι. ἐγὼ οὖν τοὺς μὲν βουλομένους πολλὰ πράγματα ἔχειν, αὐτοῖς τε καὶ ἄλλοις παρέχειν,

consideraſti, utrum ad ordinem horum merito teipſum referre poſſis? Equidem, inquit Ariſtippus: quippe nequaquam eorum in ordinem me refero, qui imperare volunt.

8. Etenim hominis plane fatui eſſe, mihi videtur, non eo contentum eſſe, ut ſibi ipſi neceſſaria comparet, quod quidem magnum quiddam eſt: ſed hoc etiam addere, ut aliis etiam civibus ea ſuppeditet, quibus indigeant: itidem ſeipſum multis egere, quæ deſiderat; præpoſitum vero civitati, ſi non omnia perficiat, quæ civitas velit, ob id pœnæ ſubjectum eſſe, non hoc ingens eſt amentia?

9. Nam civitates æquum cenſent, perinde magiſtratibus uti, ac ego mancipiis. Nam & ego æquum eſſe cenſeo, ut famuli mihi quidem abunde res neceſſarias parent, ipſi vero nihil horum attingant: & civitates eſſe magiſtratuum putant, ut maximam eis bonorum copiam comparent, ipſi vero ab iis prorſus abſtineant. Quapropter equidem eos qui multa velint habere negotia, eaque tum ſibi tum

χειν, ὅπως ἂν παιδεύσας εἰς τοὺς ἀρχικοὺς καταστήσαιμι· ἐμαυτὸν τοίνυν τάττω εἰς τοὺς βουλομένους ἢ ῥᾷστά τε καὶ ἥδιστα βιοτεύειν.

ι'. Καὶ ὁ Σωκράτης ἔφη· βούλει οὖν καὶ τοῦτο σκεψώμεθα, * πότεροι ζῶσιν ἥδιον οἱ ἄρχοντες ἢ οἱ ἀρχόμενοι; πάνυ μὲν οὖν, ἔφη. πρῶτον μὲν τοίνυν τῶν ἐθνῶν, ὧν ἡμεῖς ἴσμεν, ἐν μὲν τῇ Ἀσίᾳ Πέρσαι μὲν ἄρχουσιν, ἄρχονται δὲ Σύροι, καὶ Φρύγες, καὶ Λυδοί· ἐν δὲ τῇ Εὐρώπῃ Σκύθαι μὲν ἄρχουσι, Μαιῶται δὲ ἄρχονται· ἐν δὲ τῇ Λιβύῃ, Καρχηδόνιοι μὲν ἄρχουσι, Λίβυες δὲ ἄρχονται· τούτων οὖν ποτέρους ἥδιον οἴει ζῆν; * ἢ τῶν Ἑλλήνων (ἐν οἷς καὶ αὐτὸς εἶ) πότεροί σοι δοκοῦσιν ἥδιον οἱ κρατοῦντες ἢ οἱ κρατούμενοι ζῆν;

ια'. Ἀλλ' ἐγώ τοι (ἔφη ὁ Ἀρίστιππος) οὐδὲ εἰς τὴν δουλείαν αὖ ἐμαυτὸν τάττω· ἀλλ' * ἵνα τίς μοι δοκῇ μέση τούτων ὁδός, ἣν πειρῶμαι, οὔτε δι' ἀρχῆς, οὔτε διὰ δουλείας, ἀλλὰ δι' ἐλευθερίας, ἥπερ μάλιστα πρὸς εὐδαιμονίαν ἄγει.

ιβ'. Ἀλλ'

tum aliis exhibere, sic institutos inter eos pono, qui ad imperandum idonei sunt: me vero inter illos colloco, qui quam facillime suavissimeque vivere cupiunt.

10. Tum Socrates, Vis ergo, inquit, hoc etiam consideremus, iine suavius vivant, qui imperant, an qui imperantur? Omnino, ait. Primum igitur ex iis nationibus, quæ nobis cognitæ sunt, in Asia Persæ imperant, Syri vero, ac Phryges, ac Lydi imperantur: in Europa penes Scythas est imperium, Mæotæ parent: in Libya Carthaginienses dominantur, Libyes obtemperant: horum igitur utros vivere jucundius arbitraris? Vel inter Græcos (in quibus es tu quoque) utri jucundius tibi videntur vivere, superiores aliis, an quibus alii sunt superiores?

11. Ego vero (inquit Aristippus) neque in servitutem me pono: sed ubi mihi videtur via quædam inter hæc media, qua incedere conor, neque per imperium, neque per servitutem, sed per libertatem, quæ maxime ad beatitudinem ducit.

12. Enim-

ιβ'. Ἀλλ' εἰ μέν τοι (ἔφη ὁ Σωκράτης) ὥσπερ οὔτε δι' ἀρχῆς οὔτε διὰ δουλείας ἡ ὁδὸς αὕτη φέρει, οὕτω μηδὲ δι' ἀνθρώπων, ἴσως ἄν τι λέγοις· εἰ μέν τοι ἐν ἀνθρώποις ὢν μήτε ἄρχειν ἀξιώσῃς μήτε ἄρχεσθαι, μήτε τοὺς ἄρχοντας ἑκὼν θεραπεύσῃς, οἶμαί σε ὁρᾶν, ὡς ἐπίστανται οἱ κρείττονες τοὺς ἥττονας, καὶ κοινῇ καὶ ἰδίᾳ κλαίοντας καθιστάντες, δούλοις χρῆσθαι.

ιγ'. Ἢ λανθάνουσί σε οἱ, ἄλλων σπειράντων καὶ φυτευσάντων, τόν τε σῖτον τέμνοντες, καὶ δενδροκοποῦντες, καὶ πάντα τρόπον πολιορκοῦντες τοὺς ἥττονας καὶ μὴ θέλοντας θεραπεύειν, ἕως ἂν πείσωσιν ἑλέσθαι δουλεύειν, ἀντὶ τοῦ πολεμεῖν τοῖς κρείττοσι; καὶ ἰδίᾳ αὖ οἱ ἀνδρεῖοι καὶ δυνατοὶ τοὺς ἀνάνδρους καὶ ἀδυνάτους οὐκ οἶσθα ὅτι καταδουλωσάμενοι καρποῦνται; Ἀλλ' ἐγώ τοι, (ἔφη) ἵνα μὴ πάσχω ταῦτα, οὐδ' εἰς πολιτείαν ἐμαυτὸν κατακλείω, ἀλλὰ ξένος πανταχοῦ εἰμι.

ιδ'. Καὶ ὁ Σωκράτης ἔφη· τοῦτο μέντοι ἤδη λέγεις δεινὸν πάλαισμα. τοὺς γὰρ ξένους, ἐξ οὗ ὅ,τε Σίννις καὶ ὁ Σκείρων

καὶ

12. Enimvero (inquit Socrates) ſi hæc via non etiam per homines duceret, quemadmodum neque per imperium neque ſervitutem tendit, fortaſſe quid diceres: Verum ſi eſſe inter homines vis, ac neque imperare neq; imperio ſubeſſe, neque magiſtratus ſponte colere: videre te arbitror, quod ſciant ſuperiores, inferioribus pro ſervis uti, dum eos & publice & privatim ejulare faciunt.

13. An te latent qui, aliis ſeminantibus arboreſque ſerentibus, & fruges reſecant & arbores cædunt; omnibuſque modis inferiores ac ſe colere nolentes oppugnant, donec perſuaſerint eis, ſervire potius quam bellum cum fortioribus gerere? An etiam privatim neſcis viros gnavos ac potentes ex ignavis ac impotentibus in ſervitutem redactis fructum percipere? Ego vero, (inquit) ut id mihi non accidat, non in rempublicam meipſum concludo, ſed ubique ſum hoſpes.

14. Et Socrates, Sollers, ait, artificium narras. Nam hoſpites, ex quo Sinnis & Sciron

&

καὶ ὁ Προκρούστης ἀπέθανον, οὐδεὶς ἔτι ἀδικεῖ· ἀλλὰ νῦν οἱ μὲν πολιτευόμενοι ἐν ταῖς πατρίσι, καὶ νόμους τίθενται, ἵνα μὴ ἀδικῶνται, καὶ φίλους πρὸς τοῖς ἀναγκαίοις καλουμένοις ἄλλους κτῶνται βοηθούς, καὶ ταῖς πόλεσιν ἐρύματα περιβάλλονται, καὶ ὅπλα κτῶνται οἷς ἀμύνονται τοὺς ἀδικοῦντας, καὶ πρὸς τούτοις ἄλλους ἔξωθεν συμμάχους κατασκευάζονται· καὶ οἱ μὲν πάντα ταῦτα κεκτημένοι ὅμως ἀδικοῦνται.

ιε'. Σὺ δὲ οὐδὲν μὲν τούτων ἔχων, ἐν δὲ ταῖς ὁδοῖς (ἔνθα πλεῖστοι ἀδικοῦνται) πολὺν χρόνον διατρίβων, εἰς ὁποίαν δ' ἂν πόλιν ἀφίκῃ, τῶν πολιτῶν πάντων ἥττων ἄν, καὶ τοιοῦτος οἵοις μάλιστα ἐπιτίθενται οἱ βουλόμενοι ἀδικεῖν, ὅμως διὰ τὸ ξένος εἶναι οὐκ ἂν οἴει ἀδικηθῆναι; ἢ διότι αἱ πόλεις σοι κηρύττουσιν ἀσφάλειαν καὶ προσιόντι καὶ ἀπιόντι, θαῤῥεῖς; ἢ διότι καὶ δοῦλος ἂν οἴει τοιοῦτος εἶναι, οἷος μηδενὶ δεσπότῃ λυσιτελεῖς; τίς γὰρ ἂν ἐθέλοι ἄνθρωπον ἐν οἰκίᾳ ἔχειν, πονεῖν μὲν μηδὲν

& Procrustes obierunt, injuria nemo amplius afficit: at qui hoc tempore respublicas patrias administrant, etiam leges ferunt, quo minus lædantur; ac amicos præter illos qui necessarii vocantur, alios comparant auxiliarios; & urbibus munitiones circumdant; & arma parant, quibus injuriosos propellant; ac præter hæc omnia, alios aliunde socios acquirunt: nihilominus ab his omnibus instructi, læduntur.

15. Tu vero quum horum nihil habeas, ac in viis (ubi plurimi læduntur) multo tempore verseris; & quamcunque in urbem venias, civibus omnibus inferior sis, adeoque talis, quales maxime aggrediuntur ii qui lædere volunt: tamen, quia hospes es, futurum putas, ut non lædaris? An idcirco fidenti es animo, quod civitates tibi securitatem præconio publico polliceantur tam adeunti quam abeunti? An quod talem te servum esse putas, qui nulli domino prosit? Nam quis hominem habere domi velit, qui laborare quidem omnino recuset, sum-

δὲν ἐθέλοντα, τῇ δὲ πολυτελεστάτῃ διαίτῃ χαίροντα;

ις'. Σκεψώμεθα δὲ καὶ τοῦτο, πῶς οἱ δεσπόται τοῖς τοιούτοις οἰκέταις χρῶνται. ἆρα οὐ τὴν μὲν λαγνείαν αὐτῶν τῷ λιμῷ σωφρονίζουσι; κλέπτειν δὲ κωλύουσιν, ἀποκλείοντες ὅθεν ἄν τι λαβεῖν ᾖ; τοῦ δὲ δραπετεύειν δεσμοῖς ἀπείργουσι; τὴν ἀργίαν δὲ πληγαῖς ἐξαναγκάζουσιν; ἢ σὺ πῶς ποιεῖς, ὅταν τῶν οἰκετῶν τινα τοιοῦτον ὄντα καταμανθάνῃς;

ιζ'. Κολάζω (ἔφη) πᾶσι κακοῖς, ἕως ἂν δουλεύειν ἀναγκάσω. Ἀλλὰ γὰρ, ὦ Σώκρατες, οἱ εἰς τὴν βασιλικὴν τέχνην παιδευόμενοι, ἣν δοκεῖς μοι σὺ νομίζειν εὐδαιμονίαν εἶναι, τί διαφέρουσι τῶν ἐξ ἀνάγκης κακοπαθούντων, εἴγε πεινήσουσι, καὶ διψήσουσι, καὶ ῥιγώσουσι, καὶ ἀγρυπνήσουσι, καὶ τἄλλα πάντα μοχθήσουσιν ἑκόντες; ἐγὼ μὲν γὰρ οὐκ οἶδ᾽, ὅ,τι διαφέρει τὸ αὐτὸ δέρμα ἑκόντα ἢ ἄκοντα μαστιγοῦσθαι, ἢ ὅλως τὸ αὐτὸ σῶμα πᾶσι τοῖς τοιούτοις ἑκόντα ἢ ἄκοντα πολιορκεῖσθαι. ἄλλό γε ἢ ἀφροσύνη πρόσεστι τῷ θέλοντι τὰ λυπηρὰ ὑπομένειν;

ιη'. Τί

sumptuosissimo autem apparatu utatur?

16. Quin illud etiam consideremus, quo pacto ejusmodi servos domini tractent. Annon eorum lasciviam fame castigant? non occludendo ea, unde aliquid poterant sumere, furari cohibent? non vinculis coërcent, ne aufugiant? non desidiam verberibus expellunt? aut quo pacto tu facis, quando de servis aliquem talem esse animadvertis?

17. Suppliciis (inquit) omnibus afficio, donec eum servire cogam. Verum, mi Socrates, qui ad regnandi artem instituuntur, quam tu mihi videris pro beatitate ducere, quid ab iis differunt, qui præ necessitate laborant incommodis, si quidem esurient, sitient, frigebunt, vigilabunt, & alias omnes ærumnas sponte perferent? nam equidem haud scio, quid discriminis sit, utrum cutis eadem volenti an nolenti flagris cædatur: vel omnino corpus idem his omnibus vel volenti vel nolenti prematur. Quid tandem aliud est, quam insania, ærumnosa velle perpeti?

18. Quid

ιη'. Τί δ', ὦ Ἀρίστιππε, (ὁ Σωκράτης ἔφη) οὐ δοκεῖ σοι * τῶν τοιούτων διαφέρειν τὰ ἑκούσια τῶν ἀκουσίων, ᾗ ὁ μὲν ἑκὼν πεινῶν, φάγοι ἂν ὁπότε βούλοιτο, καὶ ὁ ἑκὼν διψῶν, πίοι, καὶ τἄλλ' ὡσαύτως· τῷ δ' ἐξ ἀνάγκης ταῦτα πάσχοντι οὐκ ἔξεστιν, ὁπότ' ἂν βούληται, παύεσθαι; ἔπειτα ὁ μὲν ἑκουσίως ταλαιπωρῶν, ἐπ' ἀγαθῇ ἐλπίδι φρονῶν εὐφραίνεται, οἷον οἱ τὰ θηρία θηρῶντες, ἐλπίδι τοῦ λήψεσθαι ἡδέως μοχθοῦσι.

ιθ'. Καὶ τὰ μὲν τοιαῦτα ἆθλα τῶν πόνων μικροῦ τινος ἄξιά ἐστι· τοὺς δὲ πονοῦντας, ἵνα φίλους ἀγαθοὺς κτήσωνται, ἢ ὅπως ἐχθροὺς χειρώσωνται, ἢ ἵνα δυνατοὶ γενόμενοι καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς, καὶ τὸν ἑαυτῶν οἶκον καλῶς οἰκῶσι, καὶ τοὺς φίλους εὖ ποιῶσι, καὶ τὴν πατρίδα εὐεργετῶσι, πῶς οὐκ οἴεσθα ὡς χρὴ τούτους καὶ πονεῖν ἡδέως εἰς τὰ τοιαῦτα, καὶ ζῆν εὐφραινομένους, ἀγαμένους μὲν ἑαυτούς, ἐπαινουμένους δὲ καὶ ζηλουμένους ὑπὸ τῶν ἄλλων;

κ'. Ἔτι δὲ αἱ μὲν ῥᾳδιουργίαι καὶ ἐκ τοῦ παραχρῆμα ἡδοναί, οὔτε σώματι εὐεξίαν ἱκαναί εἰσιν ἐργάζεσθαι, ὥς φασιν οἱ γυμνασταί,

18. Quid, Ariſtippe? (inquit Socrates) non ita tibi differre videntur voluntaria ab involuntariis? quatenus qui ſponte eſurit, comedere poteſt, quum vult; & qui ſponte ſitit, bibere poteſt; idemque in cæteris: qui vero ex neceſſitate hæc perfert, non poteſt, ubi vult, ab iis ceſſare. Deinde qui ſponte perfert ærumnas, bona ſpe fretus lætatur, ſicut qui feras venantur, ſpe capiendi perlubenter laborant.

19. Atque hujuſmodi ſane laborum præmia non magni pretii ſunt: qui vero in hoc incumbunt, ut amicos bonos parent, vel hoſtes ſubigant, vel ut fortes corpore animoque effecti, familiam ſuam pulcre adminiſtrent, amicis proſint, patriam beneficiis afficiant: hos num debere ignoras, & laborare lubenter in hujuſmodi rebus, & cum lætitia vivere, dum & ſeipſos mirantur, & laudantur ardenterque extolluntur ab aliis?

20. Præterea mollities, ac in promptu poſitæ voluptates, neque corpori bonam parere conſtitutionem poſſunt, uti gymnaſiorum

γυμνασίαι, οὔτε ψυχῇ ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν· αἱ δὲ διὰ καρτερίας ἐπιμέλειαι τῶν καλῶν τε κἀγαθῶν ἔργων ἐξικνεῖσθαι ποιοῦσιν, ὥς φασιν οἱ ἀγαθοὶ ἄνδρες. λέγει δέ που καὶ Ἡσίοδος·

Τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἐστὶν ἑλέσθαι
Ῥηϊδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει.
Τῆς δ' ἀρετῆς ἱδρῶτα Θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτήν,
Καὶ τρηχὺς τοπρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
Ῥηϊδίη δ' ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα.

μαρτυρεῖ δὲ καὶ Ἐπίχαρμος ἐν τῷδε·

---- τῶν πόνων
Πωλοῦσιν ἡμῖν πάντα τἀγαθὰ Θεοί.

καὶ ἐν ἄλλῳ δὲ τόπῳ φησίν·

---- ὦ πονηρὲ σύ,
Μή μοι τὰ μαλακὰ μώμεο, μὴ τὰ σκληρ' ἔχῃς.

κα'. Καὶ Πρόδικος δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ

περὶ

rum magiſtri aſſerunt, neque alicujus pretii ſcientiam ullam indunt animo: at per tolerantiam exercita ſtudia faciunt, ut ad honeſta præclaraque facinora perveniamus, uti egregii viri prædicant. Ait alicubi & Heſiodus,

Agmine cum multo facilis ſe ignavia cuivis
Offert: plana via eſt, aditus brevis ejus ad ædes.
At Dii virtutis durum poſuere laborem
Ante fores; longa eſt atque ardua ſemita ad ipſam,
Aſperaque inprimis: ſuperato vertice tandem,
Pergere tum facile eſt; juvat ipſa moleſtia euntes.

Hoc teſtatur & Epicharmus his verbis,

----*laboribus*
Dii cuncta protinus nobis vendunt bona.

Idem alio quoque loco inquit:

---- *heus ignave tu,*
Non aucupere mollia, ne dura accidant.

21. Quin & Prodicus ille ſapiens in libro de Hercule, (quem

 pluri-

περὶ τοῦ Ἡρακλέους, (ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται) ὡσαύτως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα ἐγὼ μέμνημαι. φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο, (ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν, εἴτε τὴν δι᾽ ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας) ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι, ἀποροῦντα ποτέραν τῶν ὁδῶν τράπηται.

ita Cic. in lib. 1. de officiis. 118. cap 32.

κβ΄. Καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας, καὶ τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον, φύσει κεκοσμημένην τὸ μὲν σῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ· τὴν δὲ ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δέ, ἐξ ἧς ἂν μάλιστα ὥρα διαλάμποι. κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν, ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλος

plurimis solet ostendere) similiter de virtute pronunciat, in hunc fere modum, quantum memini, dicens. Herculem ait, postquam ex pueritia ad pubertatem accederet, (in qua jam adolescentes sui juris fiunt, ac indicia præbent, virtutisne via porrecturi sint ad vitam, an vero ignaviæ) egressum in tranquillum locum ibi consedisse, ambigentem, ad utram se viam converteret.

22. Tum mulieres duas grandi statura esse visas ad ipsum accedere, alteram quidem honesto ac liberali vultu, cujus corpus à natura munditie esset ornatum, oculi verecundia, gestus modestia, veste candida: alteram vero nutrimento redditam obesam & teneram, sic ornatam quoad colorem, ut candidior ac rubicundior videretur, quam esset; forma procerior visa, quam esset à natura; oculis apertis; veste tali, ex qua venustas maxime pelluceret: eandem sæpius se contemplatam esse, ac num aliquis ipsam spectaret, considerasse;

ἄλλος αὐτὴν θεᾶται, πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν.

κγ΄. Ὡς δ' ἐγένετο πλησιέστερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον· τὴν δὲ ἑτέραν φθάσαι βουλομένην προσδραμεῖν τῷ Ἡρακλεῖ, καὶ εἰπεῖν· Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. ἐὰν οὖν ἐμὲ φίλην ποιήσῃς, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥάστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσῃ, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσῃ.

κδ΄. Πρῶτον μὲν γὰρ οὐ πολέμων οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος διέσῃ, τί ἂν κεχαρισμένον ἢ σιτίον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν ἢ τί ἀκούσας τερφθείης, ἢ τίνων ὀσφραινόμενος ἢ ἁπτόμενος ἡσθείης, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις.

κε΄. Ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως, ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος, μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαι-

raſſe; ſæpe ad umbram quoque ſuam reſpexiſſe.

23. Quum ad Herculem ventum eſſet propius, inceſſiſſe illam de qua prius diximus, eodem modo: alteram vero prævenire volentem, accurriſſe ad Herculem, atque dixiſſe: Video te, mi Hercules, ambigere, quanam via te ad vitam conferas. Quapropter ſi me tibi amicam adjunxeris, ducam te ad iter jucundiſſimum ac facillimum: ut eorum, quæ ſuavia ſunt, nihil non guſtes, ſimulque moleſtiæ expers vivas.

24. Nam primum tibi neque bella, neque negotia curanda erunt; ſed diſpicies, quemnam tibi gratum vel cibum vel potum invenire poſſis: quid vel aſpectu, vel auditu, vel odoratu, vel tactu te delectare poſſit: quibus pædicis fruens, plurimum gaudeas: quo pacto quam molliſſime dormias: qui abſque labore minimo poſſis hæc omnia conſequi.

25. Quod ſi aliquando illa defectura, de quibus hæc percipies, ſuſpicio ſit, nihil eſt quod metuas, ne eo te deducam, ut hæc, labo-

ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ, ταῦτα ποιεῖσθαι· ἀλλ' οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρήσῃ, οὐδενὸς ἀπεχόμενος, ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ ξυνοῦσιν ἐξουσίαν ἔγωγε παρέχω.

κϛ'. Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα, ὦ γύναι, ἔφη, ὄνομα δέ σοι τί ἐστιν; ἡ δέ, οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με Εὐδαιμονίαν· οἱ δὲ μισοῦντές με, ὑποκοριζόμενοι καλοῦσί με Κακίαν.

κζ'. Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπεν· Καὶ ἐγὼ ἥκω πρός σε, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γενήσαντάς σε, καὶ τὴν φύσιν τὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα· ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν, καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ' ᾗπερ οἱ Θεοὶ διέθεσαν, τὰ ὄντα διηγήσομαι μετ' ἀληθείας.

κη'. Τῶν

rando variiſque tum animi tum corporis ærumnis perferendis, tibi compares: ſed aliorum laboribus tu frueris, nec ab ulla re abſtinebis, de qua capi aliquid lucri poſſit. Nam equidem familiaribus meis poteſtatem facio, ut undecunque utilitatem capiant.

26. Hæc quum audiſſet Hercules: Quodnam eſt, inquit, tibi nomen, mulier? Illa vero, amici mei, ait, Felicitatem me appellant: at qui oderunt, obtrectando vocant Ignaviam.

27. Quum interim altera mulier acceſſiſſet: Ego quoque, inquit, ad te venio, mi Hercules, quæ & parentes tuos novi, & quæ tua eſſet natura, in inſtitutione animadverti. De quibus ſpero, ut ſi ea, quæ ad me ducit, via inceſſeris, egregie tu præclaras & honeſtas res geras; atque ego longe honoratior, bonorumque gratia illuſtrior videar. Neque vero te decipiam voluptatis procemiis, ſed ex inſtituto divino, res ipſas vere commemorabo.

28. Nihil

κη'. Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις· ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς· εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον· εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν· εἴτε τὴν γῆν φέρειν σοι βούλει καρποὺς ἀφθόνους, τὴν γῆν θεραπευτέον· εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον· εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι, καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον, καὶ ὅπως αὐταῖς δεῖ χρῆσθαι, ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα, καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι.

κθ'. Καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν, (ὥς φησι Πρόδι-

28. Nihil enim bonum ac præclarum sine labore & studio Dii hominibus largiti sunt: sed sive Deos esse propitios tibi vis, colendi sunt Dii: seu ab amicis vis diligi, beneficiis amici sunt afficiendi: sive ab urbe aliqua vis honorari, utilitatis quid urbi afferendum est: seu apud universam Græciam virtutis nomine vis esse in admiratione, Græciæ ut bene facias, conandum erit: sive terram tibi fructus uberes ferre vis, colenda erit terra: seu à jumentis ditari putas, jumentorum cura erit habenda: sive bello res tuas amplificare desideras, ac potestatem consequi vis tum amicos liberandi, tum subigendi hostes, non solum artes bellicas tibi ab earum peritis discendæ sunt, sed etiam percipiendum exercitatione, quo pacto sit iis utendum. Denique si etiam corpore vis esse robustus, necesse est corpus assuefacias ad parendum animo, perque labores ac sudorem exerceas.

29. Tum ejus sermonem excipiens Ignavia, (quemadmodum Prodi-

Πρόδικος) ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε.

λ'. Καὶ ἡ Ἀρετὴ εἶπεν· Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα, μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις· ἀλλὰ πρὶν ἐπιθυμῆσαι, πάντων ἐμπίπλασαι, πρὶν μὲν πεινῆν, ἐσθίουσα, πρὶν δὲ διψῆν, πίνουσα· καὶ ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη· ἵνα δὲ ἡδέως πίνῃς, οἴνους τε πολυτελεῖς παρασκευάζῃ, καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς· ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακάς, ἀλλὰ καὶ τὰς κλίνας καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζεις· οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ,τι ποιῇς, ὕπνου ἐπιθυμεῖς. τὰ δ' ἀφροδίσια πρὸ τοῦ δεῖσθαι ἀναγκάζεις, πάντα μηχανωμένη, καὶ γυναιξὶ τοῖς ἀνδράσι χρωμένη. οὕτω γὰρ παιδεύεις τοὺς σαυτῆς φίλους, τῆς μὲν νυκτὸς ὑβρίζουσα,

Prodicus ait) Videſne, inquit, mi Hercules, quam longam ac difficilem viam ad delectationes hæc tibi mulier exponat? ego vero facili brevique ad beatitatem itinere te ducam.

30. Tum Virtus, Miſera vero tu, ait, quid boni habes? aut quam delectationem noſti, quum nihil horum cauſa facere velis? quæ jucundorum appetitum non expectas, ſed prius, quam appetas, omnibus repleris: priuſquam eſurias, comedis; priuſquam ſitias, bibis: atque ut ſuaviter comedas, obſoniorum ſtructores excogitas: ut ſuaviter bibas, magno ſumptu vina tibi comparas, ac per æſtatem nivis quærendæ cauſa circumcurſitas: ut ſuaviter dormias, non ſtragula tantum mollia, ſed etiam lectulos, lectulorumque fulcra paras. Non enim propter labores ſomnum appetis; ſed quia nihil eſt tibi quod agas. Venerem vero prius, quam ea indigeas, omni arte impellis; & ipſis viris tanquam mulieribus uteris. Sic enim amicos tuos inſtituis, noctu ſtupris polluens, & utiliſſima

σα, τῆς δὲ ἡμέρας τὸ χρησιμώτατον κατακοιμίζουσα.

λα'. Ἀθάνατος δὲ οὖσα, ἐκ Θεῶν μὲν ἀπέρριψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ· τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου ἑαυτῆς ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος, ἀθέατος· οὐδὲν γὰρ πώποτε σαυτῆς ἔργον καλὸν τεθέασαι. τίς δ' ἄν σοι λεγούσῃ τι πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἳ νέοι μὲν ὄντες, τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ γενόμενοι, ταῖς ψυχαῖς ἀνόητοι· ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος τρεφόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες· τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι· τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμάντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι.

λβ'. Ἐγὼ δὲ σύνειμι μὲν Θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς. ἔργον δὲ καλὸν, οὔτε θεῖον οὔτε ἀνθρώπινον, χωρὶς ἐμοῦ γίνεται. τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ Θεοῖς

ma diei parte somno obruens.

31. Quum sis immortalis, à Diis quidem rejecta es; ab honestis autem hominibus probro afficeris. Jam quod omnium auditu jucundissimum est, tuam ipsius laudem nullam audis: nec, quod spectaculum jucundissimum est, spectari potes: quippe nullum unquam honestum facinus tuum vidisti. Quis vero tibi aliquid dicenti fidem habeat? Quis rei alicujus egenti quidquam suppeditet? Quis mentis compos ex tuæ sodalitatis cœtu esse audeat? quum tui, si juvenes sint, corporibus sint debiles; provectiores facti, animis desipiant: sine labore nitidi per juventam victitant; cum labore squallidi per senectam ætatem transeunt: anteactorum eos pudet; agendorum onus haud sustinent: jucundis in juventute cursu quasi peragratis, in senectutem molesta reservant.

32. Ego vero cum Diis versor, cum hominibus honestis versor: nec ullum præclarum facinus, sive divinum sive humanum, absq; me perpetratur. Maxime omnium à Diis

Θεοῖς καὶ παρὰ ἀνθρώποις, οἷς προσήκει· ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτης οἰκέταις, ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός.

λγ'. Ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις· ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. ὕπνος δὲ αὐτοῖς πάρεστιν ἡδίων, ἢ τοῖς ἀμόχθοις· καὶ οὔτε ἀπολιπόντες αὐτὸν ἄχθονται, οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται. καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν Θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν· ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις,

Diis & hominibus, quibus par eſt, honoribus afficior; artificibus cara laborum ſocia, fida domorum cuſtos heris, opitulatrix benigna ſervis, in laboribus pace curandis adjutrix egregia, conſtans in negotiis bellicis auxiliatrix, amicitiæ conſors optima.

33. Eſt etiam amicis meis cibi & potus perceptio, ſuavis pariter ac elaborati nihil habens. Expectant enim, donec appetant. Iidem ſomnum capiunt ſuaviorem quam otioſi: ac neque excitatos ſe moleſte ferunt, neque ſomni cauſa, quæ agenda neceſſario ſunt, omittunt. Juvenes ſenum laudibus gaudent, ſenes juvenum honoribus delectantur. Iidem rerum olim geſtarum memoriam jucunde repetunt, nec minori cum voluptate præſentia peragunt, quum quidem mea cauſa Diis accepti ſint, amicis cari, patriis honorati. Denique quum finis à fato præſtitutus adeſt, non inhonorati jacent, oblivioni traditi; ſed perpetua ſui memoria celebrati florent. Hujuſmodi, mi Hercules, parentum ſobo-

κλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι.

λδ'. Οὕτω πως διώκει Πρόδικος τὴν ὑπὸ Ἀρετῆς Ἡρακλέους παίδευσιν. ἐκόσμησε μέντοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν, ἢ ἐγὼ νῦν. σοὶ δ' οὖν ἄξιον, ὦ Ἀρίστιππε, τούτων ἐνθυμουμένῳ πειρᾶσθαί τι καὶ τοῦ εἰς τὸν μέλλοντα χρόνον τοῦ βίου φροντίζειν.

ΚΕΦ. β'.

Αἰσθόμενος δέ ποτε Λαμπροκλέα τὸν πρεσβύτατον υἱὸν ἑαυτοῦ πρὸς τὴν μητέρα χαλεπαίνοντα, Εἰπέ μοι, ἔφη, ὦ παῖ, οἶσθά τινας ἀνθρώπους ἀχαρίστους καλουμένους; καὶ μάλα, ἔφη ὁ νεανίσκος. καταμεμάθηκας οὖν τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσιν; ἔγωγ' (ἔφη) τοὺς γὰρ εὖ παθόντας, ὅταν δυνάμενοι χάριν ἀποδοῦναι μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν. οὐκοῦν δοκοῦσί σοι

ἐν

soboles fortium, laboribus exantlatis, licet ea felicitate potiaris quæ ab omnibus maxime prædicatur.

• 34. Hoc quodam modo Prodicus institutionem Virtutis ad Herculem prosequitur. Sententias quidem ipsas multo magis magnificis verbis, quam ego nunc fecerim, ornavit. Quamobrem, mi Aristippe, te quoque æquum est hæc animo perpendentem conari, ut etiam futuri vitæ temporis curam aliquam habeas.

CAP. II.

CÆterum quum animadvertisset aliquando Lamproclem filium suum natu maximum, matri suæ succensere: Dic mihi, ait, mi fili, nostine quosdam homines qui appellantur ingrati? Omnino, inquit adolescens. Animadvertisti ergo, quid illi faciant, qui hoc nomine dicuntur? Equidem: (ait) nam illos ingratos vocant, qui affecti beneficiis, quum referre gratiam possint, non referunt. Ergo tibi videntur in-

gratos

ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους; ἔμοιγ', ἔφη.

β'. Ἤδη δέ ποτε ἐσκέψω, εἰ ἄρα (ὥσπερ τὸ ἀνδραποδίζεσθαι τοὺς μὲν φίλους, ἄδικον εἶναι δοκεῖ· τοὺς δὲ πολεμίους, δίκαιον εἶναι) καὶ τὸ ἀχαριστεῖν πρὸς μὲν τοὺς φίλους, ἄδικόν ἐστι· πρὸς δὲ τοὺς πολεμίους, δίκαιον; καὶ μάλα· (ἔφη) καὶ δοκεῖ μοι, ὑφ' οὗ ἄν τις εὖ παθὼν, εἴτε φίλου εἴτε πολεμίου, μὴ πειρᾶται χάριν ἀποδιδόναι, ἄδικος εἶναι.

γ'. Οὐκοῦν (εἴγε οὕτως ἔχει τοῦτο) εἰλικρινής τις ἂν εἴη ἀδικία ἡ ἀχαριστία; συνωμολόγει. οὐκοῦν ὅσῳ ἄν τις μείζω ἀγαθὰ παθὼν μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη. συνέφη καὶ τοῦτο. τίνας οὖν (ἔφη) ὑπό τινων εὕροιμεν ἂν μείζονα εὐεργετημένους, ἢ παῖδας ὑπὸ γονέων; οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι, τοσαῦτα δὲ καλὰ ἰδεῖν, καὶ τοσούτων ἀγαθῶν μετασχεῖν, ὅσα οἱ Θεοὶ παρέχουσι τοῖς ἀνθρώποις. ἃ δὴ καὶ οὕτως ἡμῖν δοκεῖ παντὸς ἄξια εἶναι, ὥστε πάντες τὸ καταλιπεῖν αὐτὰ πάντων μάλιστα φευγόμεν. καὶ αἱ πόλεις ἐπὶ

gratos cum injustis reponere. Mihi quidem, inquit.

2. Verum considerastine (inquit) an quemadmodum amicos in servitutem redigere, injustum esse videtur; hostes autem, justum: sic etiam erga amicos ingratum esse, injustum sit; erga hostes autem, justum? Omnino: (inquit) adeoq; mihi videtur injustus esse, à quocunque quispiam beneficiis affectus, sive amico sive hoste, referre gratiam non enititur.

3. Ergo (si res ita se habet) mera quædam injuria est ingratitudo. Concessit. Quanto quis igitur majoribus beneficiis affectus gratiam non retulerit, tanto erit injustior. Concessit etiam hoc. Quos autem (ait) à quibus reperire possimus majoribus affectos beneficiis, quam liberos à parentibus? quibus, quum antea non essent, parentes existendi causa fuerunt, atque tot præclaras ut res cernerent, tot bonorum participes fierent, quot bona hominibus Dii suppeditant: quæ sane usq; adeo maximi facienda ducimus, ut omnes inprimis eorum amissionem refugiamus. Civitates quo-

ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν ἀδικίαν παύσοντες.

δ'. Καὶ μὴν οὐ τῶν γε ἀφροδισίων ἕνεκα παιδοποιεῖσθαι τοὺς ἀνθρώπους ὑπολαμβάνεις. ἐπεὶ τούτου γε τῶν ἀπολυσόντων μεσταὶ μὲν αἱ ὁδοὶ, μεστὰ δὲ τὰ οἰκήματα. φανεροὶ δ' ἐσμὲν καὶ σκοπούμενοι, ἐξ ὁποίων ἂν γυναικῶν βέλτιστα ἡμῖν τέκνα γένοιτο, αἷς συνελθόντες τεκνοποιούμεθα.

ε'. Καὶ ὁ μὲν ἀνὴρ τήν τε συντεκνοποιήσουσαν ἑαυτῷ τρέφει, καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ προπαρασκευάζει πάντα, ὅσα ἂν οἴηται συνοίσειν αὐτοῖς πρὸς τὸν βίον, καὶ ταῦτα ὡς ἂν δύνηται πλεῖστα· ἡ δὲ γυνὴ ὑποδεξαμένη τε φέρει τὸ φορτίον τοῦτο, βαρυνομένη τε καὶ κινδυνεύουσα περὶ τοῦ βίου, καὶ μεταδιδοῦσα τῆς τροφῆς, ἧ καὶ αὐτὴ τρέφεται, καὶ σὺν πολλῷ πόνῳ διενέγκασα καὶ τεκοῦσα, τρέφει τε καὶ ἐπιμελεῖται, οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν, οὔτε γιγνῶσκον τὸ βρέφος, ὑφ' ὅτου εὖ πάσχει, οὐδὲ σημαίνειν δυνάμενον ὅτου δεῖται· ἀλλ' αὐτὴ στοχαζομένη τά τε συμφέροντα καὶ κε-

quoque maximis sceleribus mortem in pœnam statuerunt, quod gravioris mali metu injustitiam coërcere nequeant.

4. Nec vero homines rei venereæ causa liberos procreare existimes. Nam eorum quæ ab illa quemvis liberent, plenæ viæ, plena lupanaria. Præterea manifestum est, considerare nos, ex cujusmodi mulieribus liberos optimos suscipere possimus, quibuscum congressi liberos procreamus.

5. Ac vir quidem eam, quæ in procreationo cooperatur, nutrit, liberisque nascendis præparat omnia, quæcunque ad vitam eis conductura putat, eaque quam potest plurima: mulier vero exceptum onus hoc gestat, cum gravamine vitæque periculo; alimentumque suppeditans, quo alitur & ipsa, postea quam magno cum labore gestavit ac peperit, tum nutrit nullo prius affecta beneficio, tum curat infantem, non agnoscentem, à quo beneficium accipiat, neque valentem indicare, quibus egeat; sed ipsa quid ei conducat, ac gratum esse possit, con-

κεχαρισμένα πειρᾶται ἐκπληροῦν, καὶ τρέφει πολὺν χρόνον, καὶ ἡμέρας καὶ νύκτας ὑπομένουσα πονεῖν, οὐκ εἰδυῖα τίνα τούτων χάριν ἀπολήψεται.

ς'. Καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλὰ καὶ ἐπειδὰν δόξωσιν ἱκανοὶ εἶναι οἱ παῖδες μανθάνειν τι, ἃ μὲν ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγαθὰ πρὸς τὸν βίον, διδάσκουσιν· ἃ δ' ἂν οἴωνται ἄλλον ἱκανώτερον εἶναι διδάξαι, πέμπουσι πρὸς τοῦτον δαπανῶντες, καὶ ἐπιμελοῦνται πάντα ποιοῦντες, ὅπως οἱ παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι.

ζ'. Πρὸς ταῦτα ὁ νεανίσκος ἔφη· ἀλλά τοι εἰ ταῦτα πάντα πεποίηκε, καὶ ἄλλα τούτων πολλαπλάσια, οὐδεὶς ἂν δύναιτο αὐτῆς ἀνασχέσθαι τὴν χαλεπότητα. καὶ ὁ Σωκράτης, πότερα δὲ οἴει, ἔφη, θηρίου ἀγριότητα δυσφορώτερον εἶναι, ἢ μητρός; ἐγὼ μὲν οἶμαι (ἔφη) τὴν μητρὸς τῆς γε τοιαύτης. ἤδη πώποτε οὖν ἢ δακοῦσα κακόν τι σοὶ ἔδωκεν, ἢ λακτίσασα; οἷα ὑπὸ θηρίων ἤδη πολλοὶ ἔπαθον.

η'. Ἀλλὰ νὴ Δία (ἔφη) λέγει ἃ οὐκ ἄν τις ἐπὶ τῷ

βίῳ

conjectura colligens, explere nititur, & longo nutrit tempore, ac noctes diesque labores perfert, quam pro his gratiam reportatura sit, ignorans.

6. Neque tantum nutrire sufficit, sed etiam ubi ad discendum aliquid idonei videntur esse liberi, siqua parentes ipsi tenent ad vitam utilia, docent: quibus vero docendis alium magis idoneum esse putant, ad hunc eos magno cum sumptu mittunt, omnique conatu dant operam, ut liberi reddantur, quantum fieri potest, optimi.

7. Ad ea subjecit adolescens: Tametsi hæc omnia fecerit, aliaque his multo plura, nemo tamen ejus asperitatem perferre possit. Et Socrates, Utrum existimas, inquit, toleratu esse difficilius, feræne sævitiam, an matris? Equidem (inquit) matris arbitror, quæ sane talis sit. Ergone unquam vel mordendo vel recalcitrando te læsit? cujusmodi à belluis multi perpessi sunt.

8. At enim profecto (inquit) ea loquitur, quæ quis audire vel ob

omnem

βίῳ παντὶ βούλοιτο ἀκοῦσαι. σὺ δὲ πόσα (ἔφη ὁ Σωκράτης) οἴει ταύτῃ δυσάνεκτα, καὶ τῇ φωνῇ καὶ τοῖς ἔργοις, ἐκ παιδίου δυσκολαίνων καὶ ἡμέρας καὶ νυκτὸς, πράγματα παρασχεῖν; πόσα δὲ λυπῆσαι κάμνων;

θ'. Ἀλλ' οὐδεπώποτε αὐτὴν (ἔφη) οὔτ' εἶπα οὔτ' ἐποίησα οὐδὲν, ἐφ' ᾧ ᾐσχύνθη. τί δ' οἴει (ἔφη) χαλεπώτερον εἶναί σοι ἀκούειν ὧν αὕτη λέγει, ἢ τοῖς ὑποκριταῖς, ὅταν ἐν ταῖς τραγῳδίαις, ἀλλήλους τὰ ἔσχατα λέγουσιν; ἀλλ' οἶμαι, ἐπειδὰν οὐκ οἴονται τῶν λεγόντων οὔτε τὸν ἐλέγχοντα ἐλέγχειν, ἵνα ζημιώσῃ, οὔτε τὸν ἀπειλοῦντα ἀπειλεῖν, ἵνα κακόν τι ποιήσῃ, ῥᾳδίως φέρουσι. σὺ δ' εὖ εἰδὼς, ὅτι ἃ λέγει σοι ἡ μήτηρ, οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει, ἀλλὰ καὶ βουλομένη σοι ἀγαθὰ εἶναι, ὅσα οὐδενὶ ἄλλῳ, χαλεπαίνεις; ἢ νομίζεις κακόνουν τὴν μητέρα σοι εἶναι; οὐ δῆτα (ἔφη) τοῦτό γε οὐκ οἴομαι.

ι'. Καὶ ὁ Σωκράτης, Οὐκοῦν, ἔφη, ταύτην εὔνουν τέ σοι οὖσαν καὶ ἐπιμελομένην ὡς μάλιστα δύναται κάμνοντος, ὅπως

omnem hanc vitam nolit. Tu vero quam multa (inquit Socrates) intoleranda te huic negotia, tum voce tum facto, tum interdiu tum noctu, à prima usque ætate molestando putas exhibuisse? quantum doloris attulisse, quoties ægrotares?

9. At ego illi (ait) neque dixi neque feci quidquam, cujus ipsam puderet. Quid autem (inquit) molestius esse putas, tibine audire, quæ dicit ipsa? an histrionibus, quum in tragœdiis alter alteri convicia extrema dicit. Enimvero arbitror eos, quia non existimant vel illum qui redarguit, lædendi causa redarguere, vel minantem, damni alicujus inferendi causa minari, æquo illa ferre animo. Tu vero, quum plane scias, matrem, quæ dicit, non modo nihil mali cogitantem dicere, sed etiam optantem tibi tantum boni, quantum alii nulli, inique fers? an existimas, matrem esse tibi malevolam? Non equidem (inquit) hoc arbitror.

10. Et Socrates, Ergone tu hanc, ait, quæ tibi benevola est, & quam maxime potest ægrotantē curat ut valeas,

ὅπως ὑγιαίνης τε, καὶ ὅπως τῶν ἐπιτηδείων μηδενὸς ἐνδεὴς ἔσῃ, καὶ πρὸς τούτοις, πολλὰ τοῖς Θεοῖς εὐχομένην ἀγαθὰ ὑπὲρ σοῦ, καὶ εὐχὰς ἀποδιδοῦσαν, χαλεπὴν εἶναι φῄς; ἐγὼ μὲν οἶμαι, εἰ τοιαύτην μὴ δύνασαι φέρειν μητέρα, τἀγαθά σε οὐ δύνασθαι φέρειν.

ια'. Εἰπὲ δέ μοι (ἔφη) πότερον ἄλλον τινὰ οἴει δεῖν θεραπεύειν; ἢ παρεσκεύασαι μηδενὶ ἀνθρώπων πειρᾶσθαι ἀρέσκειν, μηδὲ ἕπεσθαι, μήτε πείθεσθαι, μήτε στρατηγῷ μήτε ἄλλῳ ἄρχοντι; ναὶ μὰ Δία ἔγωγε, ἔφη.

ιβ'. Οὐκοῦν (ἔφη ὁ Σωκράτης) καὶ τῷ γείτονι βούλει σὺ ἀρέσκειν, ἵνα σοι καὶ πῦρ ἐναύῃ, ὅταν τούτου δέῃ, καὶ ἀγαθοῦ τέ σοι γίγνηται συλλήπτωρ, καὶ, ἄν τι σφαλλόμενος τύχῃς, εὐνοϊκῶς ἐγγύθεν βοηθῇ σοι; ἔγωγ', ἔφη. τί δέ; συνοδοιπόρον, ἢ σύμπλουν, ἢ εἰ τῷ ἄλλῳ ἐντυγχάνοις, οὐδὲν ἄν σοι διαφέρειν φίλον ἢ ἐχθρὸν γενέσθαι, ἢ καὶ τῆς παρὰ τούτων εὐνοίας οἴει δεῖν ἐπιμελεῖσθαι; ἔγωγ', ἔφη.

ιγ'. Εἶτα τούτων μὲν ἐπιμελεῖσθαι παρεσκεύασαι, τὴν δὲ μητέρα

valeas, ac re necessaria nulla egeas, præterque hæc, multa Diis bona pro te vovet, ac vota reddit, sævam esse dicis? Equidem statuo, si matrem ejusmodi ferre non possis, non posse te bona ferre.

11. Dic autem mihi, (ait) utrum tibi alium quempiam colendum putas; an ita comparatus es, ut nemini hominum placere studeas, neminem sequi, nemini parere, sive sit imperator, sive magistratus alius? Equidem profecto, ait.

12. Ergo (inquit Socrates) etiam vicino placere velis, ut ignem accendat tibi, quum opus erit, teque in aliqua re bona adjuvet, ac siquid adversi accidat, è propinquo tibi benevole succurrat? Equidem, ait. Quid autem? nihil interesse putas, comitem itineris, aut navigationis, aut alium quendam, in quem incideris, amicum an hostem habeas; vel potius eorum etiam benevolentiam consequendam esse putas? Equidem, ait.

13. Ergo comparatus es horum habere rationem, matrem vero,

τέρα τὴν πάντων μάλιστά σε φιλοῦσαν οὐκ οἴει δεῖν θεραπεύειν; οὐκ οἶσθα, ὅτι καὶ ἡ πόλις ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς ἐπιμελεῖται, οὐδὲ δικάζει, ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας, χάριν οὐκ ἀποδιδόντας· ἐὰν δέ τις γονέας μὴ θεραπεύῃ, τούτῳ δίκην τε ἐπιτίθησι, καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ ἄρχειν τοῦτον, ὡς οὔτε ἂν τὰ ἱερὰ εὐσεβῶς θυόμενα ὑπὲρ τῆς πόλεως τούτου θύοντος, οὔτε ἄλλο καλῶς καὶ δικαίως οὐδὲν ἂν τούτου πράξαντος; καὶ νὴ Δία ἐάν τις τῶν γονέων τελευτησάντων τοὺς τάφους μὴ κοσμῇ, καὶ τοῦτο ἐξετάζει ἡ πόλις ἐν ταῖς τῶν ἀρχόντων δοκιμασίαις.

ιδ'. Σὺ οὖν, ὦ παῖ, ἂν σωφρονῇς, τοὺς μὲν θεοὺς παραιτήσῃ, συγγνώμονάς σοι εἶναι, εἴ τι παρημέληκας τῆς μητρός, μή σε καὶ οὗτοι νομίσαντες ἀχάριστον εἶναι, οὐκ ἐθέλωσιν εὖ ποιεῖν· τοὺς δ' ἀνθρώπους φυλάξῃ, μή σε αἰσθόμενοι τῶν γονέων ἀμελοῦντα, πάντες ἀτιμάσωσιν, εἶτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς. εἰ γάρ σε ὑπολάβοιεν πρὸς τοὺς γονέας ἀχάριστον εἶναι, οὐδεὶς

vero, quæ te plus omnibus hisce diligit, colendam tibi non existimas? An ignoras, civitatem alterius quidem nullius ingratitudinis habere rationem, nec in eam actionem dare, sed susque deque ferre, si beneficiis affecti gratiam non referant: at siquis parentes non colat, eum pœna multare, rejectumque magistratus obire non pati, ac si neque res sacræ pro republica religiose fieri queant, illo sacrificante, neque quicquam aliud ab eo perfici recte justeq; possit? Etiam hoc profecto, siquis parentum mortuorum sepulcra non ornet, respublica magistratuum in examinibus inquirit.

14. Ergo tu, mi fili, si sapias, Deos ipsos deprecaberis, ut ignoscant tibi, si quidem erga matrem negligens fuisti, ne te illi & ingratum esse existiment, & benefacere tibi nolint: & cavebis ad homines, ne hi te nullam animadvertentes parentum rationem habere, omnes pro nihilo habeant, & privatus amicis omnibus appareris. Nam si te suspicabuntur erga parentes ingratum esse, nemo existimaturus

δεὶς ἂν νομίσειεν, εὖ σε ποιήσας χάριν ἀπολήψεσθαι.

ΚΕΦ. γ'.

Χαιρεφῶντα δέ ποτε καὶ Χαιρεκράτην ἀδελφὼ μὲν ὄντε ἀλλήλοιν, ἑαυτῷ δὲ γνωρίμω, αἰσθόμενος διαφερομένω, ἰδὼν τὸν Χαιρεκράτην, Εἰπέ μοι, ἔφη, ὦ Χαιρέκρατες, οὐ δήπου καὶ σὺ εἶ τῶν τοιούτων ἀνθρώπων, οἳ χρησιμώτερον νομίζουσι χρήματα ἢ ἀδελφὸν, καὶ ταῦτα, τῶν μὲν ἀφρόνων ὄντων, τοῦ δὲ φρονίμου· καὶ τῶν μὲν βοηθείας δεομένων, τοῦ δὲ βοηθεῖν δυναμένου· καὶ πρὸς τούτοις, τῶν μὲν πλειόνων ὑπαρχόντων, τοῦ δ' ἑνός;

β'. Θαυμαστὸν δὲ καὶ τοῦτο, εἴ τις τοὺς μὲν ἀδελφοὺς ζημίαν ἡγεῖται, ὅτι οὐ καὶ τὰ τῶν ἀδελφῶν κέκτηται, τοὺς δὲ πολίτας οὐχ ἡγεῖται ζημίαν, ὅτι οὐ καὶ τὰ τῶν πολιτῶν ἔχει· ἀλλ' ἐνταῦθα μὲν δύναται λογίζεσθαι, ὅτι κρεῖττον σὺν πολλοῖς οἰκοῦντα ἀσφαλῶς ἀρκοῦντα ἔχειν, ἢ μόνον διαιτώμενον

maturus eſt, ſe pro beneficiis tibi præſtitis gratiam reportaturum.

CAP. III.

Cæterum animadvertens aliquando Socrates, Chærephontem & Chærecratem fratres, familiares ſuos, inter ſe diſſidere, ubi Chærecratem vidiſſet, Dic mihi, mi Chærecrates, ait, num tu ex iis es hominibus, qui utilius quid eſſe divitias putant, quam fratrem; quanquam illæ inſipientes ſint, hic ſapiens: illæ ope indigeant, hic opitulari poſſit: illæ denique multæ, frater autem unus?

2. Mirum hoc quoque, poſſe quem fratres ſuos ſibi detrimento eſſe putare, propterea quod non etiam fratrum facultates poſſideat: at cives ſibi detrimento non eſſe arbitrari, quod civium bona non habeat: ſed poſſe hac in parte ratiocinari, quod præſtet ut aliquis cum multis habitans ſecure, quæ ſufficiant, habeat; quam ſi ſolus vivat, ac

μένον τὰ τῶν πολιτῶν ἐπικινδύνως πάντα κεκτῆσθαι· ἐπὶ δὲ τῶν ἀδελφῶν τὸ αὐτὸ τοῦτο ἀγνοοῦσι.

γʹ. Καὶ οἰκέτας μὲν οἱ δυνάμενοι ὠνοῦνται, ἵνα συνεργοὺς ἔχωσι, καὶ φίλους κτῶνται, ὡς βοηθῶν δεόμενοι· τῶν δ' ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους.

δʹ. Καὶ μὴν πρὸς φιλίαν μέγα μὲν ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν φῦναι, μέγα δὲ τὸ ὁμοῦ τραφῆναι. ἐπεὶ καὶ τοῖς θηρίοις πόθος τις ἐγγίνεται τῶν συντρόφων. πρὸς δὲ τούτοις, καὶ οἱ ἄλλοι ἄνθρωποι τιμῶσί τε μᾶλλον τοὺς συναδέλφους ὄντας τῶν ἀναδέλφων, καὶ ἧττον τούτοις ἐπιτίθενται.

εʹ. Καὶ ὁ Χαιρεκράτης εἶπεν· Ἀλλ' εἰ μέν, ὦ Σώκρατες, μὴ μέγα εἴη τὸ διάφορον, ἴσως ἂν δέοι φέρειν τὸν ἀδελφόν, καὶ μὴ μικρῶν ἕνεκα φεύγειν. ἀγαθὸν γὰρ (ὥσπερ καὶ σὺ λέγεις) ἀδελφὸς ὢν οἷον δεῖ. ὁπότε μέντοι παντὸς ἐνδέοι, καὶ πᾶν τὸ ἐναντιώτατον εἴη, τί ἄν τις ἐπιχειροίη τοῖς ἀδυνάτοις;

ϛʹ. Καὶ

ac civium facultates cum periculo omnes possideat: in fratribus id ipsum ignorare.

3. Ac servos quidem emunt, qui possunt, ut laborum socios habeant; amicos parant, quod opitulatoribus egeant: fratres autem negligunt, quasi ex civibus amici fieri possint, ex fratribus non possint.

4. Atqui multum ad amicitiam conducit, ex iisdem natum esse; multum, una nutriri. Nam & feris quoddam eorum, quæ una nutrita sunt, desiderium innascitur. Præterea cæteri quoque homines honorant magis illos qui fratres habent, quam qui nullos; ac minus eos aggrediuntur.

5. Tum Chærecrates, Enimvero, mi Socrates, ait, si non magnum sit dissidium, fortasse ferendus sit frater, neque ob exiguas causas fugiendus. Quippe bonum quoddam (sicut & tu dicis) frater est, si talis sit, qualem esse convenit. At si plane desit officio, & quidvis aliud sit potius quam frater: quamobrem quis ea, quæ fieri nequeunt, conetur?

ϛ'. Καὶ ὁ Σωκράτης ἔφη· πότερα δὲ, ὦ Χαιρέκρατες, οὐδενὶ ἀρέσαι δύναται Χαιρεφῶν, ὥσπερ οὐδὲ σοι, ἢ ἔστιν οἷς καὶ πάνυ ἀρέσκῃ; Διὰ τοῦτο γάρ τοι, (ἔφη) ὦ Σώκρατες, ἄξιόν ἐστιν ἐμὲ μισεῖν αὐτὸν, ὅτι ἄλλοις μὲν ἀρέσκειν δύναται, ἐμοὶ δὲ (ὅπου ἂν παρῇ) πανταχοῦ καὶ ἔργῳ καὶ λόγῳ ζημία μᾶλλον, ἢ ὠφέλειά ἐστιν.

ζ'. Ἆρ' οὖν (ἔφη ὁ Σωκράτης) ὥσπερ ἵππος τῷ ἀνεπιστήμονι μὲν, ἐγχειροῦντι δὲ χρῆσθαι, ζημία ἐστὶν, οὕτω καὶ ἀδελφὸς, ὅταν τις αὐτῷ μὴ ἐπιστάμενος ἐγχειρῇ χρῆσθαι, ζημία ἐστί;

η'. Πῶς ἂν ἐγὼ (ἔφη ὁ Χαιρεκράτης) ἀνεπιστήμων εἴην ἀδελφῷ χρῆσθαι, ἐπιστάμενός γε καὶ εὖ λέγειν τὸν εὖ λέγοντα, καὶ εὖ ποιεῖν τὸν εὖ ποιοῦντα; τὸν μέντοι καὶ λόγῳ καὶ ἔργῳ πειρώμενον ἐμὲ ἀνιᾶν, οὐκ ἂν δυναίμην οὔτ' εὖ λέγειν οὔτ' εὖ ποιεῖν, ἀλλ' οὐδὲ πειράσομαι.

θ'. Καὶ ὁ Σωκράτης ἔφη· θαυμαστά γε λέγεις, ὦ Χαιρέκρατες, εἰ κύων μέν σοι ἦν ἐπὶ προβάτοις ἐπιτήδειος,

6. Utrum vero, mi Chærecrates, (inquit Socrates) nemini Chærephon placere poteſt, ſicut & tibi non placet? an ſunt nonnulli, quibus egregie placeat? Hac ipſa de cauſa, mi Socrates, (ait) æquum eſt illum mihi eſſe odio, quod aliis quidem placere poſſit, mihi vero (ubicunque adeſt) verbis ac factis detrimento potius quam commodo ſit.

7. Ergone (ait Socrates) perinde atque equus homini imperito, qui uti eo conetur, damno eſt; ſic & frater, quum quis eo vult uti, qui neſciat, eſt detrimento?

8. Quonam modo erga fratrem (inquit Chærecrates) me gerere non norim, quum & verbis & factis benignus in illum eſſe poſſim, qui verbis itidem ac factis benignus erga me eſt. At vero qui & verbis & factis mihi moleſtiam parere dat operam, benigne me in eum verbo factove gerere nec poſſum nec volo.

9. Et Socrates, Mira vero narras, inquit, mi Chærecrates, te, ſi canem habeas, atque is ovibus cuſtodiendis aptus ſit, ac paſtoribus quidem

τήδειος, καὶ τοὺς μὲν ποιμένας ἠσπάζετο, σοὶ δὲ προσιόντι ἐχαλέπαινεν, ἀμελήσας ἂν τοῦ ὀργίζεσθαι, ἐπειρῶ εὖ ποιήσας πραΰνειν αὐτόν· τὸν δὲ ἀδελφὸν φῂς μὲν μέγα ἂν ἀγαθὸν εἶναι, ὄντα πρός σε οἷον δεῖ, ἐπίστασθαι δὲ ὁμολογῶν καὶ εὖ ποιεῖν καὶ εὖ λέγειν, οὐκ ἐπιχειρεῖς μηχανᾶσθαι, ὅπως σοι ὡς βέλτιστος ᾖ.

ι'. Καὶ ὁ Χαιρεκράτης, δέδοικα, ἔφη, ὦ Σώκρατες, μὴ οὐκ ἔχω ἐγὼ τοσαύτην σοφίαν, ὥστε Χαιρεφῶντα ποιῆσαι πρὸς ἐμὲ οἷον δεῖ. καὶ μὴν οὐδέν γε ποικίλον (ἔφη ὁ Σωκράτης) οὐδὲ καινὸν δεῖ ἐπ' αὐτὸν (ὡς ἐμοὶ δοκεῖ) μηχανᾶσθαι· οἷς δὲ καὶ σὺ ἐπίστασαι αὐτός, οἶμαι ἂν αὐτὸν ἁλόντα περὶ πολλοῦ ποιεῖσθαί σε.

ια'. Οὐκ ἂν φθάνοις (ἔφη) λέγων εἴ τι ᾔσθησαί με φίλτρον ἐπιστάμενον, ὃ ἐγὼ εἰδὼς λέληθα ἐμαυτόν; λέγε δέ μοι, (ἔφη) εἴ τινα τῶν γνωρίμων βούλοιο κατεργάσασθαι, ὁπότε θύοι, καλεῖν σε ἐπὶ δεῖπνον, τί ἂν ποιήσῃς; δῆλον, ὅτι κατάρχοιμι ἂν τοῦ αὐτός, ὅτε θύοιμι, καλεῖν ἐκεῖνον.

ιβ'. Εἰ

dem blandiatur, in te vero adeuntem sæviat, omiſſa iracundia, benefaciendo eniti, ut eum mitiges: fratrem vero, quem magnum quoddam bonum ais eſſe, ſi erga te talis ſit, ut decet, non te operam dare, ut optimum tibi reddas; præſertim quum & verbis & factis benignum eſſe ex confeſſo ſcias.

10. Vereor equidem (ait Chærecrates) ne tanta ſit in me ſollertia, mi Socrates, ut Chærephontem erga me talem reddere poſſim, qualem eſſe oportet. Atqui (ſubjecit Socrates) nihil artificioſi, neque novi ut ejus cauſa excogites, opus eſt, mea quidem ſententia: nam exiſtimo eum illis artibus, quas tu non ignoras, allectum abs te, plurimi te facturum.

11. Dic mihi prius, (inquit) an me quaſdam illecebras noſſe ſenſeris, quas ipſemet ſcire me ignoraverim? Tu vero mihi dicito, (inquit) ſi quem familiarium eo deducere velles, ut, ubi rem ſacram facit, ad cœnam te vocaret, quid faceres? Nimirum prior hominem, ipſe rem ſacram faciens, invitarem.

¶ M 2

12. At

ιβ'. Εἰ δὲ βούλοιο τῶν φίλων τινὰ προτρέψασθαι, ὁπότε ἀποδημοίης, ἐπιμελεῖσθαι τῶν σῶν, τί ἂν ποιοίης; Δῆλον ὅτι πρότερος ἂν ἐγχειροίην ἐπιμελεῖσθαι τῶν ἐκείνου, ὁπότε ἀποδημοίη.

ιγ'. Εἰ δὲ βούλοιο ξένον ποιῆσαι ὑποδέχεσθαι σεαυτὸν, ὁπότε ἔλθοις εἰς τὴν ἐκείνου, τί ἂν ποιοίης; Δῆλον ὅτι καὶ τοῦτον πρότερος ὑποδεχοίμην, ἂν ὁπότε ἔλθοι Ἀθήναζε. καὶ εἴ γε βουλοίμην αὐτὸν προθυμεῖσθαι διαπράττειν μοι ἐφ' ἃ ἥκοιμι· δῆλον ὅτι καὶ τοῦτο δέοι ἂν πρότερον αὐτὸν ἐκείνῳ ποιεῖν.

ιδ'. Πάντα ἄρα σύγε τὰ ἐν ἀνθρώποις φίλτρα ἐπιστάμενος πάλαι ἀπεκρύπτου. ἢ ὀκνεῖς (ἔφη) ἄρξαι, μὴ αἰσχρὸς φανῇς, ἐὰν πρότερος τὸν ἀδελφὸν εὖ ποιῇς; καίτοι πλείστου γε δοκεῖ ἀνὴρ ἐπαίνου ἄξιος εἶναι, ὃς ἂν φθάνῃ τοὺς μὲν πολεμίους κακῶς ποιῶν, τοὺς δὲ φίλους εὐεργετῶν. εἰ μὲν οὖν ἐδόκει μοι Χαιρεφῶν ἡγεμονικώτερος εἶναί σου πρὸς τὴν φύσιν ταύτην, ἐκεῖνον ἂν ἐπειρώμην πείθειν πρότερον ἐγχειρεῖν τῷ

σε

12. At si velles amicorum aliquem impellere, ut te absente peregre, rerum tuarum curam gereret, quid faceres? nimirum prior operam darem, ut per ipsius absentiam res ipsius curarem.

13. Si velles ab hospite impetrare, ut te exciperet ad se venientem, quid faceres? Nimirum hunc quoque prior exciperem, venientem Athenas: atque etiam si vellem efficere alacrem ad ea mihi conficienda, quorum causa venirem, necesse foret, ut ipse prior idem illi præstarem.

14. Ergo tu quum omnes illecebras, quæ inter homines sunt, jamdudum noris, eas celabas. An cunctaris (inquit) principium facere propterea, ne turpis videare, si prior beneficio fratrem afficias? Atqui maxima vir laude dignus esse videtur, qui hostes, lædendo; benefaciendo, amicos antevertit. Quare si mihi videretur Chærephon ad tale ingenium prius induendum aptior esse, operam in illo persuadendo collocarem, ut prior amicitiam tuam conciliare

sibi

σε φίλον ποιεῖσθαι· νῦν δέ μοι σὺ δοκεῖς ἡγεμὼν μᾶλλον ἂν ἐξεργάσασθαι τοῦτο.

ιε'. Καὶ ὁ Χαιρεκράτης εἶπεν· ἄτοπα λέγεις, ὦ Σώκρατες, καὶ οὐδαμῶς πρὸς σοῦ, ὅς γε κελεύεις ἐμὲ νεώτερον ὄντα καθηγεῖσθαι. καί τοι τούτου γε παρὰ πᾶσιν ἀνθρώποις τἀναντία νομίζεται, τὸν πρεσβύτερον ἡγεῖσθαι παντὸς καὶ ἔργου καὶ λόγου.

ιϛ'. Πῶς; (ἔφη ὁ Σωκράτης) οὐ γὰρ καὶ ὁδοῦ παραχωρῆσαι τὸν νεώτερον πρεσβυτέρῳ συντυγχάνοντι πανταχοῦ νομίζεται; καὶ οὐ καθήμενον ὑπαναστῆναι, καὶ κοίτῃ μαλακῇ τιμῆσαι, καὶ λόγῳ ὑπεῖξαι; ὦ ἀγαθέ, μὴ ὄκνει, (ἔφη) ἀλλ' ἐγχείρει τὸν ἄνδρα καταπραΰνειν, καὶ πάνυ ταχύ σοι ὑπακούσεται. οὐχ ὁρᾷς ὡς φιλότιμός ἐστι, καὶ ἐλευθέριος; τὰ μὲν γὰρ πονηρὰ ἀνθρώπια οὐκ ἂν ἄλλως μᾶλλον ἕλοις ἢ ἂν διδοίης τι, τοὺς δὲ καλοὺς κἀγαθοὺς ἀνθρώπους προσφιλῶς χρώμενος μάλιστ' ἂν κατεργάσαιο.

ιζ'. Καὶ ὁ Χαιρεκράτης εἶπεν· ἐὰν οὖν ἐμοῦ ταῦτα ποιοῦ-

τος,

ſibi ſtuderet: nunc tu mihi videris, ſi rem ordiare, rectius confecturus.

15. Abſurda dicis, mi Socrates, (inquit) minimeque tibi convenientia, qui me minorem ætate jubeas initium facere: quum apud omnes homines contrarium quiddam in more poſitum ſit, nimirum ut ætate provectior in omni dicto factoque principium faciat.

16. Qui hoc? (ait Socrates) annon ubique receptum more eſt, ut junior grandiori occurrenti de via cedat? annon ut ſedens aſſurgat, & lecti mollioris honorem tribuat, & inter colloquendum cedat? Ne cuncteris, (inquit) vir bone, ſed hominem mitigare tenta, qui quidem celeriter admodum tibi obediet. Non vides, quam cupidus honoris, quam liberalis ſit? Homunciones enim futiles alia ratione nulla facilius allicies, quam aliquid largiendo: virtutis & honeſti ſtudioſos homines, ſi cum eis amanter agas, maxime tibi conformaveris.

17. Et Chærecrates, Quid ſi, inquit, me hoc agente, nihilo

fiat

τος, ἐκεῖνος μηδὲν βελτίων γένηται; τί γὰρ ἄλλο (ἔφη ὁ Σωκράτης) ἢ κινδυνεύσεις ἐπιδεῖξαι, σὺ μὲν χρηστός τε καὶ φιλάδελφος εἶναι, ἐκεῖνος δὲ φαῦλός τε καὶ οὐκ ἄξιος εὐεργεσίας; ἀλλ᾽ οὐδὲν οἶμαι τούτων ἔσεσθαι. νομίζω γὰρ αὐτόν, ἐπειδὰν αἴσθηταί σε προκαλούμενον ἑαυτὸν εἰς τὸν ἀγῶνα τοῦτον, πάνυ φιλονεικήσειν, ὅπως περιγένηταί σου λόγῳ καὶ ἔργῳ εὖ ποιῶν.

ιη'. Νῦν μὲν γὰρ οὕτως (ἔφη) διάκεισθε, ὥσπερ εἰ τὼ χεῖρε, ἃς ὁ Θεὸς ἐπὶ τῷ συλλαμβάνειν ἀλλήλαιν ἐποίησεν, ἀφεμένω τούτου τράποιντο πρὸς τὸ διακωλύειν ἀλλήλω· ἢ εἰ τὼ πόδε θείᾳ μοίρᾳ πεποιημένω πρὸς τὸ συνεργεῖν ἀλλήλοιν, ἀμελήσαντε τούτου ἐμποδίζοιεν ἀλλήλω. οὐκ ἂν πολλὴ ἀμαθία εἴη καὶ κακοδαιμονία τοῖς ἐπ᾽ ὠφελείᾳ πεποιημένοις ἐπὶ βλάβῃ χρῆσθαι;

ιθ'. Καὶ μὴν ἀδελφώ γε (ὡς ἐμοὶ δοκεῖ) ὁ Θεὸς ἐποίησεν ἐπὶ μείζονι ὠφελείᾳ ἀλλήλοιν, ἢ χεῖρέ τε, καὶ πόδε, καὶ ὀφθαλμώ,

fiat ille melior? Quid aliud periculi fuerit, (inquit Socrates) quam ut tu declares, te quidem virum bonum fratrisque studiosum esse; illum vero nullius momenti, & indignum beneficio? sed horum nihil futurum arbitror. Nam existimo ipsum, ubi animadverterit se ad certamen hoc abs te provocari, magna contentione conaturum, ut te verbis ac reipsa superare beneficentia possit.

18. Nunc quidem (inquit) ita affecti estis, ac si manus ambæ, quas Deus idcirco creavit, ut mutuo se juvent, hoc omisso, ad impediendum sese invicem converterent: vel si pedes ambo, qui divino consilio mutuas ad operas conditi sunt, hoc ipso neglecto, sibi invicem impedimento essent. Annon magna fuerit inscitia, magnaque infelicitas, iis ad detrimentum uti, quæ ad utilitatem facta sunt?

19. At enim fratres duos germanos, mea quidem sententia, condidit Deus majorem ad utilitatem mutuam, quam manus utrasque, quam pedes, quam oculos,

μῶ, καὶ τἄλλα ὅσα ἀδελφὰ ἔφυσεν ἀνθρώποις. χεῖρες μὲν γὰρ, εἰ δέοι αὐτὰς τὰ πλέον ὀργυιᾶς διέχοντα ἅμα ποιῆσαι, οὐκ ἂν δύναιντο· πόδες δὲ οὐδ' ἂν ἐπὶ τὰ ὀργυιὰν διέχοντα ἔλθοιεν ἅμα· ὀφθαλμοὶ δὲ, οἱ καὶ δοκοῦντες ἐπὶ πλεῖστον ἐξικνεῖσθαι, οὐδ' ἂν τῶν ἔτι ἐγγυτέρω ὄντων τὰ ἔμπροσθεν ἅμα καὶ τὰ ὄπισθεν ἰδεῖν δύναιντο· ἀδελφὼ δὲ φίλω ὄντε, καὶ πολὺ διεστῶτε πράττετον ἅμα καὶ τὰ ἐπ' ὠφελείᾳ ἀλλήλοιν.

ΚΕΦ. δ'.

Ἤκουσα δέ ποτε αὐτοῦ καὶ περὶ φίλων διαλεγομένου, ἐξ ὧν ἔμοιγε ἐδόκει μάλιστ' ἄν τις ὠφελεῖσθαι πρὸς φίλων κτῆσίν τε καὶ χρείαν. τοῦτο μὲν γὰρ δὴ πολλῶν ἔφη ἀκούειν, ὡς πάντων κτημάτων κράτιστον ἂν εἴη φίλος σαφὴς καὶ ἀγαθός· ἐπιμελουμένους δὲ παντὸς μᾶλλον ὁρᾶν ἔφη τοὺς πολλοὺς, ἢ φίλων κτήσεως.

β'. Καὶ

los, quam cætera, quæcunque natura voluit in hominibus esse germana. Quippe manus, si eas necesse sit illa simul agere, quæ longiori spatio, quam unius orgyæ distent, nequaquam id poterint: pedes ne ad ea quidem, quæ orgyæ distent inter se spatio, simul accesserint: oculi, qui pertingere quam longissime putantur, ne propiora quidē à fronte simul & à tergo videre possint. Fratres autem si amici sint, etiam magno dissiti intervallo, ea possunt agere, quæ ad utriusque utilitatem conducant.

CAP. IV.

PRæterea Socratem aliquando de amicis etiam id disserentem audivi, de quo mihi quidem videretur aliquis utilitatem maximam ad conciliationem & usum amicorum percepturus. Nam audire se dicebat ex multis, esse quiddam inter omnia bona præstantissimum, amicum certum ac bonum: videre tamen complures cujusvis rei cura potius affici, quam ut amicos sibi pararent.

2. Aiebat

β'. Καὶ γὰρ οἰκίας, καὶ ἀγροὺς, καὶ ἀνδράποδα, καὶ βοσκήματα, καὶ σκεύη κτωμένους καὶ ἐπιμελῶς ὁρᾷν ἔφη, καὶ τὰ ὄντα σώζειν πειρωμένους· φίλον δὲ (ὃ μέγιστον ἀγαθὸν εἶναί φασιν) ὁρᾷν ἔφη τοὺς πολλοὺς οὔτε ὅπως κτήσονται φροντίζοντας, οὔτε ὅπως οἷόν τε ἑαυτοῖς σώζοντας.

γ'. Ἀλλὰ καὶ καμνόντων φίλων τε καὶ οἰκετῶν, ὁρᾷν τινας ἔφη τοῖς μὲν οἰκέταις καὶ ἰατροὺς εἰσάγοντας, καὶ τἄλλα πρὸς ὑγίειαν ἐπιμελῶς παρασκευάζοντας· τῶν δὲ φίλων ὀλιγωροῦντας. ἀποθανόντων τε ἀμφοτέρων, ἐπὶ μὲν τοῖς οἰκέταις ἀχθομένους καὶ ζημίαν ἡγουμένους, ἐπὶ δὲ τοῖς φίλοις οὐδὲν οἰομένους ἐλαττοῦσθαι. καὶ τῶν μὲν ἄλλων κτημάτων οὐδὲν ἐῶντας ἀθεράπευτον, οὐδ' ἀνεπίσκεπτον· τῶν δὲ φίλων ἐπιμελείας δεομένων ἀμελοῦντας.

δ'. Ἔτι δὲ πρὸς τούτοις ὁρᾷν ἔφη τοὺς πολλοὺς τῶν μὲν ἄλλων κτημάτων, καὶ πάνυ πολλῶν αὐτοῖς ὄντων, τὸ πλῆθος εἰδότας; τῶν δὲ φίλων ὀλίγων ὄντων οὐ μόνον τὸ πλῆθος

2. Aiebat enim cernere se quosdam, qui & domos, & prædia, & mancipia, & rem pecuariam, & supellectilem studiose comparant, acquisitaque conservare conantur; at complures amicum (quem bonum esse maximum perhibeant) neque ut sibi parent sollicitos esse; neque ut, quantum possint, eum sibi conservent.

3. Quinetiam videre se aiebat nonnullos, amicis & servis simul ægrotantibus, ad servos quidem adducere medicos, aliaque valetudini conducentia studiose parare, quum interim amicos negligant. Itidem utrisque morientibus, servorum eos obitum graviter ferre, ac detrimento ducere; in amicis nullum se damnum fecisse, putare: nec in reliquis facultatibus quicquam non curatum, vel inexploratum relinquere; quum amicos, egentes ipsorum cura, negligant.

4. Præterea videre se aiebat, plerosque facultatum suarum, tametsi admodum multas habeant, numerum scire: sed tantum abesse, ut amicorum, quos paucos habent, numerum

πλῆθος ἀγνοοῦντας, ἀλλὰ καὶ τοῖς πυνθανομένοις τοῦτο καταλέγειν ἐγχειρήσαντας, οὓς ἐν τοῖς φίλοις ἔθεσαν, πάλιν τούτοις ἀνατίθεσθαι· τοσοῦτον αὐτοὺς τῶν φίλων φροντίζειν.

ε'. Καίτοι πρὸς ποῖον κτῆμα τῶν ἄλλων παραβαλλόμενος φίλος ἀγαθὸς, οὐκ ἂν πολλῷ κρείττων φανείη; ποῖος γὰρ ἵππος, ἢ ποῖον ζεῦγος οὕτω χρήσιμον, ὥσπερ ὁ χρηστὸς φίλος; ποῖον δὲ ἀνδράποδον οὕτως εὔνουν καὶ παραμόνιμον; ἢ ποῖον ἄλλο κτῆμα οὕτω πάγχρηστον.

ϛ'. Ὁ γὰρ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον τῷ φίλῳ καὶ τῆς τῶν ἰδίων κατασκευῆς, καὶ τῶν κοινῶν πράξεων. καὶ ἄν τέ τινα εὖ ποιῆσαι δέῃ, συνεπισχύει· ἄν τέ τις φόβος ταράττῃ, συμβοηθεῖ, τὰ μὲν συναναλίσκων, τὰ δὲ συμπράττων· καὶ τὰ μὲν συμπείθων, τὰ δὲ βιαζόμενος· καὶ εὖ μὲν πράττοντας πλεῖστα εὐφραίνων, σφαλλομένους δὲ πλεῖστα ἐπανορθῶν.

ζ'. Ἃ δὲ αἵ τε χεῖρες ἑκάστῳ ὑπηρετοῦσι, καὶ ὀφθαλ-

μοὶ

numerum norint; ut etiam quum ſciſcitantibus aliis indicare conantur, quos inter amicos referant, rurſus aliquos revocent: tantum ſcilicet eis amicos eſſe curæ.

5. Atqui cum quanam poſſeſſione ac bono amicus egregius comparatus, non manifeſto ſit melior? nam qui equus, quodve jumentorum par, adeo fuerit utile ac bonus amicus? quodnam mancipium adeo benevolum fuerit, tecumque manendi ſtudioſum? quænam alia res ſic ex omni parte ſit utilis?

6. Etenim amicus bonus ſeipſum ſubſtituit ad quidvis, quod amicis deeſt; ſive ad conſtituendas res privatas, ſeu munera publica. Idem, ſive quis afficiendus eſt beneficio, vires ſufficit; ſeu quis metus perturbet, fert opem, partim ſumptus impertiendo, partim operas mutuas tradendo, partim una perſuadendo, partim cogendo. Idem bene agentes exhilarat, & calamitatibus preſſos erigit.

7. Quæcunque vero vel manus cuique ſumminiſtrant, vel pro-

 ſpiciunt

μοὶ προορῶσι, καὶ τὰ ὦτα προακούουσι, καὶ οἱ πόδες διανύουσι, τούτων φίλος εὐεργετῶν οὐδενὸς λείπεται. πολλάκις ἃ * πρὸ αὑτοῦ τις ἢ οὐκ ἐξειργάσατο, ἢ οὐκ εἶδεν, ἢ οὐκ ἤκουσεν, ἢ οὐ διήνυσε, ταῦτα ὁ φίλος πρὸς τοὺς φίλους ἐξήρκεσεν. ἀλλ' ὅμως ἔνιοι μὲν δένδρα πειρῶνται θεραπεύειν, τοῦ καρποῦ ἕνεκεν· τοῦ δὲ παμφορωτάτου κτήματος, ὃ καλεῖται φίλος, ἀργῶς καὶ ἀνειμένως οἱ πλεῖστοι ἐπιμέλονται.

ΚΕΦ. ε΄.

Ἤκουσα δέ ποτε καὶ ἄλλον αὐτοῦ λόγον, ὃς ἐδόκει μοι προτρέπειν τὸν ἀκούοντα ἐξετάζειν ἑαυτὸν, ὁπόσου τοῖς φίλοις ἄξιος εἴη. ἰδὼν γάρ τινα τῶν ξυνόντων ἀμελοῦντα φίλου πενίᾳ πιεζομένου, ἤρετο Ἀντισθένην ἐναντίον τοῦ ἀμελοῦντος αὐτοῦ, καὶ ἄλλων πολλῶν·

β΄. Ἆρα (ἔφη) ὦ Ἀντίσθενες, εἰσί τινες ἀξίαι φί-

λων,

spiciunt oculi, vel aures ante percipiunt, vel perficiunt pedes; in eorum nullo amici benefici est inferior opera. Sæpe quæ quis à seipso non elaboravit, non vidit, non audivit, non perfecit; ea amicus ad amicos suffecit. Sed tamen arbores nonnulli student excolere fructus causa; quum fertilissimum illud prædium, quod amicum vocamus, segniter remisseque plurimi curent.

CAP. V.

Audivi aliquando etiam aliud ejus colloquium, quod mihi videbatur auditorem excitare, ut seipsum exploret, quanti amicis pretii esse possit. Nam quum vidisset quendam ex familiaribus suis amicum, qui egestate premeretur, negligere; interrogabat Antisthenem in illius præsentia, qui amicum negligebat, aliorumque multorum:

2. Suntne (inquit) amicorum quædam, mi Antisthenes, perin-

de

λων, ὥσπερ οἰκετῶν; τῶν γὰρ οἰκετῶν ὁ μέν που δύο μνῶν ἄξιός ἐστιν, ὁ δ' οὐδ' ἡμιμναίου, ὁ δὲ πέντε μνῶν, ὁ δὲ καὶ δέκα. Νικίας δὲ ὁ Νικηράτου λέγεται ἐπιστάτην εἰς τἀργύρεια πρίασθαι ταλάντου. σκοποῦμαι δὲ τοῦτο, (ἔφη) εἰ ἄρα ὥσπερ τῶν οἰκετῶν, οὕτω καὶ τῶν φίλων εἰσὶν ἀξίαι.

γ'. Ναὶ μὰ Δί' (ἔφη ὁ Ἀντισθένης) ἔγωγ' οὖν βουλοίμην ἂν τὸν μέν τινα φίλον μοι εἶναι μᾶλλον, ἢ δύο μνᾶς· τὸν δ' οὐδ' ἂν ἡμιμναίου προτιμησαίμην· τὸν δὲ καὶ πρὸ δέκα μνῶν ἑλοίμην· τὸν δὲ πρὸ πάντων χρημάτων καὶ πόνων προτιμησαίμην ἂν φίλον μοι εἶναι.

δ'. Οὐκοῦν (ἔφη ὁ Σωκράτης) εἴγε ταῦτα τοιαῦτά ἐστι, καλῶς ἂν ἔχοι ἐξετάζειν τινὰ ἑαυτὸν, πόσου ἄρα τυγχάνει τοῖς φίλοις ἄξιος ὢν, καὶ πειρᾶσθαι ὡς πλείστου ἄξιος εἶναι, ἵνα ἧττον αὐτὸν οἱ φίλοι προδιδῶσιν. ἐγὼ γάρ τοι (ἔφη) πολλάκις ἀκούω τοῦ μὲν, ὅτι προὔδωκεν αὐτὸν φίλος ἀνήρ· τοῦ δ', ὅτι μνᾶν ἀνθ' ἑαυτοῦ μᾶλλον εἵλετο ἀνὴρ, ὃν ᾤετο φίλον εἶναι.

ε'. Τὰ

de ac servorum, æstimationes? nam ex servis hic duabus minis æstimatur, ille vix mina dimidia, alius minis quinque, alius etiam decem. Quinetiam Nicias, Nicerati filius, emisse talento dicitur eum qui argenti fodinis præesset. Itaque considero, an perinde ac servorum, sic & amicorum sint æstimationes.

3. Sunt profecto: (inquit Antisthenes) nam equidem velim hunc potius amicum mihi esse, quam duas habere minas; illum ne dimidiæ quidem minæ præferrem; alium potius, quam decem minas, eligerem; alius ut mihi amicus esset, omnibus facultatibus ac laboribus id anteponerem.

4. Ergo (subjecit Socrates) siquidem hæc ita se habent, bene esset si quis seipsum exploraret, quanti amicis æstimandus sit; atque operam daret, ut quantivis sit pretii, quo minus amici eum deserant. Nam equidem sæpe audio (inquit) dicentem alium, ab homine amico se esse desertum; alium, quod is, quem amicum esse arbitratus sit, vel unam sibi minam præferret.

5. Hæc

έ. Τὰ τοιαῦτα πάντα σκοπῶ, μὴ ὥσπερ ὅταν τις οἰκέτην πονηρὸν πωλῇ, καὶ ἀποδῶται τοῦ εὑρόντος· οὕτω καὶ τὸν πονηρὸν φίλον, ὅταν ἐξῇ τὸ πλεῖον τῆς ἀξίας λαβεῖν, ἐπαινετὸν ᾖ ἀποδίδοσθαι. τοὺς δὲ χρηστοὺς οὔτε οἰκέτας πάνυ τι πωλουμένους ὁρῶ, οὔτε φίλους προδιδομένους.

ΚΕΦ. ϛ'.

Ἐδόκει δέ μοι καὶ εἰς τὸ δοκιμάζειν φίλους, ὁποίους ἄξιον κτᾶσθαι, φρενοῦν, τοιάδε λέγων· Εἰπέ μοι, (ἔφη) ὦ Κριτόβουλε, εἰ δεοίμεθα φίλου ἀγαθοῦ, πῶς ἂν ἐπιχειροίημεν σκοπεῖν; ἆρα πρῶτον μὲν ζητητέον, ὅστις ἄρχει γαστρός τε, καὶ φιλοποσίας, καὶ λαγνείας, καὶ ὕπνου, καὶ ἀργίας; ὁ γὰρ ὑπὸ τούτων κρατούμενος, οὔτ' αὐτὸς ἑαυτῷ δύναιτ' ἄν, οὔτε φίλῳ τὰ δέοντα πράττειν. Μὰ Δί' οὐ δῆτα, ἔφη. οὐκοῦν τοῦ μὲν ὑπὸ τούτων ἀρχομένου ἀφεκτέον δοκεῖ σοι εἶναι; πάνυ μὲν οὖν, ἔφη.

β'. Τί γάρ; (ἔφη) ὅστις δαπανηρὸς ὤν, μὴ αὐτάρκης ἐστίν,

5. Hæc omnia conſidero, num quemadmodum ubi quis ſervum vitioſum vendit, alterique addicit eo pretio, quod reperire potuit, ita etiam nullius amicum momenti, quum pretii plurimum accipi poteſt, vendi expediat. At neque ſervos bonos magnopere vendi video, neque bonos amicos relinqui.

CAP. VI.

Viſus eſt etiam mihi ad explorandos amicos, quales parari debeant, ſuos cordatos reddere, hujuſmodi proferens: Dic mihi, mi Critobule, ſi amico nobis bono ſit opus, quo pacto conſiderare rem conabimur? num primo quærendus erit, qui imperet gulæ, potus cupiditati, laſciviæ, ſomno, ignaviæ? nam qui ab his vincitur, is neque ipſe ſibi, neque amico poſſit præſtare, quæ oportet. Non profecto, inquit Critobulus. Ergo tibi videtur abſtinendum ab eo, qui rebus hiſce ſerviat? Omnino, inquit.

2. Quid vero? (ait) qui ſumptuoſus quum ſit, ſatiari non poteſt,

ἐστιν, ἀλλ' ἀεὶ τῶν πλησίον δεῖται, καὶ λαμβάνων μὲν μὴ δύναται ἀποδιδόναι, μὴ λαμβάνων δὲ τὸν μὴ διδόντα μισεῖ· οὐ δοκεῖ σοι καὶ οὗτος χαλεπὸς φίλος εἶναι; πάνυ, ἔφη. οὐκοῦν ἀφεκτέον καὶ τούτου; ἀφεκτέον μέντοι, ἔφη.

γ'. Τί γὰρ, ὅστις χρηματίζεσθαι μὲν δύναται, πολλῶν δὲ χρημάτων ἐπιθυμεῖ, καὶ διὰ τοῦτο δυσξύμβολός ἐστι· καὶ λαμβάνων μὲν ἥδεται, ἀποδιδόναι δὲ οὐ βούλεται; ἐμοὶ μὲν δοκεῖ (ἔφη) οὗτος ἔτι πονηρότερος ἐκείνου εἶναι. τί δὲ, ὅστις διὰ τὸν ἔρωτα τοῦ χρηματίζεσθαι μηδὲ πρὸς ἓν ἄλλο σχολὴν ποιεῖται, ἢ ὁπόθεν αὐτὸς κερδανεῖ; ἀφεκτέον καὶ τούτου, ὡς ἐμοὶ δοκεῖ· ἀνωφελὴς γὰρ ἂν εἴη τῷ χρωμένῳ.

δ'. Τί δὲ, ὅστις στασιώδης τε ἐστὶ, καὶ θέλων πολλοὺς τοῖς φίλοις ἐχθροὺς παρέχειν; φευκτέον νὴ Δία καὶ τοῦτον. εἰ δέ τις τούτων μὲν τῶν κακῶν μηδὲν ἔχει, εὖ δὲ πάσχων ἀνέχεται, μηδὲν φροντίζων τοῦ ἀντευεργετεῖν; ἀνωφελὴς ἂν εἴη καὶ οὗτος· ἀλλὰ

test, sed semper rebus vicinorum eget, easque impetrans reddere non potest, non impetrans vero, odio non dantem habet; non tibi videtur hic quoque gravis amicus esse? Omnino, inquit. Igitur ab hoc etiam abstinendum? Abstinendum scilicet, inquit.

3. Quid autem, si quis rem facere potest, multasque pecunias concupiscit, & propterea difficilem se in pactis præbet, & accipiendo delectatur, reddere vero invitus est? Videtur is mihi (ait) etiam improbior esse illo altero. Quid autem, si quis ob rei faciendæ cupiditatem nulli alii rei vacet, quam unde lucrum possit capere? Ab hoc quoque, mea quidem sententia, est abstinendum: nam inutilis illi fuerit, qui uti eo velit.

4. Quid vero, siquis homo sit seditiosus, ac multos amicis hostes velit excitare? Fugiendus & ille profecto. At si quis horum quidem vitiorum expers sit, beneficiis autem se affici patiatur, nulla vicissim benefaciendi ratione habita? Inutilis & ille fuerit. Sed qualem;

ἀλλὰ ποῖον, ὦ Σώκρατες, ἐπιχειρήσομεν φίλον ποιεῖσθαι;

ε'. Οἶμαι μὲν,) ὃς τἀναντία τούτων ἐγκρατὴς μέν ἐστι τῶν διὰ τοῦ σώματος ἡδονῶν, εὔορκος δὲ, καὶ εὐξύμβολος ὢν τυγχάνει, καὶ φιλόνεικος πρὸς τὸ μὴ ἐλλείπεσθαι εὖ ποιῶν τοὺς εὐεργετοῦντας ἑαυτὸν, ὥστε λυσιτελεῖν τοῖς χρωμένοις.

ϛ'. Πῶς οὖν ἂν ταῦτα δοκιμασαίμεθα, ὦ Σώκρατες, πρὸ τοῦ χρῆσθαι; τοὺς μὲν ἀνδριαντοποιοὺς (ἔφη) δοκιμάζομεν, οὐ τοῖς λόγοις αὐτῶν τεκμαιρόμενοι, ἀλλ' ὃν ἂν ὁρῶμεν τοὺς πρόσθεν ἀνδριάντας καλῶς εἰργασμένον, τούτῳ πιστεύομεν καὶ τοὺς λοιποὺς εὖ ποιήσειν.

ζ'. Καὶ ἄνδρα δὴ λέγεις, (ἔφη), ὃς ἂν τοὺς φίλους τοὺς πρόσθεν εὖ ποιῶν φαίνηται, δῆλον εἶναι καὶ τοὺς ὑστέρους εὐεργετήσοντα, καὶ γὰρ ἵπποις (ἔφη) ὃν ἂν τοῖς πρόσθεν ὁρῶ καλῶς χρώμενον, τοῦτον καὶ ἄλλοις οἶμαι καλῶς χρῆσθαι.

η'. Εἶεν· (ἔφη) ὃς δ' ἂν ἡμῖν ἄξιος φιλίας δοκῇ εἶναι, πῶς χρὴ φίλον τοῦτον ποιεῖσθαι; πρῶτον μὲν (ἔφη) τὰ παρὰ

τῶν

qualem, mi Socrates, enitemur amicum nobis adjungere.

5. Eum arbitror, qui diversa ab his ratione sit corporeis in voluptatibus continens, juramentum servet, in pactis facilem se exhibeat, denique conetur, ut suis benefactoribus, vicissim benefaciendo, non sit inferior; ita ut iis qui eo utantur usui sit.

6. At quo pacto hæc explorare, mi Socrates, possimus priusquam eis utamur? Statuarios (inquit) sic exploramus, ut non ex ipsorum verbis conjecturam faciamus; sed quem prius statuas egregie fecisse cernimus, eis fidem habemus, quod etiam recte cæteras sit elaboraturus.

7. Ergo tu (inquit) dicis hominem, qui se prioribus amicis beneficum declaraverit, plane posterioribus quoque benefacturum. Nimirum (ait) quemcunque prioribus equis recte usum video, eum arbitror etiam aliis bene usurum.

8. Sint hæc: (ait) at quo pacto is efficiendus est amicus, qui amicitia nobis dignus esse videatur? Primum (ait) res divinæ considerandæ

randæ

τ̃ Θεῶν ἐπισκεπτέον, εἰ συμβουλεύουσιν αὐτὸν φίλον ποιεῖσθαι· τί οὖν (ἔφη) ὃν ἂν ἡμῖν δοκῇ, καὶ οἱ Θεοὶ μὴ ἐναντιῶνται, ἔχεις εἰπεῖν ὅπως οὗτος θηρατέος;

θ'. Μὰ Δί' (ἔφη) οὐ κατ' ἴχνος, ὥσπερ ὁ λαγώς· οὐδ' ἀπάτῃ, ὥσπερ αἱ ὄρνιθες· οὐδὲ βίᾳ, ὥσπερ οἱ ἐχθροί· ἄκοντα γὰρ φίλον ἔχειν ἐργῶδες, χαλεπὸν δὲ καὶ δήσαντα κατέχειν ὥσπερ δοῦλον. ἐχθροὶ γὰρ μᾶλλον ἢ φίλοι γίγνονται ταῦτα πάσχοντες.

ι'. Φίλοι δὲ πῶς, ἔφη. εἶναι μέν τινάς φασιν ἐπῳδάς, ἃς οἱ ἐπιστάμενοι ἐπᾴδοντες οἷς ἂν βούλωνται, φίλους ἑαυτοῖς ποιοῦνται. εἶναι δὲ καὶ φίλτρα, οἷς οἱ ἐπιστάμενοι πρὸς οὓς ἂν βούλωνται χρώμενοι, φιλοῦνται ὑπ' αὐτῶν.

ια'. Πόθεν οὖν (ἔφη) ταῦτα μάθοιμεν ἄν; ἃ μὲν αἱ Σειρῆνες ἐπῇδον τῷ Ὀδυσσεῖ, ἤκουσας Ὁμήρου, ὧν ἐστιν ἀρχὴ τοιάδε τις·

Δεῦρ' ἄγε δὴ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν.

Ταύτην

randæ sunt, num Dii nobis consulant, ut eum amicum faciamus. Quid igitur? potesne dicere, quo pacto is, qui nobis adjungendus videatur, etiam Diis haud adversantibus, venandus sit?

9. Profecto (ait) non insistendo vestigiis ejus, sicut lepus; neque fraude, sicut aves; neque vi, sicut hostes. Nam invitum amicum capere, per est difficile; neque minus difficile, vinctum retinere tanquam servum: potius enim hostes, quam amici fiunt, si hæc illis accidant.

10. At quo pacto amici? Fertur esse carmina quædam, quæ qui tenent, incantando quos volunt, amicos sibi possunt facere: itidem quasdam esse amoris illecebras; quarum periti ad quoscunque tandem eis utantur, ab illis diliguntur.

11. Unde igitur has percipiamus? ait. Ex Homero audisti, quibus verbis Ulyssem Sirenes incantarint; quorum hujusmodi quoddam est principium,

Huc ades, ô celebris Grajarum gloria Ulysses.

Hanc

Ταύτην οὖν (ἔφη) τὴν ἐπῳδήν, ὦ Σώκρατες, καὶ τοῖς ἄλλοις ἀνθρώποις αἱ Σειρῆνες ἐπᾴδουσαι κατεῖχον, ὥστε μὴ ἀπιέναι ἀπ' αὐτῶν τοὺς ἐπᾳσθέντας; οὔκ, ἀλλὰ τοῖς ἐπ' ἀρετῇ φιλοτιμουμένοις οὕτως ἐπῇδον.

ιβ'. Σχεδόν τι λέγεις, τοιαῦτα χρῆναι ἑκάστῳ ἐπᾴδειν, οἷα μὴ νομιῇ ἀκούων, τὸν ἐπαινοῦντα καταγελῶντα λέγειν. οὕτω μὲν γὰρ ἐχθίων τ' ἂν εἴη, καὶ ἀπελαύνοι τοὺς ἀνθρώπους ἀφ' ἑαυτοῦ, εἰ τὸν εἰδότα, ὅτι μικρός τε καὶ αἰσχρὸς καὶ ἀσθενής ἐστιν, ἐπαινοίη λέγων, ὅτι καλός τε καὶ μέγας καὶ ἰσχυρός ἐστιν.

ιγ'. Ἄλλας δέ τινας οἶσθα ἐπῳδάς; οὔκ· ἀλλ' ἤκουσα μέν, ὅτι Περικλῆς πολλὰς ἐπίσταιτο, ἃς ἐπᾴδων τῇ πόλει, ἐποίει αὐτὴν φιλεῖν αὐτόν. Θεμιστοκλῆς δὲ πῶς ἐποίησε τὴν πόλιν φιλεῖν αὐτόν; μὰ Δί' οὐκ ἐπᾴδων, ἀλλὰ περιάψας τι ἀγαθὸν αὐτῇ.

ιδ'. Δοκεῖς μοι λέγειν, ὦ Σώκρατες, ὡς εἰ μέλλοιμεν ἀγαθόν τινα κτήσεσθαι φίλον, αὐτοὺς ἡμᾶς ἀγα-

θοὺς

Hanc igitur incantationem, mi Socrates, quum ad alios etiam homines utebantur Sirenes, num detinebant eos, ne excantati ab eis discederent? nequaquam, sed his incantationibus ad illos utebantur, qui ob virtutem gloriæ cupidi erant.

12. Prope dicis, ejusmodi verbis unumquemque incantandum esse, quæ si audiat, à laudante non irridendi causa proferri existimet. Nam ita quidem magis hostili esset animo, hominesque abs se repelleret; si quem non ignorantem, se parvum ac turpem & imbecillum esse, prædicaret ut pulcrum, ut magnum, ut robustum.

13. Num & alias quasdam incantationes nosti? Non: sed Periclem accepi multarum peritum fuisse, quibus hanc urbem incantando, effecerit ut ipsum diligeret. At quo pacto Themistocles ad amorem sui civitatem hanc pellexit? Profecto non incantando, sed bono quodam cives afficiendo.

14. Videris mihi dicere, mi Socrates; si quidem bonum amicum paraturi simus, nos ipsos oportere

tam

τοὺς δεῖ φαίνεσθαι λέγειν τε καλὰ καὶ πράττειν. σὺ δ' ᾤου (ἔφη ὁ Σωκράτης) οἷόν τ' εἶναι πονηρὸν ὄντα χρηστοὺς φίλους κτήσασθαι;

ιε'. Ἑώρων γὰρ (ἔφη ὁ Κριτόβουλος) ῥήτοράς τε φαύλους ἀγαθοῖς δημηγόροις φίλους ὄντας, καὶ στρατηγεῖν οὐχ ἱκανοὺς πάνυ στρατηγικοῖς ἀνδράσιν ἑταίρους.

ιϛ'. Ἆρ' οὖν (ἔφη) καὶ περὶ οὗ διαλεγόμεθα, οἶσθά τινας, οἳ ἀνωφελεῖς ὄντες, ὠφελίμους δύνανται φίλους ποιεῖσθαι; μὰ Δί' οὐ δῆτ', ἔφη. ἀλλ' εἰ ἀδύνατόν ἐστι πονηρὸν ὄντα καλοὺς κἀγαθοὺς φίλους κτήσασθαι, ἐκεῖνο ἤδη λέγε μοι, εἰ ἔστιν αὐτὸν καλὸν κἀγαθὸν γενόμενον, ἐξ ἑτοίμου τοῖς καλοῖς κἀγαθοῖς φίλον εἶναι.

ιζ'. Ἡ ταράττει σε, ὦ Κριτόβουλε, ὅτι πολλάκις ἄνδρας καὶ καλὰ πράττοντας, καὶ τῶν αἰσχρῶν ἀπεχομένους, ὁρᾷς ἀντὶ τοῦ φίλους εἶναι, στασιάζοντας ἀλλήλοις, καὶ χαλεπώτερον χρωμένους τῶν μηδενὸς ἀξίων ἀνθρώπων;

ιη'. Οὐ μόνον γ' (ἔφη ὁ Κριτόβουλος) οἱ ἰδιῶται τοῦτο ποιοῦσιν,

tam in dicendo quam in agendo bonos effici. An tu exiſtimabas (ait Socrates) fieri poſſe, ut pravus quiſpiam bonos amicos pararet?

15. Videbam enim (ſubjecit Critobulus) etiam oratores viles egregiis concionatoribus amicos eſſe, & non ſatis ad imperatorium munus idoneos viris ejuſdem muneris peritiſſimis eſſe familiares.

16. Num igitur (inquit) etiam de quo diſſerimus, noſti quoſdam, qui quum inutiles ipſi ſint, viros utiles ſibi efficere amicos poſſint? Minime vero, inquit. At ſi fieri non poteſt, ut vir improbus honeſtos & egregios amicos paret, hoc mihi dicas, an facile ſit, eum qui vir ipſe bonus ſit & honeſtus, honeſtis & egregiis amicum fieri.

17. Num te, mi Critobule, perturbat, quod ſæpe vides homines præclaras res gerentes, & abſtinentes à turpibus, non amicos eſſe, ſed inter ſe diffidere, & indignius ſeſe tractare, quam homines nullius pretii?

18. Non modo (inquit Critobulus) privati homines hoc faciunt;

ποιοῦσιν, ἀλλὰ καὶ πόλεις αἱ τῶν τε καλῶν μάλιστα ἐπιμελούμεναι, καὶ τὰ αἰσχρὰ ἥκιστα προσϊέμεναι, πολλάκις πολεμικῶς ἔχουσι πρὸς ἀλλήλας. ἃ λογιζόμενος, πάνυ ἀθύμως ἔχω πρὸς τὴν τῶν φίλων κτῆσιν.

ιθ'. Οὔτε γὰρ τοὺς πονηροὺς ὁρῶ φίλους ἀλλήλοις δυναμένοις εἶναι. πῶς γὰρ ἂν ἢ ἀχάριστοι, ἢ ἀμελεῖς, ἢ πλεονέκται, ἢ ἄπιστοι, ἢ ἀκρατεῖς ἄνθρωποι δύναιντο φίλοι γενέσθαι; οἱ μὲν οὖν πονηροὶ πάντες ἔμοιγε δοκοῦσιν ἀλλήλοις ἐχθροὶ μᾶλλον, ἢ φίλοι πεφυκέναι.

κ'. Ἀλλὰ μὴν (ὥσπερ σὺ λέγεις) οὐδ' ἂν τοῖς χρηστοῖς οἱ πονηροί ποτε συναρμόσαιαν εἰς φιλίαν. πῶς γὰρ οἱ τὰ πονηρὰ ποιοῦντες τοῖς τὰ τοιαῦτα μισοῦσι φίλοι γένοιντ' ἄν; εἰ δὲ δὴ καὶ οἱ ἀρετὴν ἀσκοῦντες στασιάζουσί τε περὶ τοῦ πρωτεύειν ἐν ταῖς πόλεσι, καὶ φθονοῦντες ἑαυτοῖς μισοῦσιν ἀλλήλους; τίνες ἔτι φίλοι ἔσονται, καὶ ἐν τίσιν ἀνθρώποις εὔνοια καὶ πίστις ἔσται;

κα'. Ἀλλ' ἔχει μὲν (ἔφη ὁ Σωκράτης) ποικίλως πως ταῦτα,

ciunt; ſed etiam illæ urbes, quæ honeſti ſtudioſæ ſunt, turpiaque minime admittunt, ſæpe hoſtiliter erga ſe invicem ſunt affectæ: quæ mecum reputans, vehementer de acquirendis amicis deſpero.

19. Nec enim improbos inter ſe amicos eſſe poſſe video. Nam quo pacto vel inter ingratos, vel inertes, vel avaros, vel infidos, vel intemperantes, amicitia conciliari poſſit? adeo ut improbos omnes potius à natura inter ſe hoſtes eſſe, quam amicos, exiſtimem.

20. At vero (uti tu quidem ais) ne bonis quidem in amicitia pravi congruere poſſunt. Nam quo pacto illi, qui improbe agunt, amici poſſint eſſe iis qui talia oderunt? Quod ſi etiam illi, qui virtutem colunt, inter ſe per ſeditiones in civitatibus de principatu contendunt, & præ invidia ſeipſos oderunt: quinam deinceps inter ſe amici erunt, & quos inter homines benevolentia fideſque reperiatur?

21. Enimvero (ait Socrates) varie ſe res habet, mi Critobule.

τα, ὦ Κριτόβουλε. φύσει γὰρ ἔχουσιν οἱ ἄνθρωποι τὰ μὲν φιλικά, (δέονται γὰρ ἀλλήλων, καὶ ἐλεοῦσι, καὶ συνεργοῦντες ὠφελοῦσι, καὶ τοῦτο συνιέντες χάριν ἔχουσιν ἀλλήλοις) τὰ δὲ πολεμικά. τά τε γὰρ αὐτὰ καλὰ καὶ ἡδέα νομίζοντες, ὑπὲρ τούτων μάχονται, καὶ διχογνωμονοῦντες ἐναντιοῦνται. πολεμικὸν δὲ καὶ ἔρις, καὶ ὀργή· καὶ δυσμενὲς μὲν ὁ τοῦ πλεονεκτεῖν ἔρως, μισητὸς δὲ ὁ φθόνος.

κβ΄. Ἀλλ᾽ ὅμως διὰ τούτων πάντων ἡ φιλία διαδυομένη, συνάπτει τοὺς καλούς τε κἀγαθούς. διὰ γὰρ τὴν ἀρετὴν αἱροῦνται μὲν ἄνευ πόνου τὰ μέτρια κεκτῆσθαι μᾶλλον, ἢ διὰ πολέμου πάντων κυριεύειν· καὶ δύνανται πεινῶντες καὶ διψῶντες ἀλύπως σίτου καὶ ποτοῦ κοινωνεῖν· καὶ τοῖς τῶν ὡραίων ἀφροδισίοις ἡδόμενοι ἐγκαρτερεῖν, ὥστε μὴ λυπεῖν οὓς μὴ προσήκει.

κγ΄. Δύνανται δὲ καὶ χρημάτων οὐ μόνον, τοῦ πλεονεκτεῖν ἀπεχόμενοι, νομίμως κοινωνεῖν· ἀλλὰ καὶ ἐπαρκεῖν

bule. Nam homines à natura partim ad amicitiam comparati sunt; (etenim alii aliis indigent, ac invicem miserentur, & cooperantes invicem prosunt, idque quum intellexere, gratiam sibi invicem habent) partim ad inimicitias propendent. Nam quum eadem bona & jucunda putent, de iis dimicant, & dissentientes contrariantur. Contentio autem & ira, res quædam hostiles sunt; itemque plus habendi cupiditas, infestum quiddam est; & odio dignum, invidia.

22. Nihilominus amicitia per hæc omnia penetrans, honestos egregiosque viros copulat. Nam propter virtutem malunt absque molestia facultates mediocres possidere, quam bello in omnia dominari; & possunt esurientes ac sitientes indolenter cibi ac potus participes fieri, & formosis amoribus delectati ita se coërcere, ut non offendant eos quos minime convenit.

23. Etiam ab avaritia abstinendo, non solum pecuniis legitimis esse contenti possunt, sed etiam sibi invicem

κρεῖττον τοὺς βελτίστους ἐλάττονας εὖ ποιεῖν, ἢ τοὺς χείρονας πλείονας ὄντας. οἱ γὰρ πονηροὶ πολὺ πλειόνων εὐεργετῶν, ἢ οἱ χρηστοί, δέονται.

κη'. Ἀλλὰ θαρρῶν, (ἔφη) ὦ Κριτόβουλε, πειρῶ ἀγαθὸς γίγνεσθαι, καὶ τοιοῦτος γιγνόμενος θηρᾶν ἐπιχείρει τοὺς καλούς τε κἀγαθούς. ἴσως δ᾽ ἄν τι σοὶ κἀγὼ συλλαβεῖν εἰς τὴν τῶν καλῶν τε κἀγαθῶν θήραν ἔχοιμι, διὰ τὸ ἐρωτικὸς εἶναι. δεινῶς γὰρ ὧν ἂν ἐπιθυμήσω ἀνθρώπων, ὅλος ὥρμημαι ἐπὶ τὸ φιλῶν τε αὐτοὺς ἀντιφιλεῖσθαι ὑπ᾽ αὐτῶν, καὶ ποθῶν ἀντιποθεῖσθαι, καὶ ἐπιθυμῶν ξυνεῖναι καὶ ἀντεπιθυμεῖσθαι τῆς ξυνουσίας.

κθ'. Ὁρῶ δὲ καὶ σοὶ τούτων δεῆσον, ὅταν ἐπιθυμήσῃς φιλίαν πρός τινας ποιεῖσθαι. μὴ οὖν ἀποκρύπτου με, οἷς ἂν βούλοιο φίλος γενέσθαι. διὰ γὰρ τὸ ἐπιμελεῖσθαι τοῦ ἀρέσαι τῷ ἀρέσκοντί μοι, οὐκ ἀπείρως οἶμαι ἔχειν θήρας ἀνθρώπους.

λ'. Καὶ ὁ Κριτόβουλος ἔφη· καὶ μήν, ὦ Σώκρατες, τού-

των

tem melius est, optimis, tametsi pauciores sint, benefacere, quam deterioribus, qui plures sint. Nam improbi multo pluribus benefactoribus, quam probi, egent.

28. Tu vero, mi Critobule, fidenti animo bonus esse enitere, atque ubi talis factus fueris, honestos & egregios amicos venari coneris. Ac fortassis etiam ipse nonnihil tibi conferre ad hanc virorum honestorum egregiorumque venationem possim, propterea quod ad amorem propensus sim. Nam quoscunque homines amem, totus ardenter in hoc feror, ut eos diligens, vicissim diligar; & desiderans, vicissim desiderer; & conversationis cupidus, vicissim expetar.

29. Quibus & tibi opus fore video, si quando cum quibusdam amicitiam inire cupies. Itaque ne me celes, quibus esse amicus velis. Nam quum placere studeam illi qui mihi placet, minime venandi homines imperitum me esse arbitror.

30. Atqui, ait Critobulus, harum artium ego, mi Socrates, jamdudum

των ἐγὼ τῶν παθημάτων πάλαι ἐπιθυμῶ, ἄλλως τε καὶ εἰ ἐξαρκέσει μοι ἡ αὐτὴ ἐπιστήμη ἐπὶ τοὺς ἀγαθοὺς τὰς ψυχάς, καὶ ἐπὶ τοὺς καλοὺς τὰ σώματα.

λα'. Καὶ ὁ Σωκράτης ἔφη· Ἀλλ', ὦ Κριτόβουλε, οὐκ ἔνεστιν ἐν τῇ ἐμῇ ἐπιστήμῃ τὸ τὰς χεῖρας προσφέροντα ποιεῖν ὑπομένειν τοὺς καλούς. πέπεισμαι δὲ καὶ ἀπὸ τῆς Σκύλλης διὰ τοῦτο φεύγειν τοὺς ἀνθρώπους, ὅτι τὰς χεῖρας αὐτοῖς προσέφερε· τὰς δέ γε Σειρῆνας, ὅτι τὰς χεῖρας οὐδενὶ προσέφερον, ἀλλὰ πᾶσι πόῤῥωθεν ἐπῇδον, πάντας φασὶν ὑπομένειν, καὶ ἀκούοντας αὐτῶν κηλεῖσθαι.

λβ'. Καὶ ὁ Κριτόβουλος ἔφη· ὡς οὐ προσοίσοντος τὰς χεῖρας, εἴ τι ἔχεις ἀγαθὸν εἰς φίλων κτῆσιν, δίδασκε. οὐδὲ τὸ στόμα οὖν (ἔφη ὁ Σωκράτης) πρὸς τὸ στόμα προσθήσεις. θάῤῥει· (ἔφη ὁ Κριτόβουλος) οὐδὲ γὰρ τὸ στόμα πρὸς τὸ στόμα προσοίσω οὐδενί, ἐὰν μὴ καλὸς ᾖ. εὐθὺς (ἔφη) σύ γε, ὦ Κριτόβουλε, τοὐναντίον τοῦ συμφέροντος εἴρηκας. οἱ μὲν γὰρ καλοὶ τὰ τοιαῦτα οὐχ ὑπομένουσιν· οἱ δὲ αἰσχροὶ καὶ ἡδέως προσίενται, νομίζοντες διὰ τὴν ψυχὴν καλοὶ καλεῖσθαι.

λγ'. Καὶ

dudum cupidus sum; præsertim si eadem mihi scientia suffecerit ad eos, qui animi bonitate præstant, & qui corporis elegantia.

31. At vero, mi Critobule, (inquit Socrates) non hoc scientia mea continetur, ut manus injiciens, forma præstantes aliquis remoretur. Sum enim persuasus, homines ea de causa Scyllam fugisse, quod manus eis admoveret: Sirenes vero, quia nemini manus injicerent, sed longo ex intervallo cunctos incantarent, cunctos aiunt remoratas esse, qui quidem audiendo demulcerentur.

32. Et Critobulus, Doce vero me, inquit, siquid habes quod ad conciliandos amicos conferat: non enim cuiquam manus injiciam. At ne os quidem (ait Socrates) ori admovebis. Bono animo es: (inquit Critobulus) nec enim os ulli admovebo, nisi forma præstet. Tu vero mox, (ait) mi Critobule, contrarium ei, quod utile sit, dixisti. Nam qui pulcri sunt, nihil ejusmodi morantur: at qui deformes, lubenter admittunt, quod existiment propter animum se formosos appellari.

33. Et

λγ'. Καὶ ὁ Κριτόβουλος ἔφη· ὡς τοὺς μὲν καλοὺς φιλήσοντός μου, τοὺς δ' ἀγαθοὺς καταφιλήσοντος, θαῤῥῶν δίδασκε τῶν φίλων τὰ θηρατικά. καὶ ὁ Σωκράτης ἔφη· ὅταν οὖν, ὦ Κριτόβουλε, φίλος τινὶ βούλῃ γενέσθαι, ἐάσεις με κατειπεῖν σου πρὸς αὐτὸν, ὅτι ἄγασαί τε αὐτοῦ, καὶ ἐπιθυμεῖς φίλος αὐτοῦ εἶναι; κατηγόρει (ἔφη ὁ Κριτόβουλος) οὐδένα γὰρ οἶδα μισοῦντα τοὺς ἐπαινοῦντας.

λδ'. Ἐὰν δέ σου προσκατηγορήσω (ἔφη) ὅτι διὰ τὸ ἄγασθαι αὐτοῦ, καὶ εὐνοϊκῶς ἔχεις πρὸς αὐτὸν, ἆρα μὴ διαβάλλεσθαι δόξεις ὑπ' ἐμοῦ; ἀλλὰ καὶ αὐτῷ μοι (ἔφη) ἐγγίγνεται εὔνοια πρὸς οὓς ἂν ὑπολάβω εὐνοϊκῶς ἔχειν πρὸς ἐμέ.

λε'. Ταῦτα μὲν δὴ (ἔφη ὁ Σωκράτης) ἔξεσταί μοι λέγειν περὶ σοῦ, πρὸς οὓς ἂν βούλῃ φίλους ποιήσασθαι. ἐὰν δὲ μοι ἔτι ἐξουσίαν δῷς λέγειν περὶ σοῦ, ὅτι ἐπιμελής τε τῶν φίλων εἶ, καὶ οὐδενὶ οὕτω χαίρεις ὡς φίλοις ἀγαθοῖς, καὶ ἐπί τε τοῖς καλοῖς ἔργοις τῶν φίλων ἀγάλλῃ οὐχ ἧττον, ἢ ἐπὶ τοῖς ἑαυτοῦ,

33. Et Critobulus, Age animo alacri me doceto, inquit, artem venandi amicos; quandoquidem pulcros osculaturus, honestos exosculaturus sum. Et Socrates, ubi, mi Critobule, amicitiam cum aliquo, inquit contrahere vales, an mihi permittes, ut ad ipsum deferam, te admiratorem ipsius esse, atque amicitiam ejus expetere? Defer: (ait Critobulus) quippe neminem novi, qui se laudantes oderit.

34. At si præterea de te dixero, (ait) quod præ admiratione ipsius etiam benevolus erga ipsum sis, num te putabis à me invisum reddi? Atqui in meipso (inquit) benevolentia quædam erga illos innascitur, quos animos in me benevolos esse suspicor.

35. Hæc igitur (ait Socrates) mihi de te dicere licebit ad eos, quos amicos efficere vales. Quod si mihi præterea potestatem facias dicendi de te, quod amici tibi curæ sint, & quod nulla re sic delecteris, atque bonis amicis; quod ob amicorum præclara facinora non minus exultes, quam ob tua;

ἑαυτοῦ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς τῶν φίλων χαίρεις οὐδὲν ἧττον ἢ ἐπὶ τοῖς ἑαυτοῦ· ὅπως τε ταῦτα γίγνηται τοῖς φίλοις, οὐκ ἀποκάμνεις μηχανώμενος· καὶ ὅτι ἔγνωκας ἀνδρὸς ἀρετὴν εἶναι, νικᾶν τοὺς μὲν φίλους εὖ ποιοῦντα, τοὺς δὲ ἐχθροὺς κακῶς· πάνυ ἂν οἶμαί σοι ἐπιτήδειον εἶναί με σύνθηρον τῶν ἀγαθῶν φίλων.

λϛʹ. Τί οὖν (ἔφη ὁ Κριτόβουλος) ἐμοὶ τοῦτο λέγεις, ὥσπερ οὐκ ἐπὶ σοὶ ὄν, ὅ,τι ἂν βούλῃ περὶ ἐμοῦ λέγειν; μὰ Δί' οὐχ, ὥς ποτε ἐγὼ Ἀσπασίας ἤκουσα. ἔφη γὰρ τὰς ἀγαθὰς προμνηστρίδας, μετὰ μὲν ἀληθείας τἀγαθὰ διαγγελλούσας, δεινὰς εἶναι συνάγειν τοὺς ἀνθρώπους εἰς κηδείαν, ψευδομένας δ' οὐκ ὠφελεῖν ἐπαινούσας· τοὺς γὰρ ἐξαπατηθέντας, ἅμα μισεῖν ἀλλήλους τε καὶ τὴν προμνησαμένην. ἃ δὴ καὶ ἐγὼ πεισθεὶς ὀρθῶς ἔχειν ἡγοῦμαι, οὐκ ἐξεῖναί μοι περὶ σοῦ λέγειν ἐπαινοῦντι οὐδὲν ὅ,τι ἂν μὴ ἀληθεύω.

λζʹ. Σὺ μὲν ἄρα (ἔφη ὁ Κριτόβουλος) τοιοῦτός μοι φίλος εἶ, ὦ Σώκρατες, οἷος, ἂν μέν τι αὐτὸς ἔχω ἐπι-

τήδειον

tua; quod ob amicorum commoda non minus gaudeas, quam ob tua; quod conando, ut amici ea consequantur, non defatigeris; quod denique virtutem viro dignam esse intellexeris, beneficiis amicos, hostes maleficiis vincere: nimirum arbitrabor me tibi percommodum fore convenatorem bonorum amicorum.

36. Quamobrem (ait Critobulus) hoc mihi commemoras, quasi non penes te sit, ut de me, quod velis, dicas. Non profecto, uti quidem ego de Aspasia aliquando audivi. Aiebat enim, bonas pronubas, quæ cum veritate bona commemorent, plurimum ad conciliandam inter homines affinitatem valere; quæ vero mentirentur, eas laudando nihil proficere. Qui enim decepti sunt, se oderunt mutuo, atque etiam conciliatricem ipsam. Quæ quum ita esse persuasus sim, recte arbitror nihil mihi dicere licere in laudem tuam, quod non vere dicam.

37. Nimirum tu, mi Socrates, (ait Critobulus) talis amicus es mihi, ut me sis adjuturus, si ad parandos

dos

τήδειον εἰς τὸ φίλους κτήσασθαι, συλλαμβάνειν μοι· εἰ δὲ μή, οὐκ ἂν ἐθέλοις πλάσας τι εἰπεῖν ἐπὶ τῇ ἐμῇ ὠφελείᾳ. πότερα δ' ἄν, (ἔφη ὁ Σωκράτης) ὦ Κριτόβουλε, δοκῶ σοι μᾶλλον ὠφελεῖν σε τὰ ψευδῆ ἐπαινῶν, ἢ πείθων πειρᾶσθαί σε ἀγαθὸν ἄνδρα γενέσθαι; εἰ δὲ μὴ φανερὸν οὕτω σοι, ἐκ τῶνδε σκέψαι.

λη'. Εἰ γάρ σε βουλόμενος φίλον ποιῆσαι ναυκλήρῳ, ψευδόμενος ἐπαινοίην, φάσκων ἀγαθὸν εἶναι κυβερνήτην, ὁ δέ μοι πεισθεὶς ἐπιτρέψειέ σοι τὴν ναῦν μὴ ἐπισταμένῳ κυβερνᾶν· ἔχεις τινὰ ἐλπίδα μὴ ἂν σαυτόν τε καὶ τὴν ναῦν ἀπολέσαι; ἢ εἴ σοι πείσαιμι κοινῇ τὴν πόλιν ψευδόμενος, ὡς ἂν στρατηγικῷ τε καὶ δικαστικῷ καὶ πολιτικῷ ἑαυτὴν ἐπιτρέψαι· τί ἂν οἴει σαυτὸν καὶ τὴν πόλιν ὑπὸ σοῦ παθεῖν; ἢ εἴ τινας ἰδίᾳ τῶν πολιτῶν πείσαιμι ψευδόμενος, ὡς ὄντι οἰκονομικῷ τε καὶ ἐπιμελεῖ, τὰ ἑαυτῶν ἐπιτρέψαι· ἆρ' οὐκ ἂν πεῖραν διδούς, ἅμα τε βλαβερὸς εἴης, καὶ καταγέλαστος φαίνοιο;

λθ'. Ἀλλὰ

dos amicos aliquo modo aptus fuero; ſin autem, nihil utilitatis meæ cauſa ficti ſis dicturus. Utrum autem (inquit Socrates) magis tibi prodeſſe videor, ſi falſis te ornem laudibus; an ſi perſuadeam, ut vir bonus eſſe ſtudeas? Quod ſi hoc necdum perſpicis, ex his conſidera.

38. Nam ſi tibi cum naviculatore volens amicitiam conciliare, falſo te laudem, bonumque gubernatorem eſſe dicam; atque ille perſuaſus à me, navem imperito tibi gubernandam committat: aliudne quidquam ſperare poſſis, quam te tum navem tum teipſum exitio daturum? Vel ſi tua cauſa civitati publice perſuaſero mentiens, ut ſe tibi tanquam viro artis imperatoriæ, judiciorum, rerumque civilium perito committat: quid putas & tibi & per te civitati eventurum? Vel ſi privatim civibus nonnullis perſuadeam, idque mentiendo, ut tibi res ſuas credant, tanquam adminiſtrandæ rei familiaris perito, atque induſtrio: annon periculo facto, damnoſus ſimulque ridiculus eſſe apparebis?

39. At

λθ'. Ἀλλὰ συντομωτάτη τε καὶ ἀσφαλεστάτη καὶ καλλίστη ὁδὸς, ὦ Κριτόβουλε, ὅ,τι ἂν βούλῃ δοκεῖν ἀγαθὸς εἶναι, τοῦτο καὶ γενέσθαι ἀγαθὸν πειρᾶσθαι. ὅσαι δ' ἐν ἀνθρώποις ἀρεταὶ λέγονται, σκοπούμενος εὑρήσεις πάσας μαθήσει τε καὶ μελέτῃ αὐξανομένας. ἐγὼ μὲν οὖν, ὦ Κριτόβουλε, οἶμαι δεῖν ἡμᾶς ταύτας θηρᾶσθαι· εἰ δὲ σύ πως ἄλλως γιγνώσκεις, δίδασκε. καὶ ὁ Κριτόβουλος, ἀλλ' αἰσχυνοίμην ἄν, ἔφη, ὦ Σώκρατες, ἀντιλέγων τούτοις· οὔτε γὰρ καλὰ, οὔτε ἀληθῆ λέγοιμ' ἄν.

ΚΕΦ. ζ'.

ΚΑΙ μὴν τὰς ἀπορίας γε τῶν φίλων, τὰς μὲν δι' ἄγνοιαν ἐπειρᾶτο γνώμῃ ἀκεῖσθαι· τὰς δὲ δι' ἔνδειαν, διδάσκων κατὰ δύναμιν ἀλλήλοις ἐπαρκεῖν. ἐρῶ δὲ καὶ ἐν τούτοις ἃ σύνοιδα αὐτῷ. Ἀρίσταρχον γάρ ποτε ὁρῶν σκυθρωπῶς ἔχοντα, Ἔοικας, ἔφη, ὦ Ἀρίσταρχε, βαρέως φέρειν τι. χρὴ δὲ τοῦ βάρους μετα-

39. At vero via maxime compendiaria, tutiſſima, & rectiſſima eſt, mi Critobule, ut in quo bonus eſſe videri velis, operam des, ut bonus ſis. Quæcunque autem apud homines virtutes appellantur, eas omnes ſi conſideres, doctrina & ſtudio poſſe augeri animadvertes. Atque has, mi Critobule, venandas nobis eſſe arbitror: tu ſi aliter judicas, doce. Et Critobulus, Me vero pudeat, inquit, his contradicere, mi Socrates: nec enim honeſta, nec vera dicerem.

CAP. VII.

PRæterea amicorum difficultatibus, quæ ex ignoratione provenirent, conſilio mederi conabatur; quæ vero ex egeſtate, docendo ut pro viribus invicem ſubvenire oporteat. Dicam autem, quid hac etiam in parte mihi de ipſo conſtet. Nam quum aliquando Ariſtarchum triſtem cerneret, Videris, ait, mi Ariſtarche, quiddam moleſte ferre. Debes autem moleſtiam hancum amicis

μεταδιδόναι τοῖς φίλοις· ἴσως γὰρ ἄν τι σε καὶ ἡμεῖς κουφίσαιμεν.

β'. Καὶ ὁ Ἀρίσταρχος, Ἀλλὰ μήν, ἔφη, ὦ Σώκρατες, ἐν πολλῇ γε εἰμὶ ἀπορίᾳ. ἐπεὶ γὰρ ἐστασίασεν ἡ πόλις, πολλῶν φυγόντων ὡς τὸν Πειραιᾶ, συνεληλύθασιν ὡς ἐμὲ καταλελειμμέναι ἀδελφαί τε καὶ ἀδελφιδαῖ καὶ ἀνεψιαὶ τοσαῦται, ὡς εἶναι ἐν τῇ οἰκίᾳ τεσσαρεσκαίδεκα τοὺς ἐλευθέρους. λαμβάνομεν δὲ οὔτε ἐκ τῆς γῆς οὐδέν· οἱ γὰρ ἐναντίοι κρατοῦσιν αὐτῆς. οὔτε ἀπὸ τῶν οἰκιῶν· ὀλιγανθρωπία γὰρ ἐν τῷ ἄστει γέγονε. τὰ ἔπιπλα δὲ οὐδεὶς ὠνεῖται, οὐδὲ δανείσασθαι οὐδαμόθεν ἐστὶν ἀργύριον· ἀλλὰ πρότερον ἄν τις μοι δοκεῖ ἐν τῇ ὁδῷ ζητῶν εὑρεῖν, ἢ δανειζόμενος λαβεῖν. χαλεπὸν μὲν οὖν ἐστιν, ὦ Σώκρατες, τοὺς οἰκείους περιορᾶν ἀπολλυμένους, ἀδύνατον δὲ τοσούτους τρέφειν ἐν τοιούτοις πράγμασιν.

γ'. Ἀκούσας οὖν ταῦτα ὁ Σωκράτης, τί ποτέ ἐστιν, ἔφη, ὅτι ὁ Κεράμων μὲν πολλοὺς τρέφων, οὐ μόνον ἑαυτῷ τε καὶ τούτοις τὰ ἐπιτήδεια δύναται παρέχειν, ἀλλὰ καὶ περιποιεῖται τοσαῦτα, ὥστε καὶ πλουτεῖν· σὺ

δὲ

cis communicare; fortaſſis enim nonnihil nos te ſublevaverimus.

2. Et Ariſtarchus, Enimvero, mi Socrates, ait, magna in difficultate verſor. Nam quia ſeditiones hac in civitate motæ ſunt, multis in Piræeum confugientibus, convenerunt ad me relictæ tot ſorores, ſororum filiæ, conſobrinæ, ut meis in ædibus quatuordecim homines ingenui ſint. Neque vero vel ex agro (quo potiuntur adverſarii) quicquam accipimus, neque (quod hominum exiguus in urbe ſit numerus) ex ædibus: ſupellectilem emit nemo, neque uſquam mutuum capi poteſt; ſed citius in via quis argentum quærendo inveniat, quam mutuum accipiat. Grave quidem certe eſt, mi Socrates, ut quis propinquos negligat pereuntes, ſed fieri non poteſt, ut aliquis, quum res ita ſint, tot homines alat.

3. Hæc quum audiſſet Socrates: Quid eſt cauſæ, inquit, quod Ceramo complures alens, non ſibi ſolum atque illis ſuppeditare neceſſaria poteſt, ſed etiam tantum præterea lucrum facit, ut dives ſit: tu

δὲ πολλοὺς τρέφων, δέδοικας μὴ δι' ἔνδειαν τῶν ἐπιτηδείων ἅπαντες ἀπόλησθε; ὅτι νὴ Δί' (ἔφη) ὁ μὲν δούλους τρέφει, ἐγὼ δὲ ἐλευθέρους.

δ'. Καὶ πότερον (ἔφη) τοὺς παρὰ σοὶ ἐλευθέρους οἴει βελτίους εἶναι, ἢ τοὺς παρὰ Κεράμωνι δούλους; ἐγὼ μὲν οἶμαι (ἔφη) τοὺς παρ' ἐμοὶ ἐλευθέρους. οὐκοῦν (ἔφη) αἰσχρὸν τὸν μὲν ἀπὸ τῶν πονηροτέρων εὐπορεῖν, σὲ δὲ πολλῷ βελτίους ἔχοντα ἐν ἀπορίαις εἶναι; νὴ Δί' (ἔφη) ὁ μὲν γὰρ τεχνίτας τρέφει, ἐγὼ δὲ ἐλευθερίως πεπαιδευμένους.

ε'. Ἆρ' οὖν (ἔφη) τεχνῖταί εἰσιν, οἱ χρήσιμόν τι ποιεῖν ἐπιστάμενοι; μάλιστά γ', ἔφη. οὐκοῦν χρήσιμά γ' ἄλφιτα; σφόδρα γε. τί δ' ἄρτοι; οὐδὲν ἧττον. τί γὰρ (ἔφη) ἱμάτιά τε ἀνδρεῖα καὶ γυναικεῖα, καὶ χιτωνίσκοι, καὶ χλαμύδες, καὶ ἐξωμίδες; σφόδρα γ' (ἔφη) καὶ πάντα ταῦτα χρήσιμα. ἔπειτα (ἔφη) οἱ παρά σοι τούτων οὐδὲν ἐπίστανται ποιεῖν; πάντα μὲν οὖν, ὡς ἐγῷμαι.

ϛ'. Εἶτ' οὐκ οἶσθα, ὅτι ἀφ' ἑνὸς μὲν τούτων ἀλφιτοποιΐας Ναυσικύδης οὐ μόνον ἑαυτόν τε καὶ τοὺς οἰκέτας τρέφει, ἀλλὰ πρὸς

τούτοις

tu multos alens metuis, ne ob necessariorum inopiam omnes pereatis? Quia profecto (ait) servos alit is, ego liberos homines.

4. Utrum vero (inquit Socrates) putas ingenuos, qui tecum sunt, meliores esse, an Ceramonis servos? Puto ingenuos qui mecum sunt. Annon igitur turpe est (inquit) illum per homines viliores opibus affluere, te qui multo meliores habes, inopia premi. Minime: (inquit) nam ille artifices alit, ego liberaliter educatos.

5. Artifices ergo sunt (inquit) qui quid utile facere possunt? Maxime, ait. Ergo farina est utilis? Ac vehementer quidem. Quid panes? Nihilo minus. Quid (ait) vestes viriles ac muliebres, & tuniculæ, & chlamydes, & exomides? Admodum (ait) utilia etiam hæc omnia. Jam vero (inquit) qui tecum sunt, nihil horum possunt elaborare? Immo vero omnia, ut arbitror.

6. Ergo tu ignoras Nausicydem facienda farina, quod unum ex his est, non solum seipsum & domesticos alere, sed præterea multas

sues,

τούτοις καὶ ὗς πολλὰς καὶ βοῦς, καὶ περιποιεῖται τοσαῦτα, ὥστε καὶ τῇ πόλει πολλάκις λειτουργεῖν· ἀπὸ δὲ ἀρτοποιίας Κίριβος τήν τε οἰκίαν πᾶσαν διατρέφει, καὶ ζῇ δαψιλῶς· Δημέας δὲ ὁ Κολλυτεὺς ἀπὸ χλαμυδουργίας· Μένων δ' ἀπὸ χλανιδοποιίας· Μεγαρέων δὲ οἱ πλεῖστοι (ἔφη) ἀπὸ ἐξωμιδοποιίας διατρέφονται. νὴ Δί· (ἔφη) οὗτοι μὲν γὰρ ὠνούμενοι βαρβάρους ἀνθρώπους ἔχουσιν, ὥστ' ἀναγκάζειν ἐργάζεσθαι, ἃ καλῶς ἔχει· ἐγὼ δ' ἐλευθέρους τε καὶ συγγενεῖς.

ζ'. Ἔπειτ' (ἔφη) ὅτι ἐλεύθεροί τ' εἰσὶ καὶ συγγενεῖς σοι, οἴει χρῆναι αὐτοὺς μηδὲν ἄλλο ποιεῖν, ἢ ἐσθίειν καὶ καθεύδειν; πότερον καὶ τῶν ἄλλων ἐλευθέρων τοὺς οὕτω ζῶντας ἄμεινον διάγοντας ὁρᾷς, καὶ μᾶλλον εὐδαιμονίζεις, ἢ τοὺς ἃ ἐπίστανται χρήσιμα πρὸς τὸν βίον, τούτων ἐπιμελουμένους; ἢ τὴν μὲν ἀργίαν καὶ τὴν ἀμέλειαν αἰσθάνῃ τοῖς ἀνθρώποις πρός τε τὸ μαθεῖν ἃ προσήκει ἐπίστασθαι, καὶ πρὸς τὸ μνημονεύειν ἃ ἂν μάθωσι, καὶ πρὸς τὸ ὑγιαίνειν τε καὶ ἰσχύειν τοῖς σώμασι, καὶ πρὸς τὸ κτήσασθαί τε καὶ σώζειν τὰ χρήσιμα πρὸς τὸν βίον,

ſues, & vaccas, atque etiam lucrari tantum, ut ſæpius civitati ſumptum ſuppeditet: Ciribum pane faciendo familiam omnem nutrire, & vivere largiter: Demeam Collytenſem, conficiendis chlamydibus: Menonem penulis: Megarenſium maximam partem exomidum confectione ſeſe alere? Profecto: (inquit) nam illi barbaros quoſdam emptos habent, quos poſſunt cogere ad elaborandum ea, quæ ipſis expediant; ego liberos homines & cognatos.

7. Ergo (inquit) quod liberi ſint & tibi cognati, propterea putas eis aliud nihil faciendum eſſe, quam ut edant ac dormiant? num & inter alios ingenuos homines, eos qui ita vivant commodius degere vides, felicioreſque prædicas illis, qui eorum curam habent, quæcunque ad vitam utilia norunt? An otium & negligentiam prodeſſe animadvertis hominibus ad diſcendum ea quæ ſcire convenit, & ad reminiſcendum quæ didicerint; & ad valetudinem roburque corporum; & ad parandum ac conſervandum ea quæ ad vitam

βίον, ὠφέλιμα ὄντα· τὴν δὲ ἐργασίαν καὶ τὴν ἐπιμέλειαν οὐδὲν χρήσιμα.

η'. Ἔμαθον δὲ, ἃ φῂς αὐτὰς ἐπίστασθαι, πότερον ὡς οὔτε χρήσιμα ὄντα πρὸς τὸν βίον, οὔτε ποιήσουσαι αὐτῶν οὐδέν· ἢ τοὐναντίον, ὡς καὶ ἐπιμεληθησόμεναι τούτων, καὶ ὠφεληθησόμεναι ἀπ' αὐτῶν; ποτέρως γὰρ ἂν μᾶλλον ἄνθρωποι σωφρονοῖεν, ἀργοῦντες ἢ τῶν χρησίμων ἐπιμελούμενοι; ποτέρως δ' ἂν δικαιότεροι εἶεν, εἰ ἐργάζοιντο, ἢ εἰ ἀργοῦντες βουλεύοιντο περὶ τῶν ἐπιτηδείων;

θ'. Ἀλλὰ καὶ νῦν μὲν (ὡς ἐγὼ οἶμαι) οὔτε σὺ ἐκείνας φιλεῖς, οὔτε ἐκεῖναι σέ· σὺ μὲν ἡγούμενος αὐτὰς ἐπιζημίους εἶναι σεαυτῷ, ἐκεῖναι δὲ σὲ ὁρῶσαι ἀχθόμενον ἐφ' ἑαυταῖς. ἐκ δὲ τούτων κίνδυνος μείζω τε ἀπέχθειαν γίγνεσθαι, καὶ τὴν προγεγονυῖαν χάριν μειοῦσθαι. ἐὰν δὲ προστάτης ἧς, ὅπως ἐνεργοὶ ὦσι, σὺ μὲν ἐκείνας φιλήσεις, ὁρῶν ὠφελίμους σεαυτῷ οὔσας· ἐκεῖναι δὲ σὲ ἀγαπήσουσιν, αἰσθόμεναι χαίροντά σε αὐταῖς. τῶν δὲ προγεγονυιῶν εὐεργεσιῶν ἥδιον μεμνημένοι, τὴν ἀπ' ἐκείνων χάριν αὐξή-

vitam utilia sunt; negotium vero ac diligentiam, nihil prodesse putas?

8. Num ea, quæ dicis illas tenere, sic didicerunt, ut nec ad vitam utilia essent, neque quidquam eorum facerent; an è diverso ut & diligenter in eis elaborarent, & utilitatem inde caperent? Utra homines ratione modestiores sint, in otio degendo, an curam iis impendendo quæ expediant? Utro modo justiores fuerint, si opus faciant, an si in otio de victu deliberent?

9. Quin etiam, mea sententia, neque tu jam illas diligis, neque illæ te: tu, quod eas esse tibi detrimento existimes; illæ, quod te sua causa gravari videant: ex his periculum est, ne & majus odium oriatur, & pristina gratia minuatur. At si te præside operas faciant, tu quidem eas diliges, quia videbis ipsos tibi esse utiles; & amabunt illæ te contra, ubi animadvertent, te iis delectari. Atque etiam priorum beneficiorum cum voluptate recordantes, gratiam eis partam augebitis, ac deinceps

αὐξήσετε, καὶ ἐκ τούτων φιλικώτερόν τε καὶ οἰκειότερον ἀλλήλοις ἕξετε.

ι'. Εἰ μὲν τοίνυν αἰσχρόν τι ἔμελλον ἐργάσασθαι, θάνατον ἀντ' αὐτοῦ προαιρετέον ἦν. νῦν δὲ ἃ μὲν δοκεῖ κάλλιστα καὶ πρεπωδέστερα γυναικὶ εἶναι, ἐπίστανται, ὡς ἔοικε. πάντες δὲ ἃ ἐπίστανται, ῥᾷστά τε καὶ τάχιστα καὶ κάλλιστα καὶ ἥδιστα ἐργάζονται. μὴ οὖν ὄκνει (ἔφη) ταῦτα εἰσηγεῖσθαι αὐταῖς, ἃ σοί τε λυσιτελεῖ κἀκείναις, καὶ (ὡς εἰκὸς) ἡδέως ὑπακούσονται.

ια'. Ἀλλὰ νὴ τοὺς θεοὺς (ἔφη ὁ Ἀρίσταρχος) οὕτω μοι δοκεῖς καλῶς λέγειν, ὦ Σώκρατες, ὥστε πρόσθεν μὲν οὐ προσιέμην δανείσασθαι, εἰδὼς ὅτι ἀναλώσας, ὃ ἂν λάβω, οὐχ ἕξω ἀποδοῦναι· νῦν δέ μοι δοκῶ εἰς ἔργων ἀφορμὴν ὑπομένειν αὐτὸ ποιῆσαι.

ιβ'. Ἐκ τούτων δὲ ἐπορίσθη μὲν ἀφορμή, ἐωνήθη δὲ ἔρια, καὶ ἐργαζόμεναι μὲν ἠρίστων, ἐργασάμεναι δὲ ἐδείπνουν· ἱλαραὶ δὲ ἀντὶ σκυθρωπῶν ἦσαν, καὶ ἀν-

τὶ

deinceps amicius familiariusque invicem afficiemini.

10. Jam si turpe quid eis esset agendum, mors potius esset eligenda. At vero norunt illæ, ceu par est, quæcunque videntur mulieri honestissima esse, maximeque decora. Quivis autem, quæ novit, tum facillime, tum celerrime, tum elegantissime, tum summa cum voluptate facit. Quapropter tibi cunctandum non est, (inquit) ut ad ea sis illis autor, quæ tum tibi tum illis expediant: in quo quidem (ceu par est) perlubenter tibi obtemperabunt.

11. Profecto (inquit Aristarchus) tam mihi præclare dicere videris, mi Socrates, ut quum antea mutuari noluissem, quod scirem me, absumpta mutuo data pecunia, non habiturum unde solverem; nunc mihi videar id facturus ad subeundas operarum impensas.

12. Inde comparata fuit impensa; emptæ lanæ; mulieres inter operas prandebant, ac operis absolutis cœnabant: item pro tristibus hilares erant; & qui prius

suspecti

τι ὑφορώμεναι ἑαυτοὺς, ἡδέως ἀλλήλους ἑώρων· καὶ αἱ μὲν ὡς κηδεμόνα ἐφίλουν, ὁ δὲ ὡς ὠφελίμους ἠγάπα· τέλος δὲ, ἐλθὼν πρὸς τὸν Σωκράτην, χαίρων διηγεῖτο ταῦτά τε, καὶ ὅτι αἰτιῶνται αὐτὸν μόνον τῶν ἐν τῇ οἰκίᾳ ἀργὸν ἐσθίειν.

ιγʹ. Καὶ ὁ Σωκράτης ἔφη· Εἶτα οὐ λέγεις αὐταῖς τὸν τοῦ κυνὸς λόγον; φασὶ γὰρ, ὅτε φωνήεντα ἦν τὰ ζῶα, τὴν οἶν πρὸς τὸν δεσπότην εἰπεῖν· Θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν μὲν ταῖς καὶ ἔρια σοι καὶ ἄρνας καὶ τυρὸν παρεχούσαις οὐδὲν δίδως, ὅ,τι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν· τῷ δὲ κυνὶ, ὃς οὐδὲν τοιοῦτόν σοι παρέχει, μεταδίδως οὗπερ αὐτὸς ἔχεις σίτου.

ιδʹ. Τὸν κύνα οὖν ἀκούσαντα, εἰπεῖν· ναὶ μὰ Δία. ἐγὼ γάρ εἰμι ὁ καὶ ὑμᾶς αὐτὰς σώζων, ὥστε μήτε ὑπ' ἀνθρώπων κλέπτεσθαι, μήτε ὑπὸ λύκων ἁρπάζεσθαι· ἐπεὶ ὑμεῖς γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ' ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε. οὕτω

suspecti invicem erant, nunc alii alios suaviter intuebantur: Aristarchum illæ tanquam curatorem diligebant, illas Aristarchus tanquam sibi utiles amabat. Tandem ad Socratem quum accessisset, narrabat & hæc cum voluptate, & quod se solum inter omnes in domo reprehenderent, ut qui otiosus ederet.

13. Tum Socrates: Tu vero non canis fabulam eis narras? Aiunt enim, id temporis, quum voce uterentur animalia, dixisse ad herum suum ovem: Facis sane mirum quiddam, qui nobis lanas, agnos, caseum tibi suppeditantibus, nihil das extra id quod è terra consequimur. Cani vero, qui nihil tale tibi præbet, cibum illum communicas, quo ipse vesceris.

14. At canem his auditis dixisse: Non abs re profecto. Nam ego is sum, qui vos ipsas conservat, ut neque furto ab hominibus auferamini, neq; à lupis rapiamini. Vos quidem certe, nisi pro vobis ego excubarem, ne pastum quidem habere possetis, veritæ scilicet, ne perirerctis.

οὕτω δὴ λέγεται καὶ τὰ πρόβατα συγχωρῆσαι τὸν κύνα προτιμᾶσθαι. καὶ σὺ οὖν ἐκείναις λέγε, ὅτι ἀντὶ κυνὸς εἶ φύλαξ καὶ ἐπιμελητής, καὶ διὰ σὲ οὐδ᾽ ὑφ᾽ ἑνὸς ἀδικούμεναι, ἀσφαλῶς τε καὶ ἡδέως ἐργαζόμεναι ζῶσιν.

ΚΕΦ. η'.

Ἄλλον δέ ποτε ἀρχαῖον ἑταῖρον διὰ χρόνου ἰδών, πόθεν, ἔφη, Εὔθηρε, φαίνῃ; ὑπὸ μὲν τὴν κατάλυσιν τοῦ πολέμου, (ἔφη) ὦ Σώκρατες, ἐκ τῆς ἀποδημίας· νυνὶ μέντοι αὐτόθεν. ἐπειδὴ γὰρ ἀφῃρέθημεν τὰ ἐν τῇ ὑπερορίᾳ κτήματα, ἐν δὲ τῇ Ἀττικῇ ὁ πατήρ μοι οὐδὲν κατέλιπεν, ἀναγκάζομαι νῦν ἐπιδημήσας τῷ σώματι ἐργαζόμενος τὰ ἐπιτήδεια πορίζεσθαι. δοκεῖ δέ μοι τοῦτο κρεῖττον εἶναι, ἢ δεῖσθαί τινος ἀνθρώπων, ἄλλως τε καὶ μηδὲν ἔχοντα ἐφ᾽ ὅτῳ ἂν δανειζοίμην.

β'. Καὶ πόσον χρόνον οἴει σοι (ἔφη) τὸ σῶμα ἱκανὸν εἶναι μισθοῦ τὰ ἐπιτήδεια ἐργάζεσθαι; μὰ τὸν

Δί'

periretis. Atque hoc modo perhibetur, oves ipsas permisisse, ut canis potiori conditione frueretur. Itaque tu etiam illis dicito, te canis instar custodem esse curamque gerere, cujus opera læsæ à nemine, secure suaviterque suas operas obeundo vivant.

CAP. VIII.

Quum aliquando sodalem alium veterem longo ex intervallo videret: Unde nobis ades, ait, Euthere? sub exitum belli, mi Socrates, (inquit) de peregrinatione, nunc ex hoc ipso loco. Quando enim extra fines Atticæ sita prædia mihi sunt adempta, nec pater in Attica mihi quidquam reliquit; cogor jam domi degens corpore faciundis operis victum quærere. Et videtur hoc mihi præstare, quam aliquem rogare mortalium, præsertim cum nihil habeam, super quo mutuarer.

2. At quam diu putas (inquit) corpus tibi suffecturum, ut victum pro mercede laborando quæras? Profecto

Δι' (ἔφη) οὐ πολὺν χρόνον. καὶ μὴν (ἔφη) ὅταν γε πρεσβύτερος γένῃ, δηλονότι δαπάνης μὲν δεήσῃ, μισθὸν δέ οὐδείς σοι θελήσει τῶν τοῦ σώματος ἔργων διδόναι. ἀληθῆ λέγεις, ἔφη.

γ'. Οὐκοῦν (ἔφη) κρεῖττόν ἐστιν αὐτόθεν τοῖς τοιούτοις τῶν ἔργων ἐπιτίθεσθαι, ἃ καὶ πρεσβυτέρῳ γενομένῳ ἐπαρκέσει, καὶ προσελθόντα τῳ τῶν πλείονα χρήματα κεκτημένων, τῷ δεομένῳ τοῦ συνεπιμελησομένου, ἔργων τε ἐπιστατοῦντα, καὶ συγκομίζοντα καρποὺς, καὶ συμφυλάττοντα τὴν οὐσίαν, ὠφελοῦντα ἀντωφελεῖσθαι.

δ'. Χαλεπῶς ἂν (ἔφη) ἐγὼ, ὦ Σώκρατες, δουλείαν ὑπομείναιμι. Καὶ μὴν οἵ γε ἐν ταῖς πόλεσι προστατεύοντες, καὶ τῶν δημοσίων ἐπιμελόμενοι, οὐ δουλοπρεπέστεροι ἕνεκα τούτου, ἀλλ' ἐλευθεριώτεροι νομίζονται.

ε'. Ὅλως μὴν, (ἔφη) ὦ Σώκρατες, τὸ ὑπαίτιον εἶναί τινι οὐ πάνυ προσίεμαι. καὶ μὴν, (ἔφη) Εὔθηρε, οὐ πάνυ γε ῥᾴδιόν ἐστιν εὑρεῖν ἔργον, ἐφ' ᾧ οὐκ ἄν τις αἰτίαν ἔχοι. χαλεπὸν γὰρ οὕτω τι ποιῆσαι, ὥστε μηδὲν ἁμαρτεῖν· χαλεπὸν δὲ καὶ ἀναμαρτήτως τι

ποιήσαντας

Profecto non diu, inquit. Itaque quum consenueris, (ait) sumptu tu quidem egebis, at nemo tibi mercedem pro corporis laboribus pendet. Vere dicis, inquit.

3. Ergo præstat (ait) ea te opera jam nunc aggredi, quæ tibi etiam ubi senueris, sufficiant; & locuplete quodam convento qui coadjutore indigeat, operibus ipsius præfici, fructus congerere, facultates una custodire; ut eum juvans ab illo viciſſim adjuveris.

4. Ego vero, mi Socrates, (inquit) ægre servitutem perferre possim. Atqui civitatum præsides, publicarumque rerum curatores, non idcirco magis serviles, sed magis liberi existimantur.

5. Omnino, mi Socrates, (ait) non admodum velim alicui me culpabilem esse. Atqui, mi Euthere, (inquit) non facile reperiri potest opus, in quo non aliquis culpetur. Est enim difficile, sic aliquid agere, ut nihil delinquas; quod si etiam sine delicto quisquam aliquid faciat, in

 judi-

ποιήσαντας, μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν. ἐπεὶ καὶ οἷς νῦν ἐργάζεσθαι φῄς, θαυμάζω εἰ ῥᾴδιόν ἐστιν ἀνέγκλητον διαγίνεσθαι.

ϛ'. Χρὴ οὖν πειρᾶσθαι τοὺς τε φιλαιτίους φεύγειν, καὶ τοὺς εὐγνώμονας διώκειν· καὶ τῶν πραγμάτων ὅσα μὲν δύνασαι ποιεῖν, ὑπομένειν· ὅσα δὲ μὴ δύνασαι, φυλάττεσθαι· ὅ,τι δ' ἂν πράττῃς, τούτου ὡς κάλλιστα καὶ προθυμότατα ἐπιμελεῖσθαι. οὕτω γὰρ ἥκιστα μέν σε οἶμαι ἐν αἰτίᾳ εἶναι, μάλιστα δὲ τῇ ἀπορίᾳ βοήθειαν εὑρεῖν, ῥᾷστα δὲ καὶ ἀκινδυνότατα ζῆν, καὶ εἰς τὸ γῆρας διαρκέστατα.

ΚΕΦ. θ'.

Οἶδα δέ ποτε αὐτὸν καὶ Κρίτωνος ἀκούσαντα, ὡς χαλεπὸν ὁ βίος Ἀθήνησιν εἴη ἀνδρὶ βουλομένῳ τὰ ἑαυτοῦ πράττειν· νῦν γὰρ (ἔφη) ἐμέ τινες εἰς δίκας ἄγουσιν, οὐχ ὅτι ἀδικοῦνται ὑπ' ἐμοῦ, ἀλλ' ὅτι νομίζουσιν ἥδιον ἄν με ἀργύριον τελέσαι, ἢ πράγματα ἔχειν.

β'. Καὶ

judicem, non iniquum incidere, difficile est. Nam & in illis quæ nunc operari dicis, miror, si facile sit, ut inculpatus degas.

6. Quamobrem danda est opera, ut culpandi cupidos fugiamus, æquos autem æstimatores sectemur: i..........que negotia, quæcunque conficere potes, ut suscipias; quæ non potes, caveas: quicquid autem feceris, in id uti quam rectissime promptissimeque incumbas. Nam ita futurum arbitror, ut minime culperis, inopiamque tuam maxime subleves, ac facillime omnis expers periculi, magna in rerum copia etiam in senecta vivas.

CAP. IX.

Præterea scio ipsum aliquando ex Critone audivisse, difficulter Athenis hominem degere posse, qui velit privatus vivere. Nunc enim me nonnulli (ait) in jus rapiunt, non quod à me fiat eis injuria, sed quod existiment, lubentius me pecuniam exsoluturum, quam habiturum negotia, quam dicam rescripturum.

2. Tum

β'. Καὶ ὁ Σωκράτης, Εἰπέ μοι, ἔφη, ὦ Κρίτων, κύνας δὲ τρέφεις, ἵνα σοι τοὺς λύκους ἀπὸ τῶν προβάτων ἀπερύκωσι; καὶ μάλα, (ἔφη.) μᾶλλον γάρ μοι λυσιτελεῖ τρέφειν, ἢ μή. οὐκ ἂν οὖν θρέψαις καὶ ἄνδρα, ὅστις ἐθέλοι τε καὶ δύναιτό σου ἀπερύκειν τοὺς ἐπιχειροῦντας ἀδικεῖν σε; ἡδέως γ' ἂν, (ἔφη) εἰ μὴ φοβοίμην, ὅπως μὴ ἐπ' αὐτόν με τράποιτο.

γ'. Τί δ'; (ἔφη) οὐχ ὁρᾷς, ὅτι πολλῷ ἥδιόν ἐστι, χαριζόμενον οἵῳ σοὶ ἀνδρὶ, ἢ ἀπεχθανόμενον, ὠφελεῖσθαι; εὖ ἴσθ', ὅτι εἰσὶν ἐνθάδε τῶν τοιούτων ἀνδρῶν, οἳ πάνυ ἂν φιλοτιμηθεῖεν φίλῳ σοι χρῆσθαι. Καὶ ἐκ τούτων ἀνευρίσκουσιν Ἀρχέδημον, πάνυ μὲν ἱκανὸν εἰπεῖν τε καὶ πρᾶξαι, πένητα δέ. οὐ γὰρ ἦν οἷος ἀπὸ παντὸς κερδαίνειν, ἀλλὰ φιλόχρηστός τε, καὶ ἔφη ῥᾷστον εἶναι ἀπὸ τῶν συκοφαντῶν λαμβάνειν.

δ'. Τούτῳ οὖν ὁ Κρίτων, ὁπότε συγκομίζοι ἢ σῖτον, ἢ ἔλαιον, ἢ οἶνον, ἢ ἔρια, ἢ ἄλλο τι τῶν ἐν ἀγρῷ γιγνομένων χρησί-

2. Tum Socrates, Dic mihi, mi Crito, ait, annon canes alis, ut lupos ab ovibus arceant? Maxime; (inquit) quum mihi plus expediat alere, quam non. Annon igitur etiam hominem velis alere, qui & velit & possit illos arcere, quotquot injuria te conantur afficere? Perlubenter sane, (inquit) nisi vererer, ne adversus meipsum se converteret.

3. Quid autem? (ait) non multo jucundius esse vides, aliquem viro tali, qualis tu es, gratificantem potius, quam infestum, juvari? sat scito, esse tales heic homines, qui magno sibi honori ducerent, si te amico uterentur. Ex eorum numero Archedemum inveniunt, dicendi quidem agendique peritissimum, sed pauperem. Non enim is erat, qui abs quovis lucrum caperet, sed æquitatis studiosus esset, ac soleret dicere, esse facillimum, sycophantis aliquid abripere.

4. Huic igitur Crito, quoties aut frumentum, aut oleum, aut vinum, aut lanas, aut aliquid aliud rerum in prædio suo nascentium,

χρησίμων πρὸς τὸν βίον, ἀφελὼν ἔδωκε· καὶ ὁπότε θύοι, ἐκάλει, καὶ τὰ τοιαῦτα πάντα ἐπεμελεῖτο.

ε'. Νομίσας δὲ ὁ Ἀρχέδημος ἀποστροφήν οἱ τὸν Κρίτωνος οἶκον, μάλα περιεῖπεν αὐτόν. καὶ εὐθὺς τῶν συκοφαντούντων τὸν Κρίτωνα ἀνευρήκει πολλὰ μὲν ἀδικήματα, πολλοὺς δ' ἐχθρούς· καὶ προσεκαλέσατο εἰς δίκην δημοσίαν, ἐν ᾗ αὐτὸν ἔδει κριθῆναι ὅ, τι δεῖ παθεῖν ἢ ἀποτῖσαι.

ς'. Ὁ δὲ, συνειδὼς αὑτῷ πολλὰ καὶ πονηρὰ, πάντ' ἐποίει, ὥστε ἀπαλλαγῆναι τοῦ Ἀρχεδήμου. ὁ δὲ Ἀρχέδημος οὐκ ἀπηλλάττετο, ἕως τόν τε Κρίτωνα ἀφῆκε, καὶ αὐτῷ χρήματα ἔδωκεν.

ζ'. Ἐπεὶ δὲ τοῦτό τε καὶ ἄλλα τοιαῦτα ὁ Ἀρχέδημος διεπράξατο ἤδη, τότε (ὥσπερ ὅταν νομεὺς ἀγαθὸν κύνα ἔχῃ, καὶ οἱ ἄλλοι νομεῖς βούλωνται πλησίον αὐτοῦ τὰς ἀγέλας ἱστάναι, ἵνα τοῦ κυνὸς ἀπολαύω-

tium, & ad vitam utilium, colligeret, partem detractam donabat: eundem quoties rem sacram faceret, invitabat; & in omnibus hujusmodi eum non negligebat.

5. Itaque quum existimaret Archedemus, domum Critonis sibi refugii loco esse, cœpit eum plurimum observare: statimque calumniatorum Critonis injusta pleraque facinora reperit, & infestos iisdem non paucos; adeoque publicum in judicium eos arcessivit, in quo cognosci oportebat, quo supplicio, quave multa puniri deberent.

6. Calumniator, multorum sibi malorumque facinorum conscius, nihil non moliebatur, ut ab Archedemo liberaretur. Archedemus vero finem nullum faciebat, donec ille Critonem absolvisset, & pecuniam sibi numerasset.

7. Id ubi jam Archedemus, aliaque similia perfecisset; tum vero (non aliter, atque ubi pastor aliquis canem egregium habet, cæterique pastores haud procul ab illo greges suos sistere cupiunt, ut

ἀπολαύωσιν· οὕτω καὶ τοῦ Κρίτωνος πολλοὶ τῶν φίλων ἐδέοντο καὶ σφίσι παρέχειν φύλακα τὸν Ἀρχέδημον.

η'. Ὁ δὲ Ἀρχέδημος τῷ Κρίτωνι ἡδέως ἐχαρίζετο, καὶ οὐχ ὅτι μόνος ὁ Κρίτων ἐν ἡσυχίᾳ ἦν, ἀλλὰ καὶ οἱ φίλοι αὐτοῦ. εἰ δέ τις αὐτῷ τούτων οἷς ἀπήχθετο, ὀνειδίζοι, ὡς ὑπὸ Κρίτωνος ὠφελούμενος κολακεύειν αὐτόν· πότερον οὖν (ἔφη ὁ Ἀρχέδημος) αἰσχρόν ἐστιν εὐεργετούμενον ὑπὸ χρηστῶν ἀνθρώπων καὶ ἀντευεργετοῦντα, τοὺς μὲν τοιούτους φίλους ποιεῖσθαι, τοῖς δὲ πονηροῖς διαφέρεσθαι· ἢ τοὺς μὲν καλοὺς κἀγαθοὺς ἀδικεῖν πειρώμενον ἐχθροὺς ποιεῖσθαι, τοῖς δὲ πονηροῖς συνεργοῦντα πειρᾶσθαι φίλους ποιεῖσθαι, καὶ χρῆσθαι τούτοις ἀντ' ἐκείνων; ἐκ δὲ τούτου εἷς τε τῶν Κρίτωνος φίλων Ἀρχέδημος ἦν, καὶ ὑπὸ τῶν ἄλλων Κρίτωνος φίλων ἐτιμᾶτο.

ΚΕΦ.

ut cane fruantur: ita & complures Critonis amici rogabant, ut etiam sibi Archedemum custodem concederet.

8. Archedemus vero Critoni perlubenter gratificabatur, neque jam solus Crito quiete fruebatur, sed etiam ipsius amici; ac siquis eorum quibus erat in odio, exprobraret ei, quod perceptis à Critone commodis, eidem adularetur: utrum (inquit) turpe est, eum, qui à probis hominibus beneficiis affectus sit, vicissim beneficium præstando, ejusmodi homines amicos facere, & ab improbis diffidere; an honestos & egregios homines lædere conantem, eosdem hostes efficere; pravos autem juvando, amicitiam eorum conciliare, hisque potius quam illis uti? Ex eo tempore unus ex Critonis amicis Archedemus erat, & à cæteris ejus amicis colebatur.

CAP.

ΚΕΦ. ι΄.

Οἶδα δὲ καὶ Διοδώρῳ αὐτὸν ἑταίρῳ ὄντι τοιάδε διαλεχθέντα· Εἰπέ μοι, (ἔφη) ὦ Διόδωρε, ἄν τις σοὶ τῶν οἰκετῶν ἀποδρᾷ, ἐπιμελῇ ὅπως ἀνακομίσῃ; καὶ ἄλλους γε νὴ Δί᾽ (ἔφη) παρακαλῶ σῶστρα τούτῳ * ἀνακηρύσσων.

β΄. Τί γάρ (ἔφη) ἐάν τίς σοι κάμνῃ τῶν οἰκετῶν, τούτου ἐπιμελῇ, καὶ παρακαλεῖς ἰατροὺς, ὅπως μὴ ἀποθάνῃ; σφόδρα γ᾽, ἔφη. εἰ δέ τίς σοι τῶν γνωρίμων (ἔφη) πολὺ τῶν οἰκετῶν χρησιμώτερος ὢν, κινδυνεύοι δι᾽ ἔνδειαν ἀπολέσθαι, οὐκ οἴει σοὶ ἄξιον εἶναι ἐπιμεληθῆναι, ὅπως διασωθῇ;

γ΄. Καὶ μὴν οἶσθά γε, ὅτι οὐκ ἀγνώμων ἐστὶν Ἑρμογένης· αἰσχύνοιτο δ᾽ ἄν, εἰ ὠφελούμενος ὑπὸ σοῦ, μὴ ἀντωφελοίη σε. καίτοι τὸ ὑπηρέτην ἑκόντα τε καὶ εὔνουν, καὶ

CAP. X.

Præterea memini Socratem etiam cum Diodoro, qui ex familiaribus suis erat, in hanc sententiam aliquando disseruisse. Dic mihi, mi Diodore, (ait) siquis famulorum tuorum à te forte aufugiat, tune ullam exhibes curam, ut eundem iterum retrahas? Immo etiam profectò alios hortor, (inquit) ut denuncient cessura quædam recuperanti præmia.

2. Quid autem? siquis servorum adversa valetudine laboret, annon curam ejus habes, ac medicos arcessis, ne moriatur? Admodum vero, inquit. Jam siquis familiarium tuorum (ait) qui longe pluris sit tibi quam quisquam servorum, in periculo sit pereundi ex inopia, non æquum esse ducis, ejus te curam habere, ut evadat incolumis?

3. Atqui non ignoras Hermogenem minime ingratum esse, quem quidem puderet adjutum abs te, non vicissim te adjuvare. Habere autem ministrum quendam volentem & benevolum, &

καὶ πρόθυμον, καὶ τὸ κελευόμενον ἱκανὸν ποιεῖν ἔχειν, καὶ μὴ μόνον τὸ κελευόμενον ἱκανὸν ὄντα ποιεῖν, ἀλλὰ δυνάμενον καὶ ἀφ᾽ ἑαυτοῦ χρήσιμον εἶναι, καὶ προνοεῖν, καὶ προβουλεύεσθαι, πολλῶν οἰκετῶν οἶμαι ἀντάξιον εἶναι.

δ΄. Οἱ μέν τοι ἀγαθοὶ οἰκονόμοι, ὅταν τὸ πολλοῦ ἄξιον μικροῦ ἐξῇ πρίασθαι, τότε φασὶ δεῖν ὠνεῖσθαι. νῦν δὲ διὰ τὰ πράγματα εὐωνοτάτους ἔστι φίλους ἀγαθοὺς κτήσασθαι.

ε΄. Καὶ ὁ Διόδωρος, Ἀλλὰ καλῶς γε, ἔφη, λέγεις, ὦ Σώκρατες· καὶ κέλευσον ἐλθεῖν ὡς ἐμὲ τὸν Ἑρμογένην. Μὰ Δί᾽ (ἔφη) οὐκ ἔγωγε. νομίζω γὰρ οὔτε σοι κάλλιον εἶναι τὸ καλέσαι ἐκεῖνον, ἢ αὐτὸν ἐλθεῖν πρὸς ἐκεῖνον, οὔτε ἐκείνῳ μεῖζον ἀγαθὸν τὸ πραχθῆναι ταῦτα, ἢ σοί.

ϛ΄. Οὕτω δὴ ὁ Διόδωρος ᾤχετο πρὸς τὸν Ἑρμογένην· καὶ οὐ πολὺ τελέσας, ἐκτήσατο φίλον, ὃς ἔργον εἶχεν σκοπεῖν ὅ,τι ἂν ἢ λέγων ἢ πράττων ὠφελοίη τε καὶ εὐφραίνοι Διόδωρον.

ΞΕΝΟ-

& constantem, & ad agenda imperata idoneum, immo non solum ad imperata agenda promptum, sed qui etiam per se usui possit esse tum in providendo tum in præcipiendis consiliis; equidem multorum servorum instar esse duco.

4. Jubent autem rei familiaris administratores boni tunc emere, quum magni quippiam pretii licet exiguo comparare. Boni vero amici hoc rerum statu vilissimo pretio parari possunt.

5. Recte mones, mi Socrates: (inquit Diodorus) jube veniat ad me Hermogenes. Minime equidem, ait. Etenim neque tibi honestius esse duco, te potius illum arcessere, quam convenire: neque magis ex illius esse re, quam tua, hæc ita fieri.

6. Hoc modo factum, ut ad Hermogenem Diodorus accederet, neque magna pecunia erogata, compararet amicum talem, cui id esset negotii, ut quid vel proferendo vel agendo Diodoro prodesse, lætitiamque posset afferre, dispiceret.

ΞΕΝΟΦΩΝΤΟΣ
ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ

Βιβλίον τρίτον.

ΚΕΦ. α'.

ΟΤΙ δὲ τοὺς ὀρεγομένους τῶν καλῶν, ἐπιμελεῖς ὧν ὀρέγοιντο ποιῶν ὠφέλει, νῦν τοῦτο διηγήσομαι. ἀκούσας γάρ ποτε Διονυσόδωρον εἰς τὴν πόλιν ἥκειν, ἐπαγγελλόμενον στρατηγεῖν διδάξειν, ἔλεξε πρός τινα τῶν συνόντων, ὃν ᾐσθάνετο βουλόμενον τῆς τιμῆς ταύτης ἐν τῇ πόλει τυγχάνειν·

β'. Αἰσχρὸν μέντοι, ὦ νεανία, τὸν βουλόμενον ἐν τῇ πόλει στρατηγεῖν, ἐξὸν τοῦτο μαθεῖν, ἀμελῆσαι αὐτοῦ· καὶ

δικαίως

XENOPHONTIS
MEMORABILIUM

Liber Tertius.

CAP. I.

QUOD autem rerum honeſtarum cupidis perutilis erat, dum eorum quæ expetebant ſtudioſos reddidit, id jam commemorabo. Nam quum audiiſſet aliquando Dionyſodorum in urbem veniſſe, qui exercitus ducendi artem docere ſe velle profiteretur, ad quendam è familiaribus, quem hujus honoris in civitate conſequendi cupidum eſſe animadverteret, ita dixit:

2. Turpe eſt eum, mi Adoleſcens, qui exercitum velit ducere in republica, cum id diſcere liceat, idem negligere: atque hic

multo

δικαίως ἂν οὗτος ὑπὸ τῆς πόλεως ζημιοῖτο πολὺ μᾶλλον, ἢ εἴ τις ἀνδριάντας ἐργολαβοίη, μὴ μεμαθηκὼς ἀνδριαντοποιεῖν.

γ'. Ὅλης γὰρ τῆς πόλεως ἐν τοῖς πολεμικοῖς κινδύνοις ἐπιτρεπομένης τῷ στρατηγῷ, μεγάλα τά τε ἀγαθὰ κατορθοῦντος αὐτοῦ, καὶ τὰ κακὰ διαμαρτάνοντος εἰκὸς γίγνεσθαι. πῶς οὖν οὐκ ἂν δικαίως ὁ τοῦ μὲν μανθάνειν τοῦτο ἀμελῶν, τοῦ δὲ αἱρεθῆναι ἐπιμελούμενος, ζημιοῖτο; τοιαῦτα μὲν δὴ λέγων ἔπεισεν αὐτὸν ἐλθόντα μανθάνειν.

δ'. Ἐπεὶ δὲ μεμαθηκὼς ἧκε, προσέπαιζεν αὐτῷ, λέγων· οὐ δοκεῖ ὑμῖν, ὦ ἄνδρες, ὥσπερ Ὅμηρος τὸν Ἀγαμέμνονα γεραρὸν ἔφη εἶναι· καὶ οὗτος ὅδε στρατηγεῖν μαθών, γεραρώτερος φαίνεσθαι; καὶ γὰρ ὥσπερ ὁ κιθαρίζειν μαθών, κἂν μὴ κιθαρίζῃ, κιθαριστής ἐστι· καὶ ὁ μαθὼν ἰᾶσθαι, κἂν μὴ ἰατρεύῃ, ὅμως ἰατρός ἐστιν· οὕτω καὶ ὅδε ἀπὸ τοῦδε τοῦ χρόνου διατελεῖ στρατηγὸς ὤν, κἂν μηδεὶς αὐτὸν ἕληται. ὁ δὲ μὴ ἐπιστάμενος, οὔτε στρατη-γὸς

multo justius à civitate puniretur, quam siquis statuas fingendas susciperet, cum artem statuariam nunquam didicerit.

3. Nam quum bellicis in periculis universa respublica imperatori committatur, consentaneum est, magna & commoda eo rem feliciter gerente, & mala peccante ipso evenire. Cur igitur non is merito, qui idem discere negligit, ac nihilominus ut eligatur sollicitus est, multari debeat? Hæc quum diceret, persuasit homini, ut ad discendum accederet.

4. Postquam edoctus rediret, illudens ei, Annon, inquit, videtur vobis, amici, perinde atque Homerus Agamemnonem augustum dixit, ita etiam hic, cum imperare didicit, augustior videri? Etenim quemadmodum qui citharam pulsare didicit, etiamsi non pulset citharam, citharædus est: & qui medendi artem didicit, etiamsi non medeatur, nihilominus medicus est: ita hic quoque semper ex hoc tempore imperator est, etiamsi à nemine electus fuerit. Qui vero nescit, nec imperator

γὰρ οὔτε ἰατρός ἐστιν, οὐδὲ ἐὰν ὑπὸ πάντων ἀνθρώπων αἱρεθῇ.

ε'. Ἀτάρ, ἔφη, ἵνα καὶ ἐὰν ἡμῶν τις ταξιαρχῇ, ἢ λοχαγῇ σοι, ἐπιστημονέστεροι τῶν πολεμικῶν ὦμεν, λέξον ἡμῖν πόθεν ἤρξατό σε διδάσκειν τὴν στρατηγίαν. καὶ ὅς, ἐκ τοῦ αὐτοῦ, ἔφη, εἰς ὅπερ καὶ ἐτελεύτα. τὰ γὰρ τακτικὰ ἐμέ γε, καὶ ἄλλο οὐδὲν ἐδίδαξεν.

ς'. Ἀλλὰ μήν, ἔφη ὁ Σωκράτης, τοῦτό γε πολλοστὸν μέρος ἐστὶ στρατηγίας. καὶ γὰρ παρασκευαστικὸν τῶν εἰς τὸν πόλεμον τὸν στρατηγὸν εἶναι χρή, καὶ ποριστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις, καὶ μηχανικόν, καὶ ἐργαστικὸν καὶ ἐπιμελῆ, καὶ καρτερικὸν καὶ ἀγχίνουν, καὶ φιλόφρονά τε καὶ ὠμόν, καὶ ἁπλοῦν τε καὶ ἐπίβουλον, καὶ φυλακτικόν τε καὶ κλέπτην, καὶ προετικὸν καὶ ἅρπαγα, καὶ φιλόδωρον καὶ πλεονέκτην, καὶ ἀσφαλῆ καὶ ἐπιθετικόν, καὶ ἄλλα πολλὰ καὶ φύσει καὶ ἐπιστήμῃ, ἃ δεῖ τὸν εὖ στρατηγήσοντα ἔχειν. καλὸν δὲ καὶ τὸ, τακτικὸν εἶναι.

ζ'. Πολὺ·

tor nec medicus eſt, etiamſi vel ab univerſis hominibus eligatur.

5. Ut autem, ait, etiam nos, ſiquis forte noſtrum vel cohortis præfectus vel manipuli ductor tibi fuerit, rerum bellicarum peritiores ſimus: dic nobis, unde cœperit te imperandi artem docere. At ille, ab illo ipſo, inquit, in quod etiam deſiit: nam ordinum rationes, atque aliud nihil me docuit.

6. Atqui, inquit Socrates, aliquanta hæc artis imperatoriæ pars eſt. Nam oportet imperatorem eſſe peritum parandi ea quæ ad bellum requiruntur, & ſuppeditandi neceſſaria militibus, & in conſiliis ſolertem, & in labore ſtrenuum & diligentem, & tolerantem & perſpicacem, & benignum & ſævum, & ſimplicem & inſidioſum, & cautum & furem, & profuſum & rapacem, & largiendi cupidum & avarum, & muniendi ſe peritum & alios aggrediendi doctum: alia denique multa ſunt, tum natura tum doctrina, quæ illum habere oportet qui bene imperaturus ſit. Bonum vero eſt, etiam aciei inſtruendæ peritum eſſe.

7. Nam

ζ'. Πολὺ γὰρ διαφέρει στράτευμα τεταγμένον ἀτάκτου, ὥσπερ λίθοι τε, καὶ πλίνθοι, καὶ ξύλα, καὶ κέραμος, ἀτάκτως μὲν ἐρριμμένα οὐδὲν χρήσιμά ἐστιν· ἐπειδὰν δὲ ταχθῇ, κάτω μὲν καὶ ἐπιπολῆς, τὰ μήτε σηπόμενα, μήτε τηκόμενα, οἵτε λίθοι, καὶ ὁ κέραμος, ἐν μέσῳ δὲ αἵτε πλίνθοι, καὶ τὰ ξύλα, ὥσπερ ἐν οἰκοδομίᾳ συντίθενται, τότε γίγνεται πολλοῦ ἄξιον κτῆμα, οἰκία.

η'. Ἀλλὰ πάνυ, ἔφη ὁ νεανίσκος, ὅμοιον, ὦ Σώκρατες, εἴρηκας. καὶ γὰρ ἐν τῷ πολέμῳ τούς τε πρώτους ἀρίστους δεῖ τάττειν καὶ τοὺς τελευταίους, ἐν δὲ μέσῳ τοὺς χειρίστους, ἵνα ὑπὸ μὲν αὐτῶν ἄγωνται, ὑπὸ δὲ τῶν ὠθῶνται.

θ'. Εἰ μὲν τοίνυν, ἔφη, καὶ διαγινώσκειν σε τοὺς ἀγαθοὺς καὶ τοὺς κακοὺς ἐδίδαξεν· εἰ δὲ μή, τί σοι ὄφελος ὧν ἔμαθες; οὐδὲ γὰρ εἴ σε ἀργύρειον ἐκέλευσε πρῶτον μὲν καὶ τελευταῖον τὸ κάλλιστον τάττειν, ἐν μέσῳ δὲ τὸ χείριστον, μὴ διδάξας διαγινώσκειν τό, τε καλὸν καὶ τὸ κίβδηλον, οὐδὲν ἄν σοι ὄφελος ἦν. Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἐδίδαξεν, ὥστε αὐτοὺς

7. Nam multo differt exercitus ordinatus ab inordinato: quemadmodum lapides, & lateres, & ligna, & tegulæ, ſi confuſe disjecta ſint, ad nihil utilia ſunt: poſtquam autem ordinantur in imo ac ſummo ea quæ neque putreſcunt, neque liqueſcunt, ut ſunt lapides ac tegulæ, in medio vero lateres & ligna, ſicut in ædium ſtructura componuntur, tum efficitur res magni pretii, domus.

8. Et Adoleſcens, Dixiſti, inquit, quiddam valde ſimile, mi Socrates. Nam & in bello fortiſſimi quique primo ultimoque loco ſunt collocandi, peſſimi vero in medio, ut ab illis ducantur, ab his impellantur.

9. Siquidem, ait, te docuit etiam ſtrenuos ab ignavis diſcernere; ſin minus, quænam tibi utilitas eorum quæ didiciſti? Nam ſi te argentum juſſerit optimum primo ultimoque loco ponere, in medio vero peſſimum, neque tamen docuerit bonum ab adulterino diſcernere, nullo id tibi uſui fuerit. Profecto, inquit, non hoc me docuit: quamobrem

αὐτοὺς ἂν ἡμᾶς δέοι τούς τε ἀγαθοὺς καὶ τοὺς κακοὺς κρίνειν.

ι'. Τί οὖν οὐ σκοποῦμεν, ἔφη, πῶς ἂν αὐτῶν μὴ διαμαρτάνοιμεν; βούλομαι, ἔφη ὁ νεανίσκος. οὐκοῦν, ἔφη, εἰ μὲν τὸ ἀργύριον δέοι ἁρπάζειν, τοὺς φιλαργυρωτάτους πρώτους καθιστάντες, ὀρθῶς ἂν τάττοιμεν; ἔμοιγε δοκεῖ. τί δέ, τοὺς κινδυνεύειν μέλλοντας, ἆρα τοὺς φιλοτιμοτάτους προτακτέον; οὗτοι γοῦν εἰσίν, ἔφη, οἱ ἕνεκα ἐπαίνου κινδυνεύειν ἐθέλοντες. οὐ τοίνυν οὗτοί γε ἄδηλοι, ἀλλ' ἐπιφανεῖς πανταχοῦ ὄντες, εὐαίρετοι ἂν εἶεν.

ια'. Ἀτάρ, ἔφη, πότερά σε τάττειν μόνον ἐδίδαξεν, ἢ καὶ ὅπου, καὶ ὅπως χρηστέον ἑκάστῳ τῶν τακτέων; οὐ πάνυ, ἔφη. καὶ μὴν πολλά γ' ἐστίν, πρὸς ἃ ★ οὔτε τάττειν οὔτε λέγειν ὡσαύτως προσήκει. Ἀλλὰ μὰ Δί', ἔφη, οὐδὲ διεσαφήνιζε ταῦτα. Νὴ Δί', ἔφη, πάλιν τοίνυν ἐλθὼν ἐπανερώτα. ἢν γὰρ ἐπίστηται, καὶ μὴ ἀναιδὴς ᾖ, αἰσχυνεῖται, ἀργύριον εἰληφώς, ἐνδεᾶ σε ἀποπέμψασθαι.

ΚΕΦ.

rem nos ipsi necesse est fortes ab ignavis secernamus.

10. Cur igitur non consideramus, ait, quo pacto in eis non fallamur? Cupio, dixit adolescens. Ergo, inquit, si argentum diripiendum sit, annon argenti cupidissimis primo loco dispositis, recte aciem instrueremus? Ita mihi videtur. Quid si eos collocare debeat in fronte, qui periculum subire debeant, nonne cupidissimos honoris præponemus? Nam hi certe sunt, ait, qui laudis gratia periclitari volunt. Ideoque obscuri esse nequeunt, sed ubique conspicui, facile deligi poterunt.

11. At enim utrum te solummodo ordinare docuit, an etiam ubi, & quo pacto singulis ordinibus utendum sit? non omnino, ait. Atqui multa sunt, ad quæ neque instruere neque dicere convenit eodem modo. Ea vero, inquit, non profecto declaravit. Ergo tu inquit, rursus accede, & interroga. Nam siquidem hoc sciet, ac impudens non erit, pudebit eum accepta pecunia te ignorantem dimisisse.

CAP.

ΚΕΦ. β'.

Ἐντυχὼν δέ ποτε στρατηγεῖν ᾑρημένῳ τῳ· Τοῦ ἕνεκεν, ἔφη, Ὅμηρον οἴει τὸν Ἀγαμέμνονα προσαγορεῦσαι ποιμένα λαῶν; ἆρά γε ὅτι ὥσπερ τὸν ποιμένα ἐπιμελεῖσθαι δεῖ, ὅπως σῶαί τε ἔσονται αἱ οἶες, καὶ τὰ ἐπιτήδεια ἕξουσι, οὕτω καὶ τὸν στρατηγὸν ἐπιμελεῖσθαι δεῖ, ὅπως σῶοί τε οἱ στρατιῶται ἔσονται, καὶ τὰ ἐπιτήδεια ἕξουσι, καὶ οὗ ἕνεκα στρατεύονται, τοῦτο ἔσται; στρατεύονται δὲ, ἵνα κρατοῦντες τῶν πολεμίων εὐδαιμονέστεροι ὦσιν.

β'. Ἢ τί δή ποτε οὕτως ἐπῄνεσε τὸν Ἀγαμέμνονα; εἰπὼν,

Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής.

ἆρά γε ὅτι αἰχμητής τε καὶ κρατερὸς ἂν εἴη, οὐκ εἰ μόνος αὐτὸς εὖ ἀγωνίζοιτο πρὸς τοὺς πολεμίους, ἀλλ' εἰ καὶ παντὶ τῷ στρατοπέδῳ τούτου αἴτιος εἴη; καὶ βασιλεὺς ἀγαθὸς, οὐκ

CAP. II.

CUM aliquando in aliquem Imperatorem electum incidisset, quamobrem, ait, Homerum existimas appellasse Agamemnonem pastorem populorum? an ideo, quod quemadmodum pastorem in hoc curam adhibere oportet, ut oves & salvæ sint, & habeant pabulum necessarium: ita etiam imperatori curandum sit, ut milites sint incolumes, & commeatum necessarium habeant; & id ipsum erit, cujus caussa militant? Militant autem, ut hostibus victis beatiores sint.

2. Cur etiam ita laudavit Agamemnonem? dicens,

Utrumque, & rex egregius, bellator & acris.

Annon propterea quod tum demum aliquis & bellator & acris sit, non si solus ipse acriter luctetur adversus hostes, sed etiam si universo exercitui ejusdem autor sit? Quodque rex egregius, non

οὐκ εἰ μόνον τοῦ ἑαυτοῦ βίου καλῶς προεστήκοι, ἀλλ' εἰ καὶ ὧν βασιλεύοι, τούτοις εὐδαιμονίας αἴτιος εἴη;

γ'. Καὶ γὰρ βασιλεὺς αἱρεῖται οὐχ ἵνα ἑαυτοῦ καλῶς ἐπιμελῆται, ἀλλ' ἵνα καὶ οἱ ἑλόμενοι δι' αὐτὸν εὖ πράττωσι. καὶ στρατεύονται δὲ πάντες, ἵνα ὁ βίος αὐτοῖς ὡς βέλτιστος ᾖ, καὶ στρατηγοὺς αἱροῦνται τούτου ἕνεκα, ἵνα πρὸς τοῦτο αὐτοῖς ἡγεμόνες ὦσι.

δ'. Δεῖ οὖν τὸν στρατηγοῦντα τοῦτο παρασκευάζειν τοῖς ἑλομένοις αὐτὸν στρατηγόν. καὶ γὰρ οὔτε κάλλιον τούτου ἄλλο ῥᾴδιον εὑρεῖν, οὔτε αἴσχιον τοῦ ἐναντίου. καὶ οὕτως ἐπισκοπῶν, τίς εἴη ἀγαθοῦ ἡγεμόνος ἀρετὴ, τὰ μὲν ἄλλα περιῄρει, κατέλειπε δὲ, τὸ εὐδαίμονας ποιεῖν, ὧν ἂν ἡγῆται.

ΚΕΦ. γ'.

ΚΑὶ ἱππαρχεῖν δέ τινι ᾑρημένῳ οἶδά ποτε αὐτὸν τοιάδε διαλεχθέντα. ἔχοις ἂν, ἔφη, ὦ νεανία, εἰπεῖν ἡμῖν, ὅτου

non ſi ſuæ tantum vitæ bene præſit, ſed iis etiam, quibus imperat, auctor felicitatis ſit?

3. Nam rex eligitur, non ut egregie ſui ipſius curam habeat: ſed ut illi etiam, qui eum elegerunt, per ipſum bene agant. Et militant omnes, ut vita illis quam feliciſſima ſit: & imperatores propterea deligunt, ut eis ad hoc ipſum duces ſint.

4. Itaque debet is qui imperat hoc ipſum illis procurare qui eum imperatorem elegerunt. Nec enim proclive eſt quidquam hoc pulcrius invenire, vel contrario turpius. Atque ita conſiderans, quæ boni ducis eſſet virtus, cætera quidem auferebat, hoc ſolo relicto, ut illos, quibus præeſt, beatos reddat.

CAP. III.

MEmini etiam ipſum aliquando ita ad quendam diſſeruiſſe, qui ut copiis equeſtribus præeſſet, electus erat. Poteſne dicere nobis, mi adoleſcens, quam-

ὅτου ἕνεκα ἐπεθύμησας ἱππαρχεῖν; οὐ γὰρ δὴ τοῦ πρῶτος τῶν ἱππέων ἐλαύνειν. καὶ γὰρ οἱ ἱπποτοξόται τούτου γε ἀξιοῦνται· προελαύνουσι γοῦν καὶ τῶν ἱππάρχων. ἀληθῆ λέγεις, ἔφη. ἀλλὰ μὴν οὐδὲ τοῦ γνωσθῆναί γε. ἐπεὶ καὶ οἱ μαινόμενοί γε ὑπὸ πάντων γιγνώσκονται. ἀληθὲς, ἔφη, καὶ τοῦτο λέγεις.

β'. Ἀλλ' ἆρα ὅτι τὸ ἱππικὸν οἴει τῇ πόλει βέλτιον ἂν ποιήσας παραδοῦναι, καὶ, εἴ τις χρεία γίγνοιτο ἱππέων, τούτων ἡγούμενος, ἀγαθοῦ τινος αἴτιος γενέσθαι τῇ πόλει; καὶ μάλα, ἔφη. Καὶ ἔστι γε νὴ Δί', ἔφη ὁ Σωκράτης, καλὸν, ἐὰν δύνῃ ταῦτα ποιῆσαι· ἡ δὲ ἀρχή που, ἐφ' ἧς ᾕρησαι, ἵππων τε καὶ ἀμβατῶν ἐστιν. ἔστι γὰρ οὖν, ἔφη.

γ'. Ἴθι δὴ λέξον ἡμῖν πρῶτον τοῦτο, ὅπως διανοῇ τοὺς ἵππους βελτίους ποιῆσαι. Καὶ ὅς, ἀλλὰ τοῦτο μὲν, ἔφη, οὐκ ἐμὸν οἶμαι τὸ ἔργον εἶναι, ἀλλὰ ἰδίᾳ ἕκαστον δεῖν τοῦ ἑαυτοῦ ἔργου ἐπιμελεῖσθαι.

δ'. Ἐὰν

quamobrem equitibus præesse concupiveris? Non enim ideo certe, ut equitum primus ipse equitares. Nam equites sagittarii illo dignantur, qui quidem etiam præfectos equitum præcedunt. Vere dicis, ait. Enimvero ne ideo quidem, ut notus esses: nam & furiosi omnibus noti sunt. Hoc etiam, inquit, vere dictum.

2. Num igitur propterea, quod equestres copias reipublicæ te meliores effectas traditurum existimas? atque ut, si forte opus fuerit equitibus, iis ita præsis, ut civitati boni alicujus autor sis? omnino, inquit. Egregium profecto quiddam hoc fuerit, ait Socrates, si præstare possis. Imperium vero, in quod electus es, equorum est & equitum. Ita scilicet est, inquit.

3. Age igitur, hoc primum nobis dicito, quo pacto equos te præstantissimos effecturum cogites. Et ille, Puto equidem, ait, meum non esse hoc munus, sed cuivis seorsim officium suum curandum esse.

δ'. Ἐὰν οὖν, ἔφη ὁ Σωκράτης, παρέχωνταί σοι τοὺς ἵππους, οἱ μὲν, οὕτω κακόποδας, ἢ κακοσκελεῖς, ἢ ἀσθενεῖς, οἱ δὲ, οὕτως ἀτρόφους, ὥστε μὴ δύνασθαι ἀκολουθεῖν, οἱ δὲ, οὕτως ἀναγώγους, ὥστε μὴ μένειν ὅπου ἂν σὺ τάξῃς, οἱ δὲ οὕτως λακτιστὰς, ὥστε μηδὲ τάξαι δυνατὸν εἶναι, τί σοι τοῦ ἱππικοῦ ὄφελος ἔσται; ἢ πῶς δυνήσῃ τοιούτων ἡγούμενος ἀγαθόν τι ποιῆσαι τὴν πόλιν; καὶ ὃς, ἀλλὰ καλῶς τε λέγεις, ἔφη, καὶ πειράσομαι τῶν ἵππων εἰς τὸ δυνατὸν ἐπιμελεῖσθαι.

ε'. Τί δέ; τοὺς ἱππέας οὐκ ἐπιχειρήσεις, ἔφη, βελτίονας ποιῆσαι; ἔγωγε, ἔφη. οὐκοῦν πρῶτον μὲν ἀναβατικωτέρους ἐπὶ τοὺς ἵππους ποιήσεις αὐτούς; δεῖ γοῦν, ἔφη. καὶ γὰρ εἴ τις αὐτῶν καταπέσοι, μᾶλλον ἂν οὕτως σώζοιτο.

ϛ'. Τί γάρ; ἐάν που κινδυνεύειν δέῃ, πότερον ἐπάγειν τοὺς πολεμίους ἐπὶ τὴν ἄμμον κελεύσεις, ἔνθαπερ εἰώθατε ἱππεύειν, ἢ πειράσῃ τὰς μελέτας ἐν τοιούτοις ποιεῖσθαι χωρίοις, ἐν οἵοισπερ οἱ πολέμιοι γίγνονται; βέλτιον γοῦν, ἔφη.

ζ'. Τί

4. Ergo si tibi, inquit Socrates, equos exhibeant alii tam vitiatis pedibus, tam ægris cruribus, tam imbecillos, alii tam male pastos, ut sequi non possint; alii tam contumaces, ut quo tu eos loco constitueris, manere nolint; alii tam calcitrosos, ut ne quidem constitui alicubi possint: quinam tibi hujusce equitatus erit usus? aut quomodo poteris, dum talibus præes, civitatem bono aliquo afficere? Tum ille, Præclare mones, inquit, conabor equidem pro meis viribus equorum habere curam.

5. Quid autem? non operam dabis, inquit, ut equites meliores efficias? Equidem, inquit. Ergo primum hoc efficies, ut in equos ascendendi sint peritiores. Hoc quidem necesse est, inquit. Nam si quis eorum decideret, multo magis hoc modo salvus evaserit.

6. Quid vero? sicubi periculum subeundum est, utrum hostes ad arenam jubebis adducere, ubi vos equitare consuevistis, an operâ dabis, ut iis in locis tales exercitationes instituantur, in quibus hostes esse solent? Melius hoc sane fuerit, inquit.

7. Quid

ζ'. Τί γάρ; τοῦ βάλλειν ὡς πλείστους ἀπὸ τῶν ἵππων ἐπιμέλειάν τινα ποιήσῃ; βέλτιον γοῦν, ἔφη, καὶ τοῦτο. Θήγειν τε τὰς ψυχὰς τῶν ἱππέων, καὶ ἐξοργίζειν πρὸς τοὺς πολεμίους, εἴπερ ἀλκιμωτέρους ποιεῖν διανενόησαι; εἰ δὲ μή, ἀλλὰ νῦν γε πειράσομαι, ἔφη.

η'. Ὅπως δέ σοι πείθωνται οἱ ἱππεῖς, πεφρόντικάς τι; ἄνευ γὰρ δὴ τούτου οὔτε ἵππων οὔτε ἱππέων ἀγαθῶν καὶ ἀλκίμων οὐδὲν ὄφελος. ἀληθῆ λέγεις, ἔφη. ἀλλὰ πῶς ἄν τις μάλιστα, ὦ Σώκρατες, ἐπὶ τοῦτο αὐτοὺς προτρέψαιτο;

θ'. Ἐκεῖνο μὲν δήπου οἶσθα, ὅτι ἐν παντὶ πράγματι οἱ ἄνθρωποι τούτοις μάλιστα ἐθέλουσι πείθεσθαι, οὓς ἂν ἡγῶνται βελτίστους εἶναι. καὶ γὰρ ἐν νόσῳ, ὃν ἂν ἡγῶνται ἰατρικώτατον εἶναι, τούτῳ μάλιστα πείθονται· καὶ ἐν πλοίῳ οἱ πλέοντες, ὃν ἂν κυβερνητικώτατον· καὶ ἐν γεωργίᾳ, ὃν ἂν γεωργικώτατον. καὶ μάλα, ἔφη. οὐκοῦν εἰκός, ἔφη, καὶ ἐν ἱππικῇ, ὃς ἂν μάλιστα εἰδὼς φαίνηται ἃ δεῖ ποιεῖν, τούτῳ μάλιστα ἐθέλειν τοὺς ἄλλους πείθεσθαι.

ι'. Ἐὰν

7. Quid autem? num ut quamplurimi ab equis dejiciantur, curæ tibi erit? Hoc quoque melius fuerit, ait. Etiam ut acuantur animi equitum, & irritentur adversus hostem, si quando hoc fortiores ipsos reddere animadvertisti? Si non hactenus, saltem nunc id aggrediar, inquit.

8. Ecquid vero curasti, ut tibi pareant equites? Nam absque illo, nec equorum, nec equitum bonorum ac fortium usus ullus erit. Vere dicis, ait, sed qua potissimum ratione, mi Socrates, ad hoc quis eos impulerit?

9. Nimirum nosti, quavis in re parere homines illis maxime velle, quos existimant esse præstantissimos. Nam in morbo potissimum illi parent, quem medicæ rei putant esse peritissimum; & in navi qui navigant, ei, quem gubernandi peritissimum; & in agricultura, quem agri colendi peritissimum. Omnino, inquit. Igitur consentaneum est, etiam in equestri re cæteros ei qui maxime scire videatur quæ facienda sint, maxime pariturος.

 10. Itaque

ι΄. Ἐὰν οὖν, ἔφη, ἐγὼ, ὦ Σώκρατες, βέλτιστος ἂν αὐτῶν δῆλος ὦ, ἀρκέσει μοι τοῦτο εἰς τὸ πείθεσθαι αὐτοὺς ἐμοί; ἐάν γε πρὸς τούτῳ, ἔφη, διδάξῃς αὐτοὺς, ὡς τὸ πείθεσθαί σοι κάλλιόν τε καὶ σωτηριώτερον αὐτοῖς ἔσται. πῶς οὖν, ἔφη, τοῦτο διδάξω; πολὺ νὴ Δί', ἔφη, ῥᾷον, ἢ εἴ σοι δέοι διδάσκειν, ὡς τὰ κακὰ τῶν ἀγαθῶν ἀμείνω καὶ λυσιτελέστερά ἐστι.

ια΄. Λέγεις, ἔφη, σὺ τὸν ἵππαρχον πρὸς τοῖς ἄλλοις ἐπιμελεῖσθαι δεῖν καὶ τοῦ λέγειν δύνασθαι; σὺ δ' ᾤου, ἔφη, χρῆναι σιωπῇ ἱππαρχεῖν; ἢ οὐκ ἐντεθύμησαι, ὅτι ὅσα τε νόμῳ μεμαθήκαμεν κάλλιστα ὄντα, δι' ὧν γε ζῆν ἐπιστάμεθα, ταῦτα πάντα διὰ λόγου ἐμάθομεν, καὶ εἴ τι ἄλλο καλὸν μανθάνει τις μάθημα, διὰ λόγου μανθάνει, καὶ οἱ ἄριστα διδάσκοντες, μάλιστα λόγῳ χρῶνται, καὶ οἱ τὰ σπουδαιότατα μάλιστα ἐπιστάμενοι, κάλλιστα διαλέγονται;

ιβ΄. Ἢ τόδε οὐκ ἐντεθύμησαι, ὡς ὅταν γε χορὸς εἷς

ἐκ

10. Itaque si ego, inquit, mi Socrates, præstantissimus eorum appaream, num ad hoc mihi sufficiet illud, ut mihi pareant? Siquidem præterea, inquit, docueris eos, fore melius ac salutarius, si tibi obtemperent. At quo pacto, inquit, hoc docebo? Multo facilius profecto, quam si docere te oporteat, mala meliora esse bonis atque utiliora.

11. Dicis tu, inquit, debere præfectum equitum præter alia curam adhibere, ut etiam dicendi facultatem habeat? tu vero existimabas, inquit, quod uti silentio sit equitibus imperare? Annon tecum cogitasti, nos ea universa, quæcunque optima lege didicimus, & per quæ vivendi modum tenemus, orationis ope didicisse, & siquam aliam bonam disciplinam aliquis discat, orationis ope discere; quodque doctores optimi sermone inprimis utantur, & qui dignissima cognitione tenent, pulcerrime disserant?

12. An id nunquam animadvertisti, quod quum chorus unus

ex

ἐκ τῆσδε τῆς πόλεως γίγνεται, ὥσπερ ὁ εἰς Δῆλον πεμπόμενος, οὐδεὶς ἄλλοθεν οὐδαμόθεν τούτῳ ἐφάμιλλος γίγνεται, οὐδὲ εὐανδρία ἐν ἄλλῃ πόλει ὁμοία τῇ ἐνθάδε συνάγεται; ἀληθῆ λέγεις, ἔφη.

ιγ'. Ἀλλὰ μὴν οὔτε εὐφωνίᾳ τοσοῦτον διαφέρουσιν Ἀθηναῖοι τῶν ἄλλων, οὔτε σωμάτων μεγέθει καὶ ῥώμῃ, ὅσον φιλοτιμίᾳ, ἥπερ μάλιστα παροξύνει πρὸς τὰ καλὰ καὶ ἔντιμα. ἀληθὲς, ἔφη, καὶ τοῦτο.

ιδ'. Οὐκοῦν οἴει, ἔφη, καὶ τοῦ ἱππικοῦ τοῦ ἐνθάδε εἴ τις ἐπιμεληθείη, ὡς πολὺ ἂν καὶ τοῦτο διενέγκοιεν τῶν ἄλλων, ὅπλων τε καὶ ἵππων παρασκευῇ, καὶ εὐταξίᾳ, καὶ τῷ ἑτοίμως κινδυνεύειν πρὸς τοὺς πολεμίους, εἰ νομίσαιεν ταῦτα ποιοῦντες ἐπαίνου καὶ τιμῆς τεύξεσθαι; εἰκός γε, ἔφη.

ιε'. Μὴ τοίνυν ὄκνει, ἔφη, ἀλλὰ πειρῶ τοὺς ἄνδρας ἐπὶ ταῦτα προτρέπειν, ἀφ' ὧν αὐτός τε ὠφεληθήσῃ, καὶ οἱ ἄλλοι πολῖται διὰ σέ. ἀλλὰ νὴ Δία πειράσομαι, ἔφη.

ΚΕΦ.

ex hac urbe efficitur, verbi caussa, qui in Delum mittitur, nullus aliunde huic æqualis instituatur; quodque tanta virorum præstantia in alia urbe nulla cogatur, quæ huic nostræ comparetur? Vere dicis, ait.

13. Atqui neque vocis elegantia tantum præstant Athenienses aliis, neque corporum magnitudine ac robore, quantum honoris studio, quod maxime ad præclara & honorifica mortales excitat. Etiam hoc, ait, verum est.

14. Ergone putas, inquit, etiam equestres copias, quæ hic sunt, si quis diligenter curet, longe præstaturas aliis armorum equorumque apparatu, ac ordine, & prompte pericula adversus hostes subeundo, si existimarent, hæc facientes, se laudem ac gloriam consequuturos? Hoc quidem est consentaneum, inquit.

15. Ergo ne cuncteris, ait, sed operam dato, ut homines ad ea propellas, de quibus & tibi & cæteris propter te civibus utilitas erit.

CAP.

ΚΕΦ. δ'.

Ἰδὼν δέ ποτε Νικομαχίδην ἐξ ἀρχαιρεσιῶν ἀπιόντα, ἤρετο· τίνες, ὦ Νικομαχίδη, στρατηγοὶ ᾕρηνται; καὶ ὅς, οὐ γὰρ, ἔφη, ὦ Σώκρατες, τοιοῦτοί εἰσιν Ἀθηναῖοι, ὥστε ἐμὲ μὲν οὐχ εἵλοντο, ὃς ἐκ καταλόγου στρατευόμενος κατατέτριμμαι, καὶ λοχαγῶν καὶ ταξιαρχῶν καὶ τραύματα ὑπὸ τῶν πολεμίων τοσαῦτα ἔχων· (ἅμα δὲ τὰς οὐλὰς τῶν τραυμάτων ἀπογυμνούμενος ἐπεδείκνυεν) Ἀντισθένην δὲ, ἔφη, εἵλοντο, τὸν οὔτε ὁπλίτην πώποτε στρατευσάμενον, ἔν τε τοῖς ἱππεῦσιν οὐδὲν περίβλεπτον ποιήσαντα, ἐπιστάμενόν τε ἄλλο οὐδὲν, ἢ χρήματα συλλέγειν.

β'. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, τοῦτο μὲν ἀγαθὸν, εἴγε τοῖς στρατιώταις ἱκανὸς ἔσται τὰ ἐπιτήδεια πορίζειν. καὶ γὰρ οἱ ἔμποροι, ἔφη ὁ Νικομαχίδης, χρήματα συλλέγειν ἱκανοί εἰσιν· ἀλλ' οὐχ ἕνεκα τούτου καὶ στρατηγεῖν δύναιντ' ἄν.

γ'. Καὶ

CAP. IV.

QUum autem aliquando Nicomachidem abeuntem è comitiis vidiſſet, interrogabat: quinam, mi Nichomachides, imperatores lecti ſunt? Et ilic, Annon tales ſunt, ait, Athenienſes, mi Socrates, ut me quidem non elegerint, qui ex delectus tabellis militans tum manipulos ducendo, tum cohortibus imperando, tum vulnera tot ab hoſtibus accipiendo, (ſimul ſe denudans, vulnerum cicatrices oſtendebat) jam confectus ſum: Antiſthenem vero legerunt, qui neque pedes unquam militavit, neque inter equites quidquam illuſtre geſſit, nihilque aliud novit, niſi pecuniam colligere.

2. Bonum vero id fuerit, inquit Socrates, poſſe militibus ipſum neceſſaria ſuppeditare. Enimvero, inquit Nicomachides, etiam mercatores pecuniam poſſunt colligere; neque tamen idcirco imperare poſſunt.

3. Etiam

γ'. Καὶ ὁ Σωκράτης ἔφη, ἀλλὰ καὶ φιλόνικος Ἀντισθένης ἐστίν, ὃ στρατηγῷ προσεῖναι ἐπιτήδειόν ἐστιν. οὐχ ὁρᾷς, ὅτι καὶ ὁσάκις κεχορήγηκε, πᾶσι τοῖς χοροῖς νενίκηκε; μὰ Δί', ἔφη ὁ Νικομαχίδης, ἀλλ' οὐδὲν ὅμοιόν ἐστιν χοροῦ τε καὶ στρατεύματος προεστάναι.

δ'. Καὶ μὴν, ἔφη ὁ Σωκράτης, οὐδὲ ᾠδῆς γε ὁ Ἀντισθένης, οὐδὲ χορῶν διδασκαλίας ἔμπειρος ὤν, ὅμως ἐγένετο ἱκανὸς εὑρεῖν τοὺς κρατίστους ταῦτα. καὶ ἐν τῇ στρατιᾷ οὖν, ἔφη ὁ Νικομαχίδης, ἄλλους μὲν εὑρήσει τοὺς τάξοντας ἀνθ' ἑαυτοῦ, ἄλλους δὲ τοὺς μαχουμένους.

ε'. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, ἐάν γε καὶ ἐν τοῖς πολεμικοῖς τοὺς κρατίστους, ὥσπερ ἐν τοῖς χορικοῖς, ἐξευρίσκῃ, καὶ προαιρῆται, εἰκότως ἂν καὶ τούτου νικηφόρος εἴη. καὶ δαπανᾶν δ' αὐτὸν εἰκὸς μᾶλλον ἂν ἐθέλειν εἰς τὴν ξὺν ὅλῃ τῇ πόλει τῶν πολεμικῶν νίκην, ἢ εἰς τὴν ξὺν τῇ φυλῇ τῶν χορικῶν.

ϛ'. Λέγεις σὺ, ἔφη, ὦ Σώκρατες, ὡς τοῦ αὐτοῦ ἀνδρός ἐστι χορηγεῖν

3. Etiam victoriæ cupidus est Antisthenes, ait Socrates, quod in imperatore necessario requiritur: annon vides eum, quoties chori dux fuit, omnibus choris vicisse? Profecto, inquit Nicomachides, nihil similitudinis habet chori & exercitus præfectura.

4. Atqui, ait Socrates, quum neque canendi, neque doctrinæ chororum peritus esset Antisthenes, tamen potuit reperire eos, qui in his optimi essent. Ergo & in exercitu, inquit Nicomachides, alios inveniet, qui ejus loco aciem struent, alios, qui pugnabunt.

5. Nimirum, ait Socrates, si etiam in rebus bellicis præstantissimos quosque perinde ac in iis, quæ ad chorum pertinent, repererit, ac præ aliis delegerit, consentaneum est, eum hac quoq; in parte victoriam reportaturum. Etiam credi par est, eum plus velle impendere in hanc rerum bellicarum victoriam cum civitate universa reportandam, quam in victoriam chori cum tribu sua partam.

6. Ain' tu, mi Socrates, inquit, ejusdem esse hominis, recte & choro

χορηγὸν τε καλῶς καὶ στρατηγόν; λέγω ἔγωγ', ἔφη, ὡς ὅτου ἄν τις προστατεύῃ, ἐὰν γιγνώσκῃ τε ὧν δεῖ, καὶ ταῦτα πορίζεσθαι δύνηται, ἀγαθὸς ἂν εἴη προστάτης· εἴτε χοροῦ, εἴτε οἴκου, εἴτε πόλεως, εἴτε στρατεύματος προστατεύει.

ζ'. Καὶ ὁ Νικομαχίδης, μὰ Δί', ἔφη, ὦ Σώκρατες, οὐκ ἄν ποτε ᾤμην ἐγώ σου ἀκοῦσαι, ὡς ἀγαθοὶ οἰκονόμοι ἀγαθοὶ στρατηγοὶ ἂν εἶεν. Ἴθι δή, ἔφη, ἐξετάσωμεν τὰ ἔργα ἑκατέρου αὐτῶν, ἵνα εἰδῶμεν, πότερον τὰ αὐτά ἐστιν, ἢ διαφέρει τι. πάνυ γε, ἔφη.

η'. Οὐκοῦν, ἔφη, τὸ μὲν τοὺς ἀρχομένους κατηκόους τε καὶ εὐπειθεῖς ἑαυτοῖς παρασκευάζειν, ἀμφοτέρων ἐστὶν ἔργον; καὶ μάλα, ἔφη. τί δέ, τὸ προστάττειν ἑκάστοις ἐπιτηδείους πράττειν; καὶ τοῦτο, ἔφη. καὶ μὴν καὶ τὸ τοὺς κακοὺς κολάζειν, καὶ τοὺς ἀγαθοὺς τιμᾶν ἀμφοτέροις οἶμαι προσήκειν. πάνυ μὲν οὖν, ἔφη.

θ'. Τὸ δὲ τοὺς ὑπηκόους εὐμενεῖς ποιεῖσθαι, πῶς οὐ καλὸν ἀμφοτέροις; καὶ τοῦτ', ἔφη. συμμάχους δὲ καὶ βοηθοὺς προσάγεσθαι,

choro & exercitui præesse? Aio equidem, inquit, illum, qui sciat, quibus sit opus, eaque comparare possit, cuicunque rei præsit, bonum præfectum esse; sive choro, seu domui, seu civitati, seu exercitui præsit.

7. Profecto, ait Nicomachides, nunquam de te auditurum me arbitrabar, mi Socrates, bonos patres-familias etiam bonos imperatores esse. Age igitur, inquit, utriusque officia indagemus, ut sciamus, eademne sint, an diversa. Omnino, ait.

8. Annon igitur utruisque officium est, ut imperio suo subjectos sibi morigeros & obsequentes reddat? Maxime, inquit. Quid? annon, ut singulis imperent ea quæ ipsos facere conveniat. Et hoc, inquit. Etiam illud utrique convenire arbitror, ut malos puniant, & honore afficiant bonos. Prorsus ita est, ait.

9. Subditos autem benevolos reddere, qui non utrique fuerit honestum? Ita est, inquit. Ut socios & auxiliatores adsciscant, num

γίνεσθαι, δοκεῖ σοι συμφέρειν ἀμφοτέροις, ἢ οὔ; πάνυ μὲν οὖν, ἔφη. ἀλλὰ φυλακτικοὺς τῶν ὄντων οὐκ ἀμφοτέρους εἶναι προσήκει; σφόδρα γ', ἔφη. οὐκοῦν καὶ ἐπιμελεῖς, καὶ φιλοπόνους ἀμφοτέρους εἶναι προσήκει περὶ τὰ αὐτῶν ἔργα;

ι'. Ταῦτα μὲν οὖν, ἔφη, πάντα ὁμοίως ἀμφοτέρων ἐστίν. ἀλλὰ τὸ μάχεσθαι, οὐκέτι ἀμφοτέρων. ἀλλ' ἐχθροί γέ τοι ἀμφοτέροις γίγνονται; καὶ μάλα, ἔφη, τοῦτό γε. οὐκοῦν τὸ περιγενέσθαι τούτων ἀμφοτέροις συμφέρει; πάνυ γ', ἔφη.

ια'. Ἀλλ', ἐκεῖνο παριείς, ἂν δέῃ μάχεσθαι, τί ὠφελήσει ἡ οἰκονομική; ἐνταῦθα δήπου καὶ πλεῖστον, ἔφη. ὁ γὰρ ἀγαθὸς οἰκονόμος εἰδώς, ὅτι οὐδὲν οὕτω λυσιτελές τε καὶ κερδαλέον ἐστίν, ὡς τὸ μαχόμενον τοὺς πολεμίους νικᾶν, οὐδὲ οὕτως ἀλυσιτελές τε καὶ ζημιῶδες, ὡς τὸ ἡττᾶσθαι, προθύμως μὲν τὰ πρὸς τὸ νικᾶν συμφέροντα ζητήσει καὶ παρασκευάσεται, ἐπιμελῶς δὲ τὰ πρὸς τὸ ἡττᾶσθαι φέροντα σκέψεται καὶ φυλάξεται· ἐνεργῶς δ', ἂν τὴν παρασκευὴν ὁρᾷ νικητικὴν οὖσαν, μαχεῖται· οὐχ ἥκιστα δὲ τούτων,

num utrique putas expedire, necne? Omnino, inquit. Nonne ad res ſuas cuſtodiendas utrumque idoneum eſſe convenit? Maxime, inquit. Ergo & diligentem & induſtrium in officiis ſuis oportet eſſe utrumque.

10. Hæc quidem omnia, inquit, pariter utriuſque ſunt officia: verum pugnare, non eſt utriuſque. Annon utrique hoſtes ſunt? Maxime, inquit. Ergone utrique expedit, ut his ſuperior evadat? Omnino inquit.

11. Verum, prætermiſſo illo, ſi pugnandum ſit, quid rei familiaris adminiſtrandæ ratio proderit? Ibidem etiam plurimum, inquit: nam bonus pater-familias, cum ſciat, nihil adeo utile ac fructuoſum eſſe, ac pugnando hoſtes vincere, neque quidquam eſſe tam inutile & damnoſum, ac ſuperari, prompte quæ ad vincendum conducunt, quæret & parabit; ac diligenter conſiderabit & cavebit, quæ ad hoc faciunt, ut vincantur: quumque videbit apparatum ad victoriam idoneum eſſe, viriliter dimicabit; at ſi imparatus

τούτων, ἐὰν ἀπαράσκευος ᾖ, φυλάξεται συνάπτειν μάχην.

ιβ'. Μὴ καταφρόνει, ἔφη, ὦ Νικομαχίδη, τῶν οἰκονομικῶν ἀνδρῶν· ἡ γὰρ τῶν ἰδίων ἐπιμέλεια πλήθει μόνον διαφέρει τῆς τῶν κοινῶν, τὰ δὲ ἄλλα παραπλήσια ἔχει· τὸ μέγιστον, ὅτι οὔτε ἄνευ ἀνθρώπων οὐδετέρα γίγνεται, οὔτε δι' ἄλλων μὲν ἀνθρώπων τὰ ἴδια πράττεται, δι' ἄλλων δὲ τὰ κοινά· οὐ γὰρ ἄλλοις τισὶν ἀνθρώποις οἱ τῶν κοινῶν ἐπιμελόμενοι χρῶνται, ἢ οἷσπερ τὰ ἴδια οἰκονομοῦντες, ὅσοι ἐπιστάμενοι χρῆσθαι, καὶ τὰ ἴδια καὶ τὰ κοινὰ καλῶς πράττουσιν· οἱ δὲ μὴ ἐπιστάμενοι, ἀμφοτέρωθι πλημμελοῦσι.

ΚΕΦ. ε'.

Περικλεῖ δέ ποτε, τῷ τοῦ πάνυ Περικλέους υἱῷ διαλεγόμενος, ἐγώ τοι, ἔφη, ὦ Περίκλεις, ἐλπίδα ἔχω, σοῦ στρατηγήσαντος ἀμείνω τε καὶ ἐνδοξοτέραν τὴν πόλιν εἰς τὰ πολεμικὰ ἔσεσθαι, καὶ τῶν πολεμίων κρατήσειν.

fuerit, prælium ne conferat, haud minus cavebit.

12. Ne tu, mi Nicomachides, inquit, homines familiaris rei administrandæ peritos contempseris. Nam cura rerum privatarum tantum à publicarum cura differt multitudine; cætera consimiles sunt. Quodque maximum est, neutra fit absque hominibus: neque per alios quidem homines privatæ, per alios autem publicæ res tractantur. Nam qui publica procurant, non aliis utuntur hominibus, quam quibus illi qui privata administrant: & qui norunt uti, tum privatas tum publicas res bene tractant; qui vero ignorant, utrinque peccant.

CAP. V.

Quum etiam aliquando cum Pericle, Periclis illius clarissimi filio dissereret, equidem, mi Pericles, ait, spero futurum, ut, te imperatore, meliorem honorabilioremque civitatem in rebus bellicis fore, hostesque superaturam.

τήσειν. καὶ ὁ Περικλῆς, βουλοίμην ἄν, ἔφη, ὦ Σώκρατες, ἃ λέγεις· ὅπως δὲ ταῦτα γένοιτ' ἄν, οὐ δύναμαι γνῶναι. βούλει οὖν, ἔφη ὁ Σωκράτης, διαλογιζόμενοι περὶ αὐτῶν ἐπισκοπῶμεν, ὅπου ἤδη τὸ δυνατόν ἐστιν; βούλομαι, ἔφη.

β'. Οὐκοῦν οἶσθα, ἔφη, ὅτι πλήθει μὲν οὐδὲν μείους εἰσὶν Ἀθηναῖοι Βοιωτῶν; οἶδα γὰρ, ἔφη. σώματα δὲ ἀγαθὰ καὶ καλὰ πότερον ἐκ Βοιωτῶν οἴει πλείω ἂν ἐκλεχθῆναι, ἢ ἐξ Ἀθηνῶν; οὐδὲ ταύτῃ μοι δοκοῦσι λείπεσθαι. εὐμενεστέρους δὲ ποτέρους ἑαυτοῖς εἶναι νομίζεις; Ἀθηναίους ἔγωγε. Βοιωτῶν μὲν γὰρ πολλοὶ πλεονεκτούμενοι ὑπὸ Θηβαίων, δυσμενῶς αὐτοῖς ἔχουσιν· Ἀθήνῃσι δὲ οὐδὲν ὁρῶ τοιοῦτον.

γ'. Ἀλλὰ μὴν φιλοτιμότατοί γε καὶ φιλοφρονέστατοι πάντων εἰσὶν, ἅπερ οὐχ ἥκιστα παροξύνει κινδυνεύειν ὑπὲρ εὐδοξίας τε καὶ πατρίδος. οὐδὲ ἐν τούτοις Ἀθηναῖοι μεμπτοί. καὶ μὴν προγόνων γε καλὰ ἔργα οὐκ ἔστιν οἷς μείζω καὶ πλείω ὑπάρχει,

peraturam. Velim, mi Socrates, inquit, quæ tu narras: verum quo pacto fieri possint, intelligere nequeo. Vis igitur, ait Socrates, de his disputando consideremus, quo pacto fieri possint? Volo, inquit.

2. Annon igitur nosti, ait, Athenienses multitudine Bœotis nequaquam inferiores esse? Novi, inquit. Utrum vero putas plura egregia pulcraque corpora deligi de Bœotis posse, an Athenis? Nec in hac quidem parte mihi videntur inferiores esse. Utros autem putas magis esse erga se benevolos? Athenienses equidem. Nam plerique Bœotorum quod à Thebanis circumveniantur, male erga ipsos affecti sunt: Athenis nihil ejusmodi video.

3. At enim honoris cupidissimi sunt omniumque amicissimi, quæ non parum excitant homines, ut pro gloria patriaque periculum adeant. Nec in hoc quidem Athenienses reprehendi possunt. Majorum quidem præclara facinora nulli nec insigniora nec plura habent,

ὑπάρχει, ἢ Ἀθηναίοις· ᾧ πολλοὶ ἐπαιρόμενοι προτρέπονταί τε ἀρετῆς ἐπιμελεῖσθαι, καὶ ἄλκιμοι γίγνεσθαι.

δ'. Ταῦτα μὲν ἀληθῆ λέγεις πάντα, ὦ Σώκρατες· ἀλλ' ὁρᾷς ὅτι ἀφ' οὗ ἥ τε σὺν Τολμίδῃ τῶν χιλίων ἐν Λεβαδείᾳ συμφορὰ ἐγένετο, καὶ ἡ μεθ' Ἱπποκράτους ἐπὶ Δηλίῳ, ἐκ τούτων τεταπείνωται μὲν ἡ τῶν Ἀθηναίων δόξα πρὸς τοὺς Βοιωτούς, ἐπῆρται δὲ τὸ τῶν Θηβαίων φρόνημα πρὸς τοὺς Ἀθηναίους· ὥστε Βοιωτοὶ μέν, οἱ πρόσθεν οὐδ' ἐν τῇ ἑαυτῶν τολμῶντες Ἀθηναίοις ἄνευ Λακεδαιμονίων τε καὶ τῶν ἄλλων Πελοποννησίων ἀντιτάττεσθαι, νῦν ἀπειλοῦσιν αὐτοὶ καθ' αὑτοὺς ἐμβαλεῖν εἰς τὴν Ἀττικήν. Ἀθηναῖοι δέ, οἱ πρότερον, ὅτε Βοιωτοὶ μόνοι ἐγένοντο, πορθοῦντες τὴν Βοιωτίαν, φοβοῦνται μὴ Βοιωτοὶ δηώσωσι τὴν Ἀττικήν.

ε'. Καὶ ὁ Σωκράτης, Ἀλλ' αἰσθάνομαι μέν, ἔφη, ταῦτα οὕτως ἔχοντα· δοκεῖ δέ μοι ἀνδρὶ ἀγαθῷ ἄρχοντι νῦν εὐαρεστοτέρως διακεῖσθαι ἡ πόλις. τὸ μὲν γὰρ θάρσος ἀμέλειάν τε καὶ ῥᾳθυμίαν καὶ ἀπείθειαν ἐμβάλλει, ὁ δὲ

φόβος

bent, quam Athenienses: quo multi accensi excitantur ad exercendam virtutem ac fortitudinem.

4. Vere tu quidem dicis hæc omnia, mi Socrates: sed ex quo illa mille militum strages cum Tolmide apud Lebadeam facta est, illaque apud Delium cum Hippocrate, exinde Atheniensium gloria apud Bœotos imminuta est, ita vero Thebanorum animi adversus Athenienses elati sunt, ut jam Bœoti, qui antea ne suis quidem in finibus absque Lacedæmoniis aliisque Peloponesiis aciem adversus Athenienses audebant opponere, nunc se suo Marte Atticam invasuros minitentur: Athenienses vero, qui prius, quum adhuc Bœoti soli essent, Bœotiam populabantur, nunc ne Atticam Bœoti vastent, metuant.

5. Et Socrates, Animadverto, inquit, hæc ita se habere: sed videtur mihi civitas nostra nunc animo benigniori erga virum bonum imperantem affecta. Nam fiducia negligentiam & ignaviam & inobedientiam parit; metus

autem

φόβος προσεκτικωτέρους τε καὶ εὐπειθεστέρους καὶ εὐτακτοτέρους ποιεῖ.

ϛʹ. Τεκμήριον δ' ἂν τοῦτο καὶ ἀπὸ τῶν ἐν ταῖς ναυσίν. ὅταν μὲν γὰρ δήπου μηδὲν φοβῶνται, μεστοί εἰσιν ἀταξίας. ὅταν δὲ ἢ χειμῶνα ἢ πολεμίους δείσωσιν, οὐ μόνον τὰ κελευόμενα πάντα ποιοῦσιν, ἀλλὰ καὶ σιγῶσι καραδοκοῦντες τὰ προσταχθησόμενα, ὥσπερ χορευταί.

ζʹ. Ἀλλὰ μήν, ἔφη ὁ Περικλῆς, εἴγε νῦν μάλιστα πείθοιντο, ὥρα ἂν εἴη λέγειν, πῶς ἂν αὐτοὺς προτρεψαίμεθα πάλιν* ἀνερεθισθῆναι τῆς ἀρχαίας ἀρετῆς τε, καὶ εὐκλείας, καὶ εὐδαιμονίας.

ηʹ. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἰ μὲν ἐβουλόμεθα χρημάτων αὐτοὺς, ὧν οἱ ἄλλοι εἶχον, ἀντιποιεῖσθαι, ἀποδεικνύντες αὐτοῖς ταῦτα πατρῷά τε ὄντα καὶ προσήκοντα, μάλιστα ἂν οὕτως αὐτοὺς ἐξορμῶμεν ἀντέχεσθαι τούτων. ἐπεὶ δὲ οὖν * μετ' ἀρετῆς πρωτεύειν αὐτοὺς ἐπιμελεῖσθαι βουλόμεθα, τοῦτ' αὖ δεικτέον ἐκ παλαιοῦ μάλιστα προσῆκον αὐτοῖς, καὶ ὡς τούτου ἐπιμελούμενοι, πάντων ἂν εἶεν κράτιστοι.

θʹ. Πῶς

autem homines attentiores, obedientiores, magiſque compoſitos reddit.

6. Hujus argumentum de nautis ſumas: nam ubi nihil metuunt, confuſionis omnia plena: at ubi vel tempeſtatem vel prælium verentur, non ſolum imperata cuncta faciunt, ſed etiam cum ſilentio quid mandetur, ſollicite expectant, inſtar eorum qui choros agunt.

7. Enimvero, inquit Pericles, ſi jam maxime parituri ſint, opportunum fuerit diſſerere, quo pacto eos hortemur, ut rurſus à virtute, gloria, felicitateque priſtina excitentur.

8. Ergo, ait Socrates, ſi velimus eos opes ſibi vendicare, quas habebant alii, maxime ad has repetendas incitaremus, ſi oſtenderemus has illis paternas eſſe ac peculiares. Quia vero volumus eos operam dare, ut virtute primas obtineant, demonſtrandum erit, hoc ipſum jam olim ad ipſos pertinere, quodque ſi in hoc incumbant, omnium fuerint præſtantiſſimi.

9. At

θ'. Πῶς οὖν ἂν τοῦτο διδάσκοιμεν; οἶμαι μέν, εἰ τούς γε παλαιοτάτους, ὧν ἀκούομεν, προγόνους αὐτῶν ἀναμιμνήσκοιμεν αὐτούς, ἀκηκοότας ἀρίστους γεγονέναι.

ι'. Ἆρα λέγεις τὴν τῶν Θεῶν κρίσιν, ἣν οἱ περὶ Κέκροπα δι' ἀρετὴν ἔκριναν; λέγω γάρ, καὶ τὴν Ἐρεχθέως γε τροφὴν καὶ γένεσιν, καὶ τὸν πόλεμον τὸν ἐπ' ἐκείνου γενόμενον πρὸς τοὺς ἐκ τῆς ἐχομένης ἠπείρου πάσης, καὶ τὸν ἐφ' Ἡρακλειδῶν πρὸς τοὺς ἐν Πελοποννήσῳ, καὶ πάντας τοὺς ἐπὶ Θησέως πολεμηθέντας, ἐν οἷς πᾶσιν ἐκεῖνοι δῆλοι γεγόνασι τῶν καθ' ἑαυτοὺς ἀνθρώπων ἀριστεύσαντες.

ια'. Εἰ δὲ βούλει ἃ ὕστερον οἱ ἐκείνων μὲν ἀπόγονοι, οὐ πολὺ δὲ πρὸ ἡμῶν γεγονότες ἔπραξαν, τὰ μὲν αὐτοὶ καθ' ἑαυτοὺς ἀγωνιζόμενοι πρὸς τοὺς κυριεύοντας τῆς τε Ἀσίας πάσης καὶ τῆς Εὐρώπης μέχρι Μακεδονίας, καὶ πλείστην τῶν προγεγονότων δύναμιν καὶ ἀφορμὴν κεκτημένους, καὶ μέγιστα ἔργα κατειργασμένους· τὰ δὲ καὶ μετὰ Πελο-

9. At quomodo poſſimus hoc docere? Sic arbitror, ſi majores ipſorum longe antiquiſſimos, de quibus accepimus, in memoriam eis revocemus, quod nimirum audiverint eos fuiſſe optimos.

10. Num de judicio Deorum loqueris, quod ob virtutem Cecrops cum ſuis fecit? De hoc ipſo loquor, & de educatione ac ortu Erecthei, de bello, quod ejus tempore coortum fuit adverſus incolas totius proximæ continentis, & de illo, quod Herculis nepotum tempeſtate contra Peloponneſios eſt ſuſceptum; de bellis denique omnibus, quæ ſub Theſeo geſta ſunt, in quibus univerſis tales illi ſe declararunt, qui ætatis ſuæ hominibus longe præſtarent.

11. Adde, ſi placet quæ deinde illorum nepotes geſſere, qui non ita multum ante nos vixere, dum partim ipſi per ſe dimicarunt adverſus eos qui Aſiæ univerſæ ac Europæ ad Macedoniam uſque dominabantur, maximamq; priorum hominum potentiam atque opes poſſidebant, ac res maximas gerebant: partim etiam cum Pelo-

Πελοποννησίων ἀριστεύοντες καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, οἳ δὴ καὶ λέγονται πολὺ διενεγκεῖν τῶν καθ' ἑαυτοὺς ἀνθρώπων. λέγονται γάρ, ἔφη.

ιβ'. Τοιγαροῦν πολλῶν μὲν μεταναστάσεων ἐν τῇ Ἑλλάδι γιγνομένων, διέμενον ἐν τῇ ἑαυτῶν· πολλοὶ δὲ ὑπὲρ δικαίων ἀντιλέγοντες, ἐπέτρεπον ἐκείνοις· πολλοὶ δὲ ὑπὸ κρειττόνων ὑβριζόμενοι, κατέφευγον πρὸς ἐκείνους.

ιγ'. Καὶ ὁ Περικλῆς, καὶ θαυμάζω γε, ἔφη, ὦ Σώκρατες, ἡ πόλις ὅπως ποτ' ἐπὶ τὸ χεῖρον ἔκλινεν. ἐγὼ μὲν οἶμαι, ἔφη ὁ Σωκράτης, ὥσπερ καὶ ἄλλοι τινές, διὰ τὸ πολὺ ὑπερενεγκεῖν καὶ κρατιστεῦσαι, καταραθυμήσαντες ὑστερίζουσι τῶν ἀντιπάλων, οὕτω καὶ Ἀθηναίους πολὺ διενεγκόντας ἀμελῆσαι ἑαυτῶν, καὶ διὰ τοῦτο χείρους γεγονέναι.

ιδ'. Νῦν οὖν, ἔφη, τί ἂν ποιοῦντες ἀναλάβοιεν τὴν ἀρχαίαν ἀρετήν; καὶ ὁ Σωκράτης, οὐδὲν ἀπόκρυφον δοκεῖ μοι εἶναι· ἀλλ' εἰ μὲν ἐξευρόντες τὰ τῶν προγόνων ἐπιτηδεύματα, μηδὲν χεῖρον ἐκείνων ἐπιτηδεύοιεν, οὐδὲν ἂν χείρους ἐκείνων γενέσθαι·

Peloponnesiis fortiter se gesserunt terra & mari, quum quidem hi longe præstitisse suæ ætatis hominibus dicantur. Ita dicuntur, ait.

12. Quapropter quum multæ in Græcia migrationes acciderent, illi suo in agro permanserunt: quum inter se multi de jure disceptarent, ipsorum arbitrio controversias permittebant: quum multi à potentioribus injuria afficerentur, ad eos confugiebant.

13. Tum Pericles, equidem miror, inquit, mi Socrates, quo pacto civitas hæc in pejus prolapsa sit. Arbitror, inquit Socrates, perinde ac alii quoque nonnulli ob multam suam præstantiam potentiamque desides facti, minus tandem adversariis valent; sic & Athenienses, quum longe præstarent aliis, seipsos neglexisse, ac propterea evasisse pejores.

14. Quid igitur faciendum jam esset, ut virtutem pristinam recuperarent? Et Socrates: id nemini occultum esse arbitror. Nimirum si cognitis majorum suorum institutis, nihil pejus quam illi essent operati, non essent eis pejores:

νέσθαι. εἰ δὲ μὴ, τούς γε νῦν πρωτεύοντας μιμούμενοι, καὶ τούτοις τὰ αὐτὰ ἐπιτηδεύοντες, ὁμοίως μὲν τοῖς αὐτοῖς χρώμενοι, οὐδὲν ἂν χείρους ἐκείνων εἶεν· εἰ δ' ἐπιμελέστερον, καὶ βελτίους.

ιε'. Λέγεις, ἔφη, πόῤῥω που εἶναι τῇ πόλει τὴν καλοκαγαθίαν. πότε γὰρ οὕτως Ἀθηναῖοι, ὥσπερ Λακεδαιμόνιοι, ἢ πρεσβυτέρους αἰδέσονται, οἳ ἀπὸ τῶν πατέρων ἄρχονται καταφρονεῖν τῶν γεραιτέρων; ἢ σωμασκήσουσιν οὕτως, οἳ οὐ μόνον αὐτοὶ εὐεξίας ἀμελοῦσιν, ἀλλὰ καὶ τῶν ἐπιμελουμένων καταγελῶσι;

ιϛ'. Πότε δὲ οὗτοι πείσονται τοῖς ἄρχουσιν, οἳ καὶ ἀγάλλονται ἐπὶ τῷ καταφρονεῖν τῶν ἀρχόντων; ἢ πότε οὕτως ὁμονοήσουσιν, οἵγε ἀντὶ μὲν τοῦ συνεργεῖν ἑαυτοῖς τὰ συμφέροντα, ἐπηρεάζουσιν ἀλλήλοις, καὶ φθονοῦσιν ἑαυτοῖς μᾶλλον, ἢ τοῖς ἄλλοις ἀνθρώποις; μάλιστα δὲ πάντων ἔν τε ταῖς ἰδίαις συνόδοις, καὶ ταῖς κοιναῖς διαφέρονται, καὶ πλείστας δίκας ἀλλήλοις δικάζονται, καὶ προαιροῦνται μᾶλλον οὕτω κερδαίνειν ἀπ' ἀλλήλων,

ἢ

jores: ſin minus, ſaltem eos imitando qui nunc primas tenent, & eorundem inſtitutis inhærendo, ſi quidem id pari facerent induſtria, nihilo deteriores illis eſſent; ſin majori, etiam meliores.

15. Dicis, ait, longe à civitate noſtra abeſſe virtutem. Nam quando tandem Athenienſes, ita, ut Lacedæmonii, vel natu grandiores reverebuntur, quum ab ipſis patribus ordiantur ſeniores contemnere? vel corporis exercitiis utentur, quum non ſolum ipſi bonam corporis conſtitutionem parvi faciant, ſed etiam illos irrideant, qui curam ejus habent?

16. Quando magiſtratibus obtemperabunt, qui gloriantur etiam propterea, quod magiſtratus contemnant? quando concordes erunt, qui pro ſtudio juvandi ſe invicem, injuriis ſeſe afficiunt, & magis invident ſibi, quam cæteris hominibus? qui omnium maxime tum in privatis tum publicis congreſſibus inter ſe diſſident, liteſque invicem ſibi plurimas movent, maluntque ſic alter ab altero quid lucrari,

quam

ἢ συνωφελοῦντες αὐτούς; τοῖς δὲ κοινοῖς ὥσπερ ἀλλοτρίοις χρώμενοι, περὶ τούτων αὖ μάχονται, καὶ ταῖς εἰς τὰ τοιαῦτα δυνάμεσι μάλιστα χαίρουσιν;

ιζ΄. Ἐξ ὧν πολλὴ μὲν ἀπειρία καὶ κακία τῇ πόλει ἐμφύεται, πολλὴ δὲ ἔχθρα καὶ μῖσος ἀλλήλων τοῖς πολίταις ἐγγίνεται· δι' ἃ ἔγωγε μάλιστα φοβοῦμαι ἀεὶ μή τι μεῖζον, ἢ ὥστε φέρειν δύνασθαι, κακὸν τῇ πόλει συμβῇ.

ιη΄. Μηδαμῶς, ἔφη ὁ Σωκράτης, ὦ Περίκλεις, οὕτως ἡγοῦ ἀνηκέστῳ πονηρίᾳ νοσεῖν Ἀθηναίους. οὐχ ὁρᾷς, ὡς εὔτακτοι μέν εἰσιν ἐν τοῖς ναυτικοῖς, εὐτάκτως δ' ἐν τοῖς γυμνικοῖς ἀγῶσι πείθονται τοῖς ἐπιστάταις, οὐδένων δὲ καταδεέστερον ἐν τοῖς χοροῖς ὑπηρετοῦσι τοῖς διδασκάλοις;

ιθ΄. Τοῦτο γάρ τοι, ἔφη, καὶ θαυμαστόν ἐστι, τὸ τοὺς μὲν τοιούτους πειθαρχεῖν τοῖς ἐφεστῶσι, τοὺς δὲ ὁπλίτας καὶ τοὺς ἱππέας, οἳ δοκοῦσι καλοκαγαθίᾳ προκεκρίσθαι τῶν πολιτῶν, ἀπειθεστάτους εἶναι πάντων.

κ΄. Καὶ ὁ Σωκράτης ἔφη, ἡ δὲ ἐν Ἀρείῳ πάγῳ βουλὴ, ὦ Περί-

quam mutuo sibi prodesse? qui communibus rebus perinde utuntur ac alienis, deque iis rixantur, & viribus ad res hujuscemodi maxime gaudent?

17. De quibus sane magna inscitia & vitiositas in republica oritur, magnæque inimicitiæ ac odia mutua inter cives nascuntur. Quas ob res equidem vehementer metuere non desino, nequod respublica detrimentum capiat majus, quam quod tolerare possit.

18. Nequaquam, mi Pericles, existimaveris Athenienses incurabili perversitate laborare, subjecit Socrates. Annon vides, quam composite se nauticis in rebus gerant, quam composite gymnicis in certaminibus præfectis obediant, quam nullo modo deficienter subserviant magistris in choris?

19. Est hoc certe mirum, ait, quod tales præfectis obediant, quum interim pedites & equites, qui virtute civibus cæteris præstare videntur, longe omnium sint inobedientissimi.

20. Et Socrates: at vero is, qui est in Areopago senatus, mi Peri-

Περικλεῖς, οὐκ ἐκ τῶν δεδοκιμασμένων καθίσταται; καὶ μάλα, ἔφη. οἶσθα οὖν τινας, ἔφη, κάλλιον, ἢ νομιμώτερον, ἢ σεμνότερον, ἢ δικαιότερον τάς τε δίκας δικάζονται, καὶ τἆλλα πάντα πράττονται; οὐ μέμφομαι, ἔφη, τούτοις. οὐ τοίνυν, ἔφη, δεῖ ἀθυμεῖν, ὡς οὐκ εὐτάκτων ὄντων Ἀθηναίων.

κα'. Καὶ μὴν ἔν γε τοῖς στρατιωτικοῖς, ἔφη, ἔνθα μάλιστα δεῖ σωφρονεῖν τε, καὶ εὐτακτεῖν, καὶ πειθαρχεῖν, οὐδενὶ τούτων προσέχουσιν. ἴσως γάρ, ἔφη ὁ Σωκράτης, ἐν τούτοις οἱ ἥκιστα ἐπιστάμενοι ἄρχουσιν αὐτῶν. οὐχ ὁρᾷς, ὅτι κιθαριστῶν μέν, καὶ χορευτῶν, καὶ ὀρχηστῶν οὐδὲ εἷς ἐπιχειρεῖ ἄρχειν μὴ ἐπιστάμενος, οὐδὲ παλαιστῶν, οὐδὲ παγκρατιαστῶν· ἀλλὰ πάντες, ὅσοι τούτων ἄρχουσιν, ἔχουσι δεῖξαι ὁπόθεν ἔμαθον ταῦτα, ἐφ᾽ οἷς ἐφεστᾶσι· τῶν δὲ στρατηγῶν οἱ πλεῖστοι αὐτοσχεδιάζουσιν;

κβ'. Οὐ μέντοι σέ γε τοιοῦτον ἐγὼ νομίζω εἶναι, ἀλλ᾽ οἶμαί σε οὐδὲν ἧττον ἔχειν εἰπεῖν, ὁπότε στρατηγεῖν, ἢ ὁπότε παλαίειν

Pericles, annon ex probatis hominibus constat? Omnino, inquit. An igitur nosti aliquos, ait, qui vel honestius, vel magis legitime, vel gravius, vel æquius lites judicent, aliaque cuncta gerant? Nihil, inquit, de iis queror. Non igitur animum despondere oportet, quasi Athenienses composite se gerere nequeant.

21. At in re militari, inquit, ubi maxime decet se sobrie, composite, atque obedienter gerere, nihil horum curant. Fortassis, ait Socrates, in his præsunt eis homines minime periti. Annon vides neminem citharædorum, & eorum qui choros agunt, & pugilum, & pancratiastarum conari, ut imperet, siquidem imperitus sit; sed omnes quotquot his præsunt, posse commonstrare, à quibus ea didicerint, quibus sunt præpositi: quum interim plerique imperatorum temere munus hoc capessant?

22. Te quidem minime talem esse arbitror, sed opinor te non minus posse dicere, quo tempore imperandi, quam quo luctandi artem

παλαίειν ἤρξω μανθάνειν. καὶ πολλὰ μὲν οἶμαί σε τῶν πατρῴων στρατηγημάτων παρειληφότα διασώζειν, πολλὰ δὲ πανταχόθεν συνενηνοχέναι, ὁπόθεν οἷόν τε ἦν μαθεῖν τι ὠφέλιμον εἰς στρατηγίαν.

κγ'. Οἶμαι δέ σε πολλὰ μεριμνᾷν, ὅπως μὴ λάθῃς σεαυτὸν ἀγνοῶν τι τῶν εἰς στρατηγίαν ὠφελίμων, καὶ ἐάν τι τοιοῦτον αἰσθῇ σεαυτὸν μὴ εἰδότα, ζητεῖν τοὺς ἐπισταμένους ταῦτα, οὔτε δώρων οὔτε χαρίτων φειδόμενον, ὅπως μάθῃς παρ' αὐτῶν, ἃ μὴ ἐπίστασαι, καὶ συνεργοὺς ἀγαθοὺς ἔχῃς.

κδ'. Καὶ ὁ Περικλῆς, οὐ λανθάνεις με, ὦ Σώκρατες, ἔφη, ὅτι οὐδ' οἰόμενός με τούτων ἐπιμελεῖσθαι, ταῦτα λέγεις, ἀλλ' ἐγχειρῶν με διδάσκειν, ὅτι τὸν μέλλοντα στρατηγεῖν τούτων ἁπάντων ἐπιμελεῖσθαι δεῖ.

κε'. Ὁμολογῶ μέντοι κἀγώ σοι ταῦτα. τοῦτο δ', ἔφη, ὦ Περίκλεις, κατανενόηκας, ὅτι πρόκειται τῆς χώρας ἡμῶν ὄρη μεγάλα, καθήκοντα ἐπὶ τὴν Βοιωτίαν, δι' ὧν εἰς τὴν χώραν εἴσοδοι

artem discere occeperis. Multa etiam te imperatoria consilia de patre accepta tenere puto, multa undecunque congessisse, unde disci abs te poterat aliquid, quod ad imperatoriam artem conferret.

23. Præterea te arbitror valde sollicitum esse, ne teipsum lateas ignorans aliquid eorum quæ ad munus imperatoris pertinent; ac siquid ejusmodi nescire te animadvertis, id à peritis inquirere, neque muneribus neque gratiis parcentem, ut ab eis discas, quæ nescis, & egregios coadjutores habeas.

24. Tum Pericles, non me clam est, mi Socrates, ait, hæc te dicere, ne quidem existimantem me his studere, sed conantem me docere, quod siquis velit exercitum ducere, horum omnium habenda ei sit cura.

25. Equidem hoc tibi fateor. Cæterum animadvertisti, mi Pericles, ait, magnos quosdam montes ante nostram regionem sitos esse, ad Bœotiam usque pertinentes, per quos in agrum nostrum

εἴσοδοι στεναί τε καὶ προσάντεις εἰσί, καὶ ὅτι μέση διέζωσται ὄρεσιν ἐρυμνοῖς; καὶ μάλα, ἔφη.

κϛ'. Τί δέ γε, ἐκεῖνο ἀκήκοας, ὅτι Μυσοὶ, καὶ Πισίδαι, ἐν τῇ βασιλέως χώρᾳ κατέχοντες ἐρυμνὰ πάνυ χωρία, καὶ κούφως ὡπλισμένοι, δύνανται πολλὰ μὲν τὴν βασιλέως χώραν καταθέοντες κακοποιεῖν, αὐτοὶ δὲ ζῆν ἐλεύθεροι; καὶ τοῦτό γε, ἔφη, ἀκούω.

κζ'. Ἀθηναίους δ' οὐκ ἂν οἴει, ἔφη, μέχρι τῆς ἐλαφρᾶς ἡλικίας ὡπλισμένους κουφοτέροις ὅπλοις, καὶ τὰ προκείμενα τῆς χώρας ὄρη κατέχοντας, βλαβεροὺς μὲν τοῖς πολεμίοις εἶναι, μεγάλην δὲ προβολὴν τοῖς πολίταις τῆς χώρας κατεσκευάσθαι; καὶ ὁ Περικλῆς, πάντ' οἶμαι, ἔφη, ὦ Σώκρατες, καὶ ταῦτα χρήσιμα εἶναι.

κη'. Εἰ τοίνυν, ἔφη ὁ Σωκράτης, ἀρέσκει σοι ταῦτα, ἐπιχείρει αὐτοῖς, ὦ ἄριστε· ὅ,τι μὲν γὰρ ἂν τούτων καταπράξῃς, καὶ σοὶ καλὸν ἔσται, καὶ τῇ πόλει ἀγαθόν· ἐὰν δέ τι ἀδυνατῇς, οὔτε τὴν πόλιν βλάψεις, οὔτε σαυτὸν καταισχυνεῖς.

ΚΕΦ.

ſtrum aditus arcti & ardui ſunt, cumque medium cinctum eſſe montibus inacceſſis? Omnino, inquit.

26. Quid? an & illud audiviſti, Myſos ac Piſidas, qui Regis Perſici in ditione munitiſſima tenent loca, armatique ſunt leviter, multum infeſtare Regis agrum percurrendo poſſe, quum interim ipſi libertate fruantur? Etiam hoc audio, inquit.

27. Et non exiſtimas, inquit, Athenienſes leviori armatura ad ætatem uſque agilem uſos, quum montes regioni prætentos habeant, hoſtibus quidem detrimento, civibus autem ſui agri magno fore propugnaculo? Tum Pericles, etiam hæc omnia, mi Socrates, inquit, eſſe utilia duco.

28. Ergo, ſubjecit Socrates, ſi hæc tibi placent, aggredere tandem ea. Nam quicquid horum perfeceris, id & tibi præclarum, & utile reipublicæ fuerit. Quod ſi minus queas, non tamen vel reipublicæ quid detrimenti afferes, vel opprobrii tibi.

CAP.

ΚΕΦ. ϛ'.

Γλαύκωνα δὲ τὸν Ἀρίστωνος, (ὅτ' ἐπεχείρει δημηγορεῖν, ἐπιθυμῶν προστατεύειν τῆς πόλεως, οὐδέπω εἴκοσιν ἔτη γεγονὼς) ὄντων ἄλλων οἰκείων καὶ φίλων, οὐδεὶς ἐδύνατο παῦσαι, ἑλκόμενόν τε ἀπὸ τοῦ βήματος, καὶ καταγέλαστον ὄντα· Σωκράτης δὲ εὔνους ὢν αὐτῷ διά τε Χαρμίδην τὸν Γλαύκωνος, καὶ διὰ Πλάτωνος, μόνος ἔπαυσεν.

β'. Ἐντυχὼν γὰρ αὐτῷ, πρῶτον μὲν εἰς τὸ ἐθελῆσαι ἀκούειν, τοιάδε λέξας, κατέσχεν· ὦ Γλαύκων, ἔφη, προστατεύειν ἡμῖν διανενόησαι τῆς πόλεως; ἔγωγ', ἔφη, ὦ Σώκρατες. νὴ Δί', ἔφη· καλὸν γὰρ, εἴπερ τι καὶ ἄλλο τῶν ἐν ἀνθρώποις. δῆλον γὰρ, ὅτι ἐὰν τοῦτο διαπράξῃς, δυνατὸς μὲν ἔσῃ αὐτὸς τυγχάνειν ὅτου ἂν ἐπιθυμῇς, ἱκανὸς δὲ τοὺς φίλους ὠφελεῖν, ἐπαρεῖς δὲ τὸν πατρῷον οἶκον, αὐξήσεις δὲ τὴν πατρίδα, ὀνομαστὸς δ' ἔσῃ πρῶτον μὲν ἐν τῇ πόλει, ἔπειτα δ' ἐν τῇ Ἑλλάδι

CAP. VI.

CÆterum Glauconem Aristonis filium, (quum is necdum viginti natus annos concionari aggrederetur, & præesse civitati cuperet) nemo dissuadere poterat, quanquam alios & propinquos & amicos haberet, ac de tribunali detraheretur, planeque ridiculus esset: Socrates vero, qui ei benevolus esset, ob Charmidem Glauconis filium, & ob Platonem, solus dissuasit.

2. Nam quum in eum incidisset, primo quidem ut vellet audire, hujuscemodi verbis detinuit: præesse civitati nostræ cogitas, inquit, mi Glauco? Equidem, mi Socrates, inquit. Profecto, ait, siquid aliud humanis in rebus, hoc certe præclarum est. Perspicuum est enim, quod, si hoc impetrabis, poteris ipse consequi quæcunque concupiveris, amicos juvare, domum paternam extollere, patriam amplificare, atque celebris efficieris primum in hac urbe, deinde in Græcia,

Ἑλλάδι, ἴσως δέ, ὥσπερ Θεμιστοκλῆς, καὶ ἐν τοῖς βαρβάροις· ὅπου δ' ἂν ᾖς, πανταχοῦ περίβλεπτος ἔσῃ.

γ'. Ταῦτ' οὖν ἀκούων ὁ Γλαύκων ἐμεγαλύνετο, καὶ ἡδέως παρέμενε. μετὰ δὲ ταῦτα ὁ Σωκράτης, οὐκοῦν, ἔφη, τοῦτο μέν, ὦ Γλαύκων, δῆλον, ὅτι εἴπερ τιμᾶσθαι βούλει, ὠφελητέα σοι ἡ πόλις ἐστίν· πάνυ μὲν οὖν, ἔφη. πρὸς Θεῶν, ἔφη, μὴ τοίνυν ἀποκρύψῃ, ἀλλ' εἰπὲ ἡμῖν, ἐκ τίνος ἄρξῃ τὴν πόλιν εὐεργετεῖν.

δ'. Ἐπεὶ δὲ ὁ Γλαύκων διεσιώπησεν, ὡς ἂν τότε σκοπῶν ὁπόθεν ἄρχοιτο· ἆρ', ἔφη ὁ Σωκράτης, ὥσπερ φίλου οἶκον εἰ αὐξῆσαι βούλοιο, πλουσιώτερον αὐτὸν ἐπιχειροίης ἂν ποιεῖν, οὕτω καὶ τὴν πόλιν πειράσῃ πλουσιωτέραν ποιῆσαι; πάνυ μὲν οὖν, ἔφη.

ε'. Οὐκοῦν πλουσιωτέρα γ' ἂν εἴη, προσόδων αὐτῇ πλειόνων γενομένων; εἰκὸς γοῦν, ἔφη. λέξον δή, ἔφη, ἐκ τίνων νῦν αἱ πρόσοδοι τῇ πόλει, καὶ πόσαι τινές εἰσι. δῆλον γάρ, ὅτι ἔσκεψαι, ἵνα εἰ μέν τινες αὐτῶν ἐνδεῶς ἔχουσιν, ἐκπληρώσῃς·

εἰ

Græcia, ac fortaſſis etiam, uti Themiſtocles, apud barbaros: ubicunque autem fueris, nuſquam non eris illuſtris.

3. Hæc quum audiret Glauco, efferebatur animo, lubenterq; manebat. Socrates vero deinde, Planum eſt igitur, ait, mi Glauco, neceſſarium eſſe, ut ſi quidem eſſe in honore velis, aliquam reipublicæ utilitatem afferas. Omnino, ait. Non igitur rem celaveris, per Deos, inquit Socrates, ſed dicito nobis, unde incipies civitati benefacere.

4. Heic quum Glauco ſubticeret, ut qui tum conſideraret, unde potiſſimum inciperet: Annon, ait Socrates, perinde ac, dum amici domum vis amplificare, locupletiorem efficere niteris, ita & civitatem conaberis opulentiorem reddere? Omnino, inquit.

5. Fueritne igitur opulentior, ſi proventus ei plures accedant? Conſentaneum quidem, ait. Dic ergo, quibus ex rebus civitas hæc proventus habeat, & quanti ſint: nam planum eſt, hæc te conſideraſſe, ut ſi quidam ex eis exigui ſint, eos tu expleas; ſi

qui

εἰ δὲ παραλείπονται, προσαποδείσης. Ἀλλὰ μὰ Δί', ἔφη ὁ Γλαύκων, ταῦτά γε οὐκ ἐπέσκεμμαι.

ϛʹ. Ἀλλ' εἰ τοῦτο, ἔφη, παρέλιπες, τάς γε δαπάνας τῆς πόλεως ἡμῖν εἰπέ· δῆλον γάρ, ὅτι καὶ τούτων τὰς περιττὰς ἀφαιρεῖν διανοῇ. Ἀλλὰ μὰ πρὸς τὸν Δί', ἔφη, οὐδὲ πρὸς ταῦτά πω ἐσχόλασα. οὐκοῦν, ἔφη, τὸ μὲν πλουσιωτέραν τὴν πόλιν ποιεῖν ἀναβαλούμεθα· πῶς γὰρ οἷόν τε μὴ εἰδότα γε τὰ ἀναλώματα καὶ τὰς προσόδους, ἐπιμεληθῆναι τούτων;

ζʹ. Ἀλλ', ὦ Σώκρατες, ἔφη ὁ Γλαύκων, δυνατόν ἐστι καὶ ἀπὸ πολεμίων τὴν πόλιν πλουτίζειν. νὴ Δία σφόδρα γ', ἔφη ὁ Σωκράτης, ἐάν τις αὐτῶν κρείττων ᾖ· ἥττων δὲ ὢν καὶ τὰ οἰκεῖα προσαποβάλοι ἄν. ἀληθῆ λέγεις, ἔφη.

ηʹ. Οὐκοῦν, ἔφη, τόν γε βουλευσόμενον πρὸς οὕστινας δεῖ πολεμεῖν, τήν τε τῆς πόλεως δύναμιν καὶ τὴν τῶν ἐναντίων εἰδέναι δεῖ, ἵνα, ἐὰν μὲν ἡ τῆς πόλεως κρείττων ᾖ, συμβουλεύῃ ἐπιχειρεῖν τῷ πολέμῳ· ἐὰν δὲ ἥττων τῶν ἐναντίων, εὐλαβεῖσθαι πείθῃ. ὀρθῶς λέγεις, ἔφη.

θʹ. Πρῶτον

qui autem amittantur, eos rurſum compares. Ego vero, ait Glauco, nunquam profecto hæc conſideravi.

6. Quod ſi hæc neglexiſti, ait Socrates, ſaltem ſumptus civitatis nobis exponito. Nam certum eſt, cogitare te jam, ut ſupervacaneos tollas. Ne his quidem, ait, unquam vacavi. Ergo, inquit, differamus aliquantum rationem locupletandæ reipublicæ. Nam qui poſſit fieri, ut harum rerum curam habeat is, qui & ſumptus & proventus ignoret?

7. Verum, mi Socrates, ait Glauco, poteſt etiam ab hoſtibus reſpublica reddi locupletior. Ac vehementer quidem, ait Socrates, ſiquis eos ſuperet: at ſi eis inferior ſit, etiam ſua amiſerit. Vere dicis, inquit.

8. Ergo, inquit, qui deliberat adverſus quos pugnandum ſit, eum & civitatis & adverſariorum vires habere cognitas oportet, ut ſi majores ſint civitatis, bellum ſuadeat; ſin minores quam hoſtium, conſulat caute agere. Recte dicis, ait.

9. Ergo

θ'. Πρῶτον μὲν τοίνυν, ἔφη, λέξον ἡμῖν τῆς πόλεως τήν τε πεζικὴν καὶ τὴν ναυτικὴν δύναμιν, εἶτα τὴν τῶν ἐναντίων. Ἀλλὰ μὰ τὸν Δί', ἔφη, οὐκ ἂν ἔχοιμί σοι οὕτως γε ἀπὸ στόματος εἰπεῖν. ἀλλ' εἰ γέγραπταί σοι, ἔνεγκε, ἔφη· πάνυ γὰρ ἡδέως ἂν τοῦτο ἀκούσαιμι. ἀλλὰ μὰ τὸν Δί', ἔφη, οὐδὲ γέγραπταί μοί πω.

ι'. Οὐκοῦν, ἔφη, περὶ πολέμου συμβουλεύειν τήν γε πρώτην ἐπισχήσομεν· ἴσως γὰρ καὶ διὰ τὸ μέγεθος αὐτῶν ἄρτι ἀρχόμενος τῆς προστατείας οὔπω ἐξήτακας. ἀλλά τοι περί γε φυλακῆς τῆς χώρας οἶδ' ὅτι σοι μεμέληκεν, καὶ οἶσθα ὁπόσαι τε φυλακαὶ ἐπίκαιροί εἰσι, καὶ ὁπόσαι μή, καὶ ὁπόσοι τε φρουροὶ ἱκανοί εἰσι, καὶ ὁπόσοι μή εἰσι· καὶ τὰς μὲν ἐπικαίρους φυλακὰς συμβουλεύειν μείζονας ποιεῖν, τὰς δὲ περιττὰς ἀφαιρεῖν.

ια'. Νὴ Δί', ἔφη ὁ Γλαύκων, ἁπάσας μὲν οὖν ἔγωγε, ἕνεκά γε τοῦ οὕτως αὐτὰς φυλάττεσθαι, ὥστε καὶ * ἄπλεσθαι τὰ ἐκ τῆς χώρας. ἐὰν δέ τις ἀφέλῃ γ', ἔφη, τὰς φυλα-

9. Ergo nobis primum exponito, inquit, quæ hujus civitatis tum pedeſtres tum navales ſint copiæ; deinde, quæ adverſariorum. Ego vero, inquit, non poſſum hoc tibi profecto ex memoria exponere. At ſi quid conſcriptum habes, profer, ait: nam lubens hoc audiero. At ne conſcriptum quidem hoc unquam à me, inquit.

10. Ergo, inquit, & deliberationem de bello nonnihil initio ſuſpendemus. Nam ob rei magnitudinem fortaſſe nondum explorati quidquam habes, præſertim quum nuper adeo præfecturam incepexis. Cæterum cuſtodiam regionis hujus ſcio tibi curæ fuiſſe, teque tenere, quot ejus præſidia ſint opportuna, quot non; quot præſidiarii milites ſufficiant, quot non: denique conſulere te, ut opportuna præſidia adaugeantur, ac tollantur ſuperflua.

11. Immo vero, ſubjecit Glauco, equidem tollenda univerſa arbitror, quod ita cuſtodiant, ut ea quoque attingantur, quæ noſtro in agro ſunt. At ſiquis præſidia tollat, inquit, annon exiſti-

φυλακάς, οὐκ οἴει καὶ ἁρπάζειν ἐξουσίαν ἔσεσθαι τῷ βουλομένῳ; ἀτάρ, ἔφη, πότερον ἐλθὼν αὐτὸς ἐξήτακας τοῦτο, ἢ πῶς οἶσθα, ὅτι κακῶς φυλάττονται; εἰκάζω, ἔφη. οὐκοῦν, ἔφη, καὶ περὶ τούτων, ὅταν μηκέτι εἰκάζωμεν, ἀλλ' ἤδη εἰδῶμεν, τότε συμβουλεύσομεν. ἴσως, ἔφη ὁ Γλαύκων, βέλτιον.

ιβ'. Εἰς γε μὴν, ἔφη, τἀργύρεια οἶδ' ὅτι οὐκ ἀφῖξαι, ὥστ' ἔχειν εἰπεῖν, διότι νῦν ἐλάττω, ἢ πρόσθεν, προσέρχεται αὐτόθεν. οὐ γὰρ οὖν ἐλήλυθα, ἔφη. καὶ γὰρ νὴ Δί', ἔφη ὁ Σωκράτης, λέγεται βαρὺ τὸ χωρίον εἶναι, ὥστε ὅταν περὶ τούτου δέῃ συμβουλεύειν, αὕτη σοι ἡ πρόφασις ἀρκέσει. σκώπτομαι, ἔφη ὁ Γλαύκων.

ιγ'. Ἀλλ' ἐκείνου γέ τοι, ἔφη, οἶδ' ὅτι οὐκ ἠμέληκας, ἀλλ' ἔσκεψαι, πόσον χρόνον ἱκανός ἐστιν ὁ ἐκ τῆς χώρας γιγνόμενος σῖτος διατρέφειν τὴν πόλιν, καὶ πόσου εἰς τὸν ἐνιαυτὸν προσδεῖται, ἵνα μὴ τοῦτό γε λάθῃ σέ ποτε ἡ πόλις ἐνδεὴς γενομένη, ἀλλ' εἰδώς, ἔχῃς ὑπὲρ τῶν ἀναγκαίων συμβουλεύων τῇ πόλει βοηθεῖν τε, καὶ σώζειν αὐτήν.

λέγεις,

existimas cuilibet rapiendi potestatem fore? Tu vero, inquit, num profectus eo, rem indagasti, aut quomodo scis eos malas excubias agere? Conjicio, inquit. Ergo de his quoque tum deliberabimus, cum non amplius utemur conjectura, sed cognitam rem habebimus. Fortassis hoc fuerit potius, ait Glauco.

12. In argentifodinas quidem certe, inquit Socrates, non venisse te scio, ut dicere possis, quamobrem nunc minus inde, quam antehac, proveniat. Equidem eo non sum profectus, ait. Profecto, inquit Socrates, fertur is locus esse gravis: quamobrem ubi de hoc consultandum erit, hæc tibi excusatio sufficiet. Hoc quidem meditor, ait Glauco.

13. Hoc autem, ait, non neglexisse te scio, sed considerasse, quamdiu frumentum, quod nostro in agro nascitur, ad alendam civitatem hanc sufficiat; quantumque in annum requiratur, ne te aliquando lateat civitas inopia laborans, sed cognoscens possis consulendo civitatem adjuvare, salvamque facere.

λέγεις, ἔφη ὁ Γλαύκων, παμμέγεθες πρᾶγμα, εἴ γε τῶν τοιούτων ἐπιμελεῖσθαι δεήσει.

ιδ'. Ἀλλὰ μέντοι, ἔφη ὁ Σωκράτης, οὐδ' ἂν τὸν ἑαυτοῦ ποτε οἶκον καλῶς τις οἰκήσειεν, εἰ μὴ πάντα μὲν εἴσεται ὧν προσδεῖται, πάντων δὲ ἐπιμελόμενος ἐκπληρώσει. ἀλλ' ἐπεὶ ἡ μὲν πόλις ἐκ πλειόνων ἢ μυρίων οἰκιῶν συνέστηκε, χαλεπὸν δέ ἐστιν ἅμα τοσούτων οἴκων ἐπιμελεῖσθαι, πῶς οὐχ ἕνα τὸν τοῦ θείου πρῶτον ἐπειράθης αὐξῆσαι; (δεῖται δέ.) κἂν μὲν τοῦτον δύνῃ, καὶ πλείοσιν ἐπιχειρήσεις· ἕνα δὲ μὴ δυνάμενος ὠφελῆσαι, πῶς ἂν πολλούς γε δυνηθείης; ὥσπερ εἴ τις ἓν τάλαντον μὴ δύναιτο φέρειν, πῶς οὐ φανερόν, ὅτι πλείω γε φέρειν οὐδ' ἐπιχειρητέον αὐτῷ;

ιε'. Ἀλλ' ἔγωγ', ἔφη ὁ Γλαύκων, ὠφελοίην ἂν τὸν τοῦ θείου οἶκον, εἴ μοι ἐθέλοι πείθεσθαι. εἶτα, ἔφη ὁ Σωκράτης, τὸν θεῖον οὐ δυνάμενος πείθειν, Ἀθηναίους πάντας μετὰ τοῦ θείου νομίζεις δυνήσεσθαι ποιῆσαι πείθεσθαί σοι;

ιϛ'. Φυλάττου, ἔφη, ὦ Γλαύκων, ὅπως μὴ τοῦ εὐδοξεῖν ἐπιθυμῶν

Rem magnam dicis, inquit Glauco, si quidem erit talium habenda cura.

14. Enimvero, inquit Socrates, ne suam quidem domum recte quis administraverit, si non omnia, quibus opus sit, teneat, & omnia diligenti cura suppleat. Sed quum civitas ex pluribus quam decies mille domibus constet, ac difficile sit, tot domuum curam simul habere, cur non patrui tui domum unam primum augere conatus es? (etenim indiget) hanc autem si potueris, conaberis etiam plures: sin uni prodesse nequeas, qui pluribus prosis? Sicut si quis unum talentum gestare nequeat, qui non planum est, huic ne conandum quidem esse, ut plura gestet?

15. Ego vero, subjecit Glauco, prodessem patrui familiæ, si mihi vellet obtemperare. Ergo, ait Socrates, quum patruum persuadere non possis, effecturum te putas, ut Athenienses universi una cum patruo tibi pareant?

16. Cave, mi Glauco, inquit, ne gloriæ cupidus in contrarium

θυμῶν εἰς τοὐναντίον ἔλθῃς. ἢ οὐχ ὁρᾷς, ὡς σφαλερόν ἐστι τό, ἃ μὴ οἶδέ τις, ταῦτα λέγειν ἢ πράττειν; ἐνθυμοῦ δὲ τῶν ἄλλων, ὅσους οἶσθα τοιούτους, οἷοι φαίνονται καὶ λέγοντες, ἃ μὴ ἴσασι, καὶ πράττοντες, πότερά σοι δοκοῦσιν ἐπὶ τοῖς τοιούτοις ἐπαίνου μᾶλλον, ἢ ψόγου τυγχάνειν, καὶ πότερον θαυμάζεσθαι μᾶλλον, ἢ καταφρονεῖσθαι.

ιζʹ. Ενθυμοῦ δὲ καὶ τῶν εἰδότων ὅ,τι τε λέγουσι, καὶ ὅ,τι ποιοῦσι· καί, ὡς ἐγὼ νομίζω, εὑρήσεις ἐν πᾶσιν ἔργοις τοὺς μὲν εὐδοκιμοῦντάς τε καὶ θαυμαζομένους, ἐκ τῶν μάλιστα ἐπισταμένων ὄντας, τοὺς δὲ κακοδοξοῦντάς τε καὶ καταφρονουμένους, ἐκ τῶν ἀμαθεστάτων.

ιηʹ. Εἰ οὖν ἐπιθυμεῖς εὐδοκιμεῖν τε καὶ θαυμάζεσθαι ἐν τῇ πόλει, πειρῶ κατεργάσασθαι ὡς μάλιστα τὸ εἰδέναι ἃ βούλει πράττειν· ἐὰν γὰρ τούτῳ διενέγκων τῶν ἄλλων, ἐπιχειρῇς τὰ τῆς πόλεως πράττειν, οὐκ ἂν θαυμάσαιμι, εἰ πάνυ ῥᾳδίως τύχοις, ὧν ἐπιθυμεῖς.

trarium prolabaris. Annon vides, quam periculoſum ſit ea vel dicere vel facere aliquem, quæ ignorat? Etiam de aliis cogites, quoſcunque tales noſti, quales eſſe videantur qui vel dicunt ea quæ neſciunt, vel faciunt: num tibi videantur propterea laudem potius, quam vituperium conſequi; atque utrum in admiratione magis, quam in contemptu eſſe.

17. Itidem cogites de iis qui norunt quicquid vel dicunt vel agunt: invenies, ut opinor, in omnibus actionibus eos, qui bene audiunt admiranturque, maxime ex peritorum eſſe numero; eos autem, qui male audiunt, ac contemnuntur, ex numero eſſe imperitorum.

18. Quamobrem ſi & clarus eſſe velis in republica, & in hominum admiratione, operam dato, ut ea noris, quæ ſuſcipere cogitas. Nam ſi cæteris in hoc præſtans, tractare negotia reipublicæ cœperis, mirum mihi non erit, ſi facile conſequaris ea quæ concupiſcis.

ΚΕΦ. ζ'.

Χαρμίδην δὲ τὸν Γλαύκωνος ὁρῶν ἀξιόλογον μὲν ἄνδρα ὄντα, καὶ πολλῷ δυνατώτερον τῶν τὰ πολιτικὰ τότε πραττόντων, ὀκνοῦντα δὲ προσιέναι τῷ δήμῳ, καὶ τῶν τῆς πόλεως πραγμάτων ἐπιμελεῖσθαι, Εἰπέ μοι, ἔφη, ὦ Χαρμίδη, εἴ τις ἱκανὸς ὢν τοὺς στεφανίτας ἀγῶνας νικᾶν, καὶ διὰ τοῦτο αὐτός τε τιμᾶσθαι, καὶ τὴν πατρίδα ἐν τῇ Ἑλλάδι εὐδοκιμωτέραν ποιεῖν, μὴ θέλοι ἀγωνίζεσθαι, ποῖόν τινα τοῦτον νομίζοις ἂν τὸν ἄνδρα εἶναι; Δηλονότι, ἔφη, μαλακόν τε καὶ δειλόν.

β'. Εἰ δέ τις, ἔφη, δυνατὸς ὢν τῶν τῆς πόλεως πραγμάτων ἐπιμελούμενος τήν τε πόλιν αὔξειν, καὶ αὐτὸς διὰ τοῦτο τιμᾶσθαι, ὀκνοίη τοῦτο πράττειν, οὐκ ἂν εἰκότως δειλὸς νομίζοιτο; Ἴσως, ἔφη· ἀτὰρ πρὸς τί με ταῦτα ἐρωτᾷς; Ὅτι, ἔφη, οἶμαί σε δυνατὸν ὄντα ὀκνεῖν ἐπιμελεῖσθαι, καὶ ταῦτα ὧν ἀνάγκη σοι μετέχειν πολίτῃ γε ὄντι.

γ'. Τὴν

CAP. VII.

Quum autem videret Charmidem Glauconis filium, hominem esse magni pretii, multoque magis idoneum illis qui rempublicam tunc gerebant, invitum vero ad populum accedere, reique publicæ tractare negotia, Dic mihi, mi Charmides, inquit, si quis, quum in certaminibus coronatis vincere possit, eaque re tum ipse honorem consequi, tum patriam in Græcia illustriorem reddere, decertare nolit, qualem existimes hunc hominem esse? Certe mollem, ait, ac ignavum.

2. At siquis, quum possit rempublicam tractando, tum civitatem amplificare, tum ipse ob id honorari, hoc tamen facere reformidet, annon is merito pro ignavo habeatur? Fortassis, inquit: sed cur hæc me interrogas? Quod te, inquit, cum possis, invitum arbitror procurare, etiam illa quorum participem esse te necesse sit, quum sis civis.

3. At

γʹ. Τὴν δὲ ἐμὴν δύναμιν, ἔφη ὁ Χαρμίδης, ἐν ποίῳ ἔργῳ καταμαθὼν, ταῦτά μου καταγιγνώσκεις; ἐν ταῖς συνουσίαις, ἔφη, αἷς σύνει τοῖς τὰ τῆς πόλεως πράττουσι· καὶ γὰρ ὅταν τι ἀνακοινῶνταί σοι, ὁρῶ σε καλῶς συμβουλεύοντα, καὶ ὅταν τι ἁμαρτάνωσιν, ὀρθῶς ἐπιτιμῶντα.

δʹ. Οὐ ταὐτόν ἐστιν, ἔφη, ὦ Σώκρατες, ἰδίᾳ τε διαλέγεσθαι, καὶ ἐν τῷ πλήθει ἀγωνίζεσθαι. καὶ μὴν, ἔφη, ὅγε ἀριθμεῖν δυνάμενος, οὐδὲν ἧττον ἐν τῷ πλήθει, ἢ μόνος ἀριθμεῖ, καὶ οἱ κατὰ μόνας ἄριστα κιθαρίζοντες, οὗτοι καὶ ἐν τῷ πλήθει κρατιστεύουσιν.

εʹ. Αἰδῶ δὲ καὶ φόβον, ἔφη, οὐχ ὁρᾷς ἔμφυτά τε ἀνθρώποις ὄντα, καὶ μᾶλλον ἐν τοῖς ὄχλοις, ἢ ἐν ταῖς ἰδίαις ὁμιλίαις παριστάμενα; καὶ σέ γε διδάξων, ἔφη, ὥρμημαι, ὅτι οὔτε τοὺς φρονιμωτάτους αἰδούμενος, οὔτε τοὺς ἰσχυροτάτους φοβούμενος, ἐν τοῖς ἀφρονεστάτοις τε καὶ ἀσθενεστάτοις αἰσχύνῃ λέγειν.

ϛʹ. Πότερον

3. At quonam ex facinore, ait Charmides, virtutem meam cognoſcens, ita de me ſentias? Iis, inquit, ex congreſſibus, in quibus adeſſe ſoles illis qui rempublicam adminiſtrant: nam ubi quid tecum communicant, video te rectum conſilium dare, atque ubi peccant, recte illos reprehendere.

4. Non idem eſt, mi Socrates, inquit, privatim diſſerere, & apud multitudinem certare. Atqui, reſpondit, qui numerare poteſt, nihilo minus apud multitudinem, quam ſolus numerat: & qui privatim cithara canunt optime, iidem etiam apud multitudinem primas obtinent.

5. Tu vero non vides, inquit, verecundiam ac metum à natura hominibus ineſſe, multoque magis hæc in publico, quam in privatis congreſſibus præſto eſſe? Ego vero te docere exorſus ſum, inquit, quod neque prudentiſſimos reveritus, neque potentiſſimos metuens, inter ſtultiſſimos ac maxime imbecillos verba facere erubeſcas.

6. Num

ϛ'. Πότερον γὰρ τοὺς γναφεῖς αὐτῶν, ἢ τοὺς σκυτεῖς, ἢ τοὺς τέκτονας, ἢ τοὺς χαλκεῖς, ἢ τοὺς γεωργοὺς, ἢ τοὺς ἐμπόρους, ἢ τοὺς ἐν τῇ ἀγορᾷ μεταβαλλομένους, καὶ φροντίζοντας, ὅ,τι ἔλαττον πριάμενοι πλείονος ἀποδῶνται, αἰσχύνῃ; ἐκ γὰρ τούτων ἁπάντων ἡ ἐκκλησία συνίσταται.

ζ'. Τί δὲ οἴει διαφέρειν ὃ σὺ ποιεῖς, ἢ τῶν ἀσκητῶν ὄντα κρείττω τοὺς ἰδιώτας φοβεῖσθαι; ἐν γὰρ τοῖς πρωτεύουσιν ἐν τῇ πόλει, ὧν ἔνιοι καταφρονοῦσί σου, ῥᾳδίως διαλεγόμενος, καὶ τῶν ἐπιμελουμένων τοῦ τῇ πόλει διαλέγεσθαι πολὺ περιὼν, ἐν τοῖς μηδεπώποτε φροντίσασι τῶν πολιτικῶν, μηδέ σου καταπεφρονηκόσιν ὀκνεῖς λέγειν, δεδιὼς μὴ καταγελασθῇς.

η'. Τί δ', ἔφη, οὐ δοκοῦσί σοι πολλάκις οἱ ἐν τῇ ἐκκλησίᾳ τῶν ὀρθῶς λεγόντων καταγελᾶν; καὶ γὰρ οἱ ἕτεροι, ἔφη· διὸ καὶ θαυμάζω σου, εἰ ἐκείνους ὅταν τοῦτο ποιῶσι, ῥᾳδίως χειρούμενος, τούτοις δὲ μηδένα τρόπον οἴει δυνήσεσθαι προσενεχθῆναι.

θ'. Ω

6. Num enim, ex illis fullones, vel sutores, vel fabros, vel artifices ærarios, vel agricolas, vel mercatores, vel eos qui negotiantur in foro, & siquid minoris emere possint ut pluris vendant, cogitant, revereris? Nam de his omnibus constat concio.

7. Quid autem interesse putas inter hoc quod tu facis, atque siquis pugilibus superior imperitos metuat? nimirum quum inter principes reipublicæ, quorum nonnulli te contemnunt, facillime differas, longeque superes illos, qui perorare ad cives student, inter eos loqui te piget, qui nunquam rerum civilium studiosi fuerunt, neque te contempserunt, metuens scilicet, ne deridearis.

8. Quid autem, inquit, annon tibi videtur concio sæpe eos deridere qui recte perorant? Nam & alii, inquit: quamobrem te miror, illos quidem, quum hoc faciunt, facile vincere, cum his autem putare te nullo modo posse agere.

9. Noli

θ'. Ὦ ἀγαθὲ, μὴ ἀγνόει σεαυτὸν, μηδὲ ἁμάρτανε ἃ οἱ πλεῖστοι ἁμαρτάνουσιν· οἱ γὰρ πολλοὶ ὡρμηκότες ἐπὶ τὸ σκοπεῖν τὰ τῶν ἄλλων πράγματα, οὐ τρέπονται ἐπὶ τὸ ἑαυτοὺς ἐξετάζειν. μὴ οὖν ἀπορραθύμει τούτου, ἀλλὰ διατείνου μᾶλλον πρὸς τὸ σαυτῷ προσέχειν, καὶ μὴ ἀμέλει τῶν τῆς πόλεως, εἴ τι δυνατόν ἐστιν διὰ σὲ βέλτιον ἔχειν· τούτων γὰρ καλῶς ἐχόντων, οὐ μόνον ἄλλοι πολῖται, ἀλλὰ καὶ οἱ σοὶ φίλοι καὶ αὐτὸς σὺ οὐκ ἐλάχιστα ὠφελήσῃ.

ΚΕΦ. η'.

Ἀριστίππου δὲ ἐπιχειροῦντος ἐλέγχειν τὸν Σωκράτην, ὥσπερ αὐτὸς ὑπ' ἐκείνου τὸ πρότερον ἠλέγχετο, βουλόμενος τοὺς συνόντας ὠφελεῖν ὁ Σωκράτης ἀπεκρίνατο, οὐχ ὥσπερ οἱ φυλαττόμενοι μή πη ὁ λόγος ἐπαλλαχθῇ, ἀλλ' ὡς ἂν πεπεισμένοι μάλιστα πράττοιεν τὰ δέοντα.

β'. Ὁ μὲν γὰρ αὐτὸν ἤρετο, εἴ τι εἰδείη ἀγαθὸν, ἵνα, εἴ τι εἴποι τῶν τοιούτων, οἷον ἢ σιτίον, ἢ ποτὸν, ἢ χρήματα

ἢ

9. Noli teipsum, vir optime, ignorare: nec in illis delinque, in quibus plurimi delinquunt. Nam multi magno studio excitati ad considerandum aliena negotia, non se convertunt ad seipsos explorandos. Itaque ne hoc per ignaviam negligas, sed magis enitere, ut teipsum respicias: nec reipublicæ curam abjice, si qua parte poterit ea per te juvari. Nam si ea bene se habeat, non solum alii cives, sed tui etiam amici, & ipse tu non parum utilitatis acquires.

CAP. VIII.

Quum autem Aristippus in hoc incumberet, ut Socratem convinceret, sicut ipse convictus ab illo prius fuerat; volens Socrates prodesse familiaribus suis, sic respondebat, non ut illi, qui cavent, ne qua parte sermo invertatur, sed ut persuasi maxime facerent ea quæ deberent.

2. Nam interrogabat eum Aristippus, an aliquid nosset bonum; ut si quid hujusmodi diceret, verbi gratia, cibum, potum, pecuniam,

vale-

ἢ ὑγίειαν, ἢ ῥώμην, ἢ τόλμαν, δεικνύῃ δὴ τοῦτο κακὸν ἐνίοτε ὄν· ὁ δὲ εἰδὼς, ὅτι ἐάν τι ἐνοχλῇ ἡμᾶς, δεόμεθα τοῦ παύσοντος, ἀπεκρίνατο ὅπερ καὶ ποιεῖν κράτιστον.

γ'. Ἆρά γε, ἔφη, ἐρωτᾷς με, εἴ τι οἶδα πυρετοῦ ἀγαθόν; οὐκ ἔγωγ', ἔφη· ἀλλὰ ὀφθαλμίας; οὐδὲ τοῦτο· ἀλλὰ λιμοῦ; οὐδὲ λιμοῦ· ἀλλὰ μὴν, ἔφη, εἴ γ' ἐρωτᾷς με, εἴ τι ἀγαθὸν οἶδα, ὃ μηδενὸς ἀγαθόν ἐστιν, οὔτ' οἶδα, ἔφη, οὔτε δέομαι.

δ'. Πάλιν δὲ τοῦ Ἀριστίππου ἐρωτῶντος αὐτὸν, εἴ τι εἰδείη καλόν· καὶ πολλὰ, ἔφη. ἆρ' οὖν, ἔφη, πάντα ὅμοια ἀλλήλοις; ὡς οἷόν τε μὲν οὖν, ἔφη, ἀνομοιότατα ἔνια. πῶς οὖν, ἔφη, τὸ τῷ καλῷ ἀνόμοιον, καλὸν ἂν εἴη; ὅτι νὴ Δί', ἔφη, ἔστι μὲν τῷ καλῷ πρὸς δρόμον ἀνθρώπῳ ἄλλος ἀνόμοιος, καὶ ἄλλος πρὸς πάλην· ἔστι δὲ ἀσπὶς καλὴ πρὸς τὸ προβαλέσθαι, ὡς ἔνι ἀνομοιοτάτη τῷ ἀκοντίῳ, καλῷ πρὸς τὸ σφόδρα τε καὶ ταχὺ φέρεσθαι.

ε'. Οὐδὲν διαφερόντως, ἔφη, ἀποκρίνῃ μοι, ἢ ὅτε σε ἠρώ-

τησα,

valetudinem, robur, audaciam, idipſum oſtenderet aliquando malum eſſe. At Socrates ſciens quod ſiquid nos conturbet, optemus ut aliquis nos eo liberet, ſic reſpondebat, ut erat optimum.

3. Tune me rogas, inquit, num febris aliquod bonum ſciam? Non equidem, ait: at lippitudinis? Ne hoc quidem: at famis? nec famis. Atqui, ait, ſi me rogas, an aliquid noverim bonum, quod nullius bonum ſit, equidem neque novi, neque ejus egeo.

4. Ibi rurſus Ariſtippo eum interrogante, an quid pulcrum ſciret: permulta quidem, ait. An vero, inquit, omnia ſibi invicem ſimilia? Quantum fieri poteſt, nonnulla quidem ſunt diſſimillima. Quonam igitur pacto, ait, id pulcrum fuerit, quod eſt pulcro diſſimile? Quoniam, inquit, homini ad curſum pulcro diſſimilis alius eſt, alius ad palæſtram. Et ſcutum ad projiciendum pulcrum, quam diſſimillimum eſt jaculo ad hoc pulcro, ut celeriter vehementerque feratur.

5. Non aliter, ait, reſpondes, ac quum interrogarem, an

aliquid

τησαι, εἴ τι ἀγαθὸν εἰδείης. σὺ δ' οἴει, ἔφη, ἄλλο μὲν ἀγαθὸν, ἄλλο δὲ καλὸν εἶναι; οὐκ οἶσθ', ὅτι πρὸς ταὐτὰ πάντα καλά τε καὶ ἀγαθά ἐστι; πρῶτον μὲν γὰρ ἡ ἀρετὴ οὐ πρὸς ἄλλα μὲν ἀγαθὸν, πρὸς ἄλλα δὲ καλόν ἐστιν· ἔπειτα οἱ ἄνθρωποι τὸ αὐτό τε καὶ πρὸς τὰ αὐτὰ καλοὶ κἀγαθοὶ λέγονται· πρὸς τὰ αὐτὰ δὲ καὶ τὰ σώματα τῶν ἀνθρώπων καλά τε κἀγαθὰ φαίνεται· πρὸς ταὐτὰ δὲ καὶ τἆλλα πάντα οἷς ἄνθρωποι χρῶνται, καλά τε καὶ ἀγαθὰ νομίζεται, πρὸς ἅπερ ἂν εὔχρηστα ᾖ.

ς'. Ἆρ' οὖν, ἔφη, καὶ κόφινος κοπροφόρος καλόν ἐστιν; νὴ Δί', ἔφη· καὶ χρυσῆ γε ἀσπὶς αἰσχρὸν, ἐὰν πρὸς τὰ ἑαυτῶν ἔργα, ὁ μὲν καλῶς πεποιημένος ᾖ, ἡ δὲ κακῶς.

ζ'. Λέγεις σὺ, ἔφη, καλά τε καὶ αἰσχρὰ τὰ αὐτὰ εἶναι; καὶ νὴ Δία ἔγωγ', ἔφη, ἀγαθά τε καὶ κακά. πολλάκις γὰρ τό γε λιμοῦ ἀγαθὸν, πυρετοῦ κακόν ἐστιν, καὶ τὸ πυρετοῦ ἀγαθὸν, λιμοῦ κακόν ἐστιν· πολλάκις δὲ τὸ μὲν πρὸς δρόμον καλὸν, πρὸς πάλην αἰσχρὸν, τὸ δὲ πρὸς πάλην καλὸν,

aliquid bonum nosses. Tu vero putas, inquit, aliud bonum, aliud pulcrum esse? an ignoras omnia pulcra & bona ad eadem referri? Nam primum virtus non ad alia bonum quiddam est, ad alia vero, pulcrum: deinde homines secundum idem, & ad eadem pulcri bonique dicuntur; & hominum corpora ad eadem pulcra bonaque videntur: denique cætera omnia, quibus utuntur homines, ad eadem pulcra bonaque putantur, ad ea scilicet, quibus sunt accommodata.

6. Num igitur, ait, etiam qualus, quo efferuntur stercora, pulcrum quiddam est? Profecto, ait: atque etiam scutum aureum est turpe, modo ad usus suos ille quidem pulcre sit factus, hoc vero male.

7. Dicis tu, inquit, pulcria & turpia esse eadem? Dico, ait, atque etiam eadem esse bona & mala. Sæpe enim quod fami bonum, febri malum est; quod febri bonum, fami malum: sæpe quod ad cursum pulcrum est, ad luctam est turpe; quod ad luctam

καλὸν, πρὸς δρόμον αἰσχρόν. πάντα γὰρ ἀγαθὰ μὲν καὶ καλά ἐστιν πρὸς ἃ ἂν εὖ ἔχῃ, κακὰ δὲ καὶ αἰσχρὰ πρὸς ἃ ἂν κακῶς.

η'. Καὶ οἰκίας δὲ λέγων τὰς αὐτὰς καλάς τε εἶναι καὶ χρησίμους, παιδεύειν ἔμοιγ' ἐδόκει, οἵας χρὴ οἰκοδομεῖσθαι. ἐπεσκόπει δὲ ὧδε· ἆρά γε τὸν μέλλοντα οἰκίαν οἵαν χρὴ ἔχειν, τοῦτο δεῖ μηχανᾶσθαι, ὅπως ἡδίστη τε ἐνδιαιτᾶσθαι, καὶ χρησιμωτάτη ἔσται;

θ'. Τούτου δὲ ὁμολογουμένου, οὐκοῦν ἡδὺ μὲν θέρους ψυχεινὴν ἔχειν, ἡδὺ δὲ χειμῶνος ἀλεεινήν. ἐπειδὰ δὲ καὶ τοῦτο συμφαῖεν, οὐκοῦν ἐν ταῖς πρὸς μεσημβρίαν βλεπούσαις οἰκίαις τοῦ μὲν χειμῶνος ὁ ἥλιος εἰς τὰς παστάδας ὑπολάμπει, τοῦ δὲ θέρους ὑπὲρ ἡμῶν αὐτῶν καὶ τῶν στεγῶν πορευόμενος σκιὰν παρέχει· οὐκοῦν εἴγε καλῶς ἔχει ταῦτα οὕτω γίγνεσθαι, οἰκοδομεῖν δεῖ ὑψηλότερα μὲν τὰ πρὸς μεσημβρίαν, ἵνα ὁ χειμερινὸς ἥλιος μὴ ἀποκλείηται· χθαμαλώτερα δὲ τὰ πρὸς ἄρκτον, ἵνα οἱ ψυχροὶ μὴ ἐμπίπτωσιν ἄνεμοι.

ι'. Ὡς

pulcrum, ad cursum turpe: quippe omnia bona sunt ac pulcra ad quæ bene se habent; mala vero ac turpia ad quæ male.

8. Idem quum diceret easdem ædes pulcras & utiles esse, docere mihi quidem videbatur, cujusmodi sint extruendæ. Id autem considerabat hoc modo: Annon habiturus qualem deceat domum, hoc moliri debet, ut habitatu sit jucundissima & utilissima?

9. Hoc autem concesso, ergo jucundum est per æstatem domum habere frigidam; per hyemem, calidam. Quum etiam in hoc consentirent, ergo in ædificiis quæ meridiem spectant, per hyemem sol in cubicula splendet, per æstatem vero supra nos, supraque tecta incedens, umbram suppeditat. Quamobrem si hæc ita fieri bonum est, altius ædificanda sunt ea, quæ meridiem spectant, ut sol hybernus non excludatur: humilius vero, quæ septentriones spectant, ne venti frigidi possint incidere.

10. Ut

ι'. Ὡς δὲ συνελόντι εἰπεῖν, ὅποι πάσας ὥρας αὐτός τε ἂν ἥδιστα καταφεύγοι, καὶ τὰ ὄντα ἀσφαλέστατα τίθοιτο, αὕτη ἂν εἰκότως ἡδίστη τε καὶ καλλίστη οἴκησις εἴη. γραφαὶ δὲ καὶ ποικιλίαι πλείονας εὐφροσύνας ἀποστεροῦσιν, ἢ παρέχουσι. ναοῖς γε μὴν καὶ βωμοῖς χώραν ἔφη εἶναι πρεπωδεστάτην, ἥτις ἐμφανεστάτη οὖσα, ἀστιβεστάτη εἴη· ἡδὺ μὲν γὰρ ἰδόντας προσεύξασθαι, ἡδὺ δὲ ἁγνῶς ἔχοντας προσιέναι.

ΚΕΦ. θ'.

Πάλιν δὲ ἐρωτώμενος, ἡ ἀνδρεία πότερον εἴη διδακτὸν, ἢ φυσικόν· οἶμαι μὲν, ἔφη, ὥσπερ σῶμα σώματος ἰσχυρότερον πρὸς τοὺς πόνους φύεται, οὕτω καὶ ψυχὴν ψυχῆς ἐῤῥωμενεστέραν πρὸς τὰ δεινὰ φύσει γίγνεσθαι· ὁρῶ γὰρ ἐν τοῖς αὐτοῖς νόμοις τε καὶ ἔθεσι τρεφομένους πολὺ διαφέροντας ἀλλήλων τόλμῃ.

β'. Νομίζω μέντοι πᾶσαν φύσιν μαθήσει καὶ μελέτῃ πρὸς

10. Ut verbo dicam, quo quis singulis anni temporibus jucundissime se recipiat, ac res suas tutissime collocet, id haud dubie jucundissimum ac pulcerrimum ædificium fuerit. Cæterum picturæ variique colores plures delectationes adimunt, quam suppeditent. Templis ac aris locum aiebat esse convenientissimum, qui & apertissimus pariter ac minime tritus esset: nam jucundum, ut videntes orent; jucundum, ut puri accedant.

CAP. IX.

Rursum interrogatus, num fortitudo acquiri doctrina possit, an esset à natura? Equidem arbitror, ait, ut corpus corpore robustius à natura est ad labores, sic & animum animo firmiorem esse natura ad ardua. Nam video illos qui iisdem legibus ac moribus sunt educati, longe inter se audacia differre.

2. Arbitror equidem naturam omnem doctrina & exercitatione

πρὸς ἀνδρείαν αὔξεσθαι. δῆλον μὲν γὰρ, ὅτι Σκύθαι καὶ Θρᾷκες οὐκ ἂν τολμήσαιεν ἀσπίδας καὶ δόρατα λαβόντες Λακεδαιμονίοις διαμάχεσθαι· φανερὸν δὲ, ὅτι καὶ Λακεδαιμόνιοι οὔτ' ἂν Θρᾳξὶν ἐν πέλταις καὶ ἀκοντίοις, οὔτε Σκύθαις ἐν τόξοις ἐθέλοιεν ἂν διαγωνίζεσθαι.

γ'. Ὁρῶ δ' ἔγωγε καὶ ἐπὶ τῶν ἄλλων πάντων ὁμοίως καὶ φύσει διαφέροντας ἀλλήλων τοὺς ἀνθρώπους, καὶ ἐπιμελείᾳ πολὺ ἐπιδιδόντας. ἐκ δὲ τούτων δῆλόν ἐστιν, ὅτι πάντας χρὴ καὶ τοὺς εὐφυεστέρους καὶ τοὺς ἀμβλυτέρους τὴν φύσιν, ἐν οἷς ἂν ἀξιόλογοι βούλωνται γενέσθαι, ταῦτα καὶ μανθάνειν καὶ μελετᾶν.

δ'. Σοφίαν δὲ καὶ σωφροσύνην οὐ διώριζεν, ἀλλὰ τὸ τὰ μὲν καλά τε καὶ ἀγαθὰ γιγνώσκοντα χρῆσθαι αὐτοῖς, καὶ τὸ τὰ αἰσχρὰ εἰδότα εὐλαβεῖσθαι, σοφόν τε καὶ σώφρονα ἔκρινεν. προσερωτώμενος δὲ, εἰ τοὺς ἐπισταμένους μὲν ἃ δεῖ πράττειν, ποιοῦντας δὲ τἀναντία, σοφούς τε καὶ ἐγκρατεῖς εἶναι νομίζοι· οὐδέν γε μᾶλλον, ἔφη, ἢ ἀσόφους τε καὶ ἀμαθεῖς. πάντας γὰρ οἶμαι προαιρουμένους ἐκ τῶν ἐν-

ἐνδεχομένων

ad fortitudinem proficere. Nam patet, Scythas ac Thraces non aufuros sumptis clypeis ac hastis adversus Lacedæmonios dimicare: contraque manifestum est, non etiam Lacedæmonios vel adversus Thraces peltis ac jaculis, vel adversus Scythas arcubus depugnaturos.

3. Equidem in aliis etiam omnibus consimiliter homines video natura inter se differre, ac studio multum proficere. De quibus patet, debere omnes, sive sint præstantiori à natura indole præditi, seu hebetiores, ea discere ac meditari, in quibus excellere velint.

4. Sapientiam vero, ac sanitatem mentis non discernebat, sed qui, quum bona honestaque cognosceret, iisdem uteretur, ac quum turpia sciret, vitaret ea, hunc sapientem judicabat ac sanum. Interrogatus, num eos qui scirent, quid agere oporteat, & contraria facerent, sapientes ac temperantes esse putaret: potius insipientes ac stupidos esse respondit. Etenim omnes arbitror eligentes ex iis quæ fieri

δεχομένων ἃ οἷόν τε συμφορώτατα αὐτοῖς εἶναι, ταῦτα πράττειν· νομίζω οὖν τοὺς μὴ ὀρθῶς πράττοντας, οὔτε σοφοὺς, οὔτε σώφρονας εἶναι.

ε'. Ἔφη δὲ καὶ τὴν δικαιοσύνην, καὶ τὴν ἄλλην πᾶσαν ἀρετὴν, σοφίαν εἶναι· τά τε γὰρ δίκαια, καὶ πάντα ὅσα ἀρετῇ πράττεται, καλά τε καὶ ἀγαθὰ εἶναι· καὶ οὔτ' ἂν τοὺς ταῦτα εἰδότας ἄλλο ἄν τι τούτων οὐδὲν προελέσθαι, οὔτε τοὺς μὴ ἐπισταμένους, δύνασθαι πράττειν, ἀλλὰ καὶ ἐὰν ἐγχειρῶσιν, ἁμαρτάνειν· οὕτω καὶ τὰ καλά γε καὶ ἀγαθὰ τοὺς μὲν σοφοὺς πράττειν, τοὺς δὲ μὴ σοφοὺς οὐ δύνασθαι, ἀλλὰ καὶ ἐὰν ἐγχειρῶσιν, ἁμαρτάνειν· ἐπεὶ οὖν τά τε δίκαια καὶ τὰ ἄλλα καλά τε καὶ ἀγαθὰ πάντα ἀρετῇ πράττεται, δῆλον εἶναι, ὅτι καὶ δικαιοσύνη καὶ ἡ ἄλλη πᾶσα ἀρετὴ, σοφία ἐστί.

ϛ'. Μανίαν γε μὴν ἐναντίον μὲν ἔφη εἶναι σοφίᾳ· οὐ μέντοι γε τὴν ἀνεπιστημοσύνην μανίαν ἐνόμιζεν, τὸ δὲ ἀγνοεῖν ἑαυτὸν, καὶ ἃ μὴ οἶδε, δοξάζειν τε καὶ οἴεσθαι γιγνώσκειν, ἐγγυτάτω

μανίας

fieri poſſunt, quam maxime ipſis utilia, illa agere. Quamobrem qui non recte agunt, eos nec ſapientes nec mente ſanos eſſe ſtatuo.

5. Dicebat cum juſtitiam tum omnem aliam virtutem eſſe ſapientiam: nam juſta, atque omnia quæ cum virtute aguntur, honeſta & bona eſſe: neque eos, qui hæc ſciant, aliud quidpiam his præferre, neque illos qui neſciant, præſtare poſſe; imo vero etiamſi præſtare conentur, peccare: uſque adeo ſapientes honeſta ac bona facere; non ſapientes autem id non poſſe, atque etiam in conatu peccare: quum igitur & juſta & alia honeſta ac bona cum virtute efficiantur, manifeſtum eſſe, tum juſtitiam tum omnem aliam virtutem, eſſe ſapientiam.

6. Quanquam inſaniam ſapientiæ quiddam eſſe contrarium putaret, non tamen inſcitiam exiſtimabat eſſe inſaniam: ſed ignorare ſeipſum, & quæ quis neſciat, opinari ac putare etiam ſe ſcire, proximum quiddam

eſſe

μανίας ἐλογίζετο εἶναι. τοὺς μέντοι πολλοὺς ἔφη, ἃ μὴ οἱ πλεῖστοι ἀγνοοῦσι, τοὺς διημαρτηκότας τούτων οὐ φάσκειν μαίνεσθαι, τοὺς δὲ διημαρτηκότας ὧν οἱ πολλοὶ γιγνώσκουσι, μαινομένους καλεῖν.

ζ. Ἐὰν γάρ τις μέγας οὕτως οἴηται εἶναι, ὥστε κύπτειν τὰς πύλας τοῦ τείχους διεξιών, ἐάν τε οὕτως ἰσχυρὸς, ὥστ' ἐπιχειρεῖν οἰκίας αἴρεσθαι, ἢ ἄλλῳ τῳ ἐπιτίθεσθαι τῶν πᾶσι δήλων ὅτι ἀδύνατά ἐστι, τοῦτον μαίνεσθαι φάσκειν· τοὺς δὲ μικρὸν διαμαρτάνοντας οὐ δοκεῖν τοῖς πολλοῖς μαίνεσθαι, ἀλλ' ὥσπερ τὴν ἰσχυρὰν ἐπιθυμίαν ἔρωτα καλοῦσιν, οὕτω καὶ τὴν μεγάλην παράνοιαν μανίαν αὐτοὺς καλεῖν.

η'. Φθόνον δὲ σκοπῶν ὅ,τι εἴη, λύπην μέν τινα ἐξευρίσκειν αὐτὸν ὄντα, οὔτε μέντοι τὴν ἐπὶ φίλων ἀτυχίαις, οὔτε τὴν ἐπ' ἐχθρῶν εὐτυχίαις γιγνομένην· ἀλλὰ μόνους ἔφη φθονεῖν τοὺς ἐπὶ ταῖς τῶν φίλων εὐπραξίαις ἀνιωμένους. θαυμαζόντων δέ τινων, εἴ τις φιλῶν τινα ἐπὶ τῇ εὐπραξίᾳ αὐτοῦ λυποῖτο, ὑπεμίμνησκεν ὅτι πολλοὶ οὕτως πρός τινας ἔχουσιν, ὥστε

eſſe arbitrabatur inſaniæ. Aiebat vulgus negare illos inſanire, qui ab iis aberrent, quæ plurimi ignorent: at qui ab illis aberrent, quæ plerique ſciant, furioſos appellare.

7. Nam qui ſibi tam magnus videatur, ut per oppidi portas tranſiens ſeſe inclinet, tamque robuſtus, ut ædes ſuſtollere conetur, vel aliquid aliud eorum aggrediatur, de quibus conſtet omnibus, fieri ea non poſſe, hunc inſanire aiunt: ſed qui paulum quid delinquant, non videntur vulgo inſanire: ſed quemadmodum vehementem libidinem appellant amorem, ita dementiam ingentem inſaniam vocant.

8. Conſiderans autem invidiam, quid eſſet, dolorem eſſe quendam reperiebat, non in amicorum adverſis rebus, nec in ſecundis hoſtium; ſed eos ſolum aiebat invidere, qui amicorum felicitatem inique ferrent: quumque mirarentur nonnulli, poſſe aliquem in ejus ſucceſſu proſpero, quem diligeret, dolere; commonefaciebat eos, eſſe quoſdam ſic affectos ad alios, ut illos

ὥστε κακῶς μὲν πράττοντας μὴ δύνασθαι περιορᾶν, ἀλλὰ βοηθεῖν ἀτυχοῦσιν, εὐτυχούντων δὲ λυπεῖσθαι· τοῦτο δὲ φρονίμῳ μὲν ἀνδρὶ οὐκ ἂν συμβῆναι, τοὺς ἠλιθίους δὲ πάσχειν αὐτό.

θ'. Σχολὴν δὲ σκοπῶν, τί εἴη, ποιοῦντας μέν τι τοὺς πλείστους ἔφη εὑρίσκειν· καὶ γὰρ τοὺς πεττεύοντας, καὶ τοὺς γελωτοποιοῦντας ποιεῖν τι· πάντας δὲ τούτους ἔφη σχολάζειν· ἐξεῖναι γὰρ αὐτοῖς ἰέναι πράξοντας τὰ βελτίω τούτων. ἀπὸ μέντοι τῶν βελτιόνων ἐπὶ τὰ χείρω ἰέναι, οὐδένα σχολάζειν· εἰ δέ τις ἴοι, τοῦτον, ἀσχολίας αὐτῷ οὔσης, κακῶς ἔφη τοῦτο πράττειν.

ι'. Βασιλεῖς δὲ καὶ ἄρχοντας οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας ἔφη εἶναι, οὐδὲ τοὺς ὑπὸ τῶν τυχόντων αἱρεθέντας, οὐδὲ τοὺς κλήρῳ λαχόντας, οὐδὲ τοὺς βιασαμένους, οὐδὲ τοὺς ἐξαπατήσαντας, ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν.

ια'. Ὁπότε γάρ τις ὁμολογήσειε τοῦ μὲν ἄρχοντος εἶναι τὸ προστάττειν ὅ,τι χρὴ ποιεῖν, τοῦ δὲ ἀρχομένου τὸ πείθεσθαι, ἐπε-

illos male ſe habentes negligere non poſſint, ſuccurrantque calamitatibus: ſin proſpere agant, doleant: hoc autem viro prudenti non accidere, ſed fatuos ita comparari.

9. Quum quid ſit otium, conſideraret, aiebat ſe deprehendere, plurimos aliquid facere. Quippe illos etiam, qui talis ludunt, & qui faciunt ut moveatur riſus, facere quidem aliquid aiebat; verum eoſdem nihilominus eſſe otioſos: etenim poſſe ipſos diſcedere ad agendum aliquid hiſce melius: à melioribus autem ad pejora ſe conferendi otium eſſe nemini: at ſiquis id faceret, aiebat eum male facere, præſertim ſi quid ei negotii eſſet.

10. Reges ac principes non illos dicebat eſſe, qui ſceptra tenerent, nec illos, qui vel à quibuſvis eſſent delecti, vel ſorte, vi, fraudibus eo perveniſſent; ſed quotquot imperandi periti eſſent.

11. Nam ubi quis fateretur, principis eſſe, jubere quod agendum ſit, ſubditi vero parere: demon-

ἐπεδείκνυεν ἐν τῇ νηῒ τὸν μὲν ἐπιστάμενον ἄρχοντα, τὸν δὲ ναύκληρον καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ νηῒ πάντας, πειθομένους τῷ ἐπισταμένῳ· καὶ ἐν γεωργίᾳ, τοὺς κεκτημένους ἀγρούς· καὶ ἐν νόσῳ, τοὺς νοσοῦντας· καὶ ἐν σωμασκίᾳ τοὺς σωμασκοῦντας· καὶ τοὺς ἄλλους πάντας οἷς ὑπάρχει τι ἐπιμελείας δεόμενον, ἂν μὲν αὐτοὶ ἡγῶνται ἐπίστασθαι, ἐπιμελεῖσθαι· εἰ δὲ μή, τοῖς ἐπισταμένοις οὐ μόνον παροῦσι πειθομένους, ἀλλὰ καὶ ἀπόντας μεταπεμπομένους, ὅπως ἐκείνοις πειθόμενοι τὰ δέοντα πράττωσιν. ἐν δὲ ταλασίᾳ καὶ τὰς γυναῖκας ἀπεδείκνυεν ἀρχούσας τῶν ἀνδρῶν, διὰ τὸ τὰς μὲν εἰδέναι ὅπως χρὴ ταλασιουργεῖν, τοὺς δὲ μὴ εἰδέναι.

ιβ'. Εἰ δέ τις πρὸς ταῦτα λέγοι, ὅτι τῷ τυράννῳ ἔξεστι μὴ πείθεσθαι τοῖς ὀρθῶς λέγουσι· καὶ πῶς ἂν (ἔφη) ἐξείη μὴ πείθεσθαι, ἐπικειμένης γε ζημίας, ἐάν τις τῷ εὖ λέγοντι μὴ πείθηται; ἐν ᾧ γὰρ ἄν τις πράγματι μὴ πείθηται τῷ εὖ λέγοντι, ἁμαρτήσεται δήπου· ἁμαρτάνων δὲ ζημιωθήσεται.

ιγ'. Εἰ δὲ φαίη τις τῷ τυράννῳ ἐξεῖναι καὶ ἀποκτεῖναι τὸν εὖ φρονοῦντα·

demonſtrabat in navi peritum præeſſe, nauclerum vero, cum cæteris omnibus, huic perito parere: ibidem in agricultura, illos qui agros poſſiderent: in morbo, qui eo laborarent: in corporis exercitio, qui eo uterentur: alios denique omnes, quibus quiddam ſit, quod curatione indigeat, ſi quidem ſe arbitrentur rem intelligere, curare: ſin minus, non modo peritis præſentibus obtemperare; ſed etiam abſentes arceſſere, ut ipſis parentes, quæ oporteat, agant. In lanificio etiam mulieres viris præeſſe demonſtrabat, quod illæ ſciant, quo pacto exercendum ſit lanificium; viri autem ignorent.

12. Si quis ad hæc diceret, poſſe tyrannum recte monentibus non obtemperare: Et qui non parere poſſit, reſpondebat, quum ſi quis recte monenti non obtemperet, damnum ſit propoſitum? Nam ſi qua in re non pareat aliquis recte monenti, nimirum peccabit: qui vero peccat, damno multatur.

13. Si quis diceret, poſſe tyrannum occidere eum, qui recte ſapiat:

φρονοῦντα· τὸν δὲ ἀποκτείνοντα (ἔφη) τοὺς κρατίστους τῶν συμμάχων οἴει ἀζήμιον γίγνεσθαι, ἢ ὡς ἔτυχε ζημιοῦσθαι; πότερον γὰρ ἂν μᾶλλον οἴει σώζεσθαι τὸν ταῦτα ποιοῦντα, ἢ οὕτω καὶ τάχιστ᾽ ἂν ἀπολέσθαι.

ιδ΄. Ἐρομένου δέ τινος αὐτόν, τί δοκοίη αὐτῷ κράτιστον ἀνδρὶ ἐπιτήδευμα εἶναι, ἀπεκρίνατο εὐπραξίαν. ἐρομένου δὲ πάλιν, εἰ καὶ τὴν εὐτυχίαν ἐπιτήδευμα νομίζοι εἶναι. πᾶν μὲν οὖν τοὐναντίον ἔγωγ᾽ (ἔφη) τύχην καὶ πρᾶξιν ἡγοῦμαι. τὸ μὲν γὰρ μὴ ζητοῦντα ἐπιτυχεῖν τινι τῶν δεόντων, εὐτυχίαν οἶμαι εἶναι· τὸ δὲ μαθόντα τι καὶ μελετήσαντα εὖ ποιεῖν, εὐπραξίαν νομίζω· καὶ οἱ τοῦτο ἐπιτηδεύοντες, δοκοῦσί μοι εὖ πράττειν.

ιε΄. Καὶ ἀρίστους δὲ καὶ θεοφιλεστάτους ἔφη εἶναι, ἐν μὲν γεωργίᾳ, τοὺς τὰ γεωργικὰ εὖ πράττοντας, ἐν δὲ ἰατρείᾳ, τοὺς τὰ ἰατρικά, ἐν δὲ πολιτείᾳ, τοὺς τὰ πολιτικά· τὸν δὲ μηδὲν εὖ πράττοντα, οὔτε χρήσιμον οὐδὲν ἔφη εἶναι, οὔτε θεοφιλῆ.

ΚΕΦ.

piat: tu vero exiſtimas (inquit) eum qui præſtantiſſimos quoſq; ex ſociis occidat, vel nullum, vel leve damnum pati? utrum enim arbitraris eum, qui hoc perpetret, incolumem poſſe manere, an potius hoc pacto celerrime periturum?

14. Quum autem quidam eum interrogaret, quodnam ipſi videretur vitæ inſtitutum homini optimum; reſpondit, actionem bonam. At quum rurſus interrogaret, an etiam fortunam proſperam pro inſtituto duceret. Equidem (ait) fortunam & actionem prorſus eſſe ſtatuo contraria. Nam ſiquis nihil quærens, aliquid neceſſarium conſequatur, id fortunam eſſe proſperam puto: at ſiquis doctrina & cura recte quid faciat, id actioné bonam eſſe duco: quique ita vitam inſtituunt, ii mihi videntur bene agere.

15. Homines etiam optimos Deoq; acceptiſſimos aiebat eſſe, in agricultura, qui recte faciant quæ agriculturæ ſunt; in medicina, qui res medicas; in republica, qui res civiles: ſed qui nihil recte agit, eum neque utilem ad quidquam eſſe dicebat, neque acceptum Deo.

ΚΕΦ. ι'.

Ἀλλὰ μὴν καὶ εἴ ποτε τῶν τὰς τέχνας ἐχόντων, καὶ ἐργασίας ἕνεκα χρωμένων αὐταῖς, διαλέγοιτό τισι, καὶ τούτοις ὠφέλιμος ἦν. εἰσελθὼν μὲν γάρ ποτε πρὸς Παῤῥάσιον τὸν ζωγράφον, καὶ διαλεγόμενος αὐτῷ, Ἆρα, ἔφη, ὦ Παῤῥάσιε, γραφική ἐστιν ἡ εἰκασία τῶν ὁρωμένων; τὰ γοῦν κοῖλα καὶ τὰ ὑψηλά, καὶ τὰ σκοτεινὰ καὶ τὰ φωτεινά, καὶ τὰ σκληρὰ καὶ τὰ μαλακά, καὶ τὰ τραχέα καὶ τὰ λεῖα, καὶ τὰ νέα καὶ τὰ παλαιὰ σώματα διὰ τῶν χρωμάτων ἀπεικάζοντες ἐκμιμεῖσθε. ἀληθῆ λέγεις, ἔφη.

β'. Καὶ μὴν τά γε καλὰ εἴδη ἀφομοιοῦντες, ἐπειδὴ οὐ ῥᾴδιον ἑνὶ ἀνθρώπῳ περιτυχεῖν ἄμεμπτα πάντα ἔχοντι, ἐκ πολλῶν συνάγοντες τὰ ἐξ ἑκάστου κάλλιστα, οὕτως ὅλα τὰ σώματα καλὰ ποιεῖτε φαίνεσθαι. ποιοῦμεν γὰρ (ἔφη) οὕτως.

γ'. Τί γάρ; (ἔφη) τὸ πιθανώτατόν τε καὶ ἥδιστον, καὶ φιλικώτατον, καὶ ποθεινότατον, καὶ ἐρασμιώτατον ἀπομιμεῖσθε τῆς ψυχῆς ἦθος;

CAP. X.

ATqui si quando cum artificibus colloqueretur, qui quæstus gratia artificiis uterentur, etiam his proderat. Nam quum aliquando ad Parrhasium pictorem ingressus esset, cumque eo colloqueretur, Num pictura, mi Parrhasi, ait, earum rerum est assimilatio, quæ cernuntur? Nam & concava & eminentia, & obscura & lucida, & dura & mollia, & aspera & lævia, & nova & vetera corpora per colores repræsentando exprimitis. Vere dicis, ait.

2. Quum vero formas elegantes imitamini, quia non facile est unum hominem nancisci omnia irreprehensibilia habentem, de multis colligentes ea quæ in singulis pulcerrima sunt, ita tota corpora, ut pulcra videantur, efficitis? Sic facimus, ait.

3. Quid vero? (inquit) num indolem animi ad suadendum aptissimam, & suavissimam, & amicissimam, & desiderabilem maxime, maximeque amabilem imitamini?

ἦθος; ἢ οὐδὲ μιμητόν ἐστι τοῦτο; πῶς γὰρ ἂν (ἔφη) μιμητὸν εἴη, ὦ Σώκρατες, ὃ μήτε συμμετρίαν, μήτε χρῶμα, μήτε ὧν σὺ εἶπας ἄρτι μηδὲν ἔχει, μηδὲ ὅλως ὁρατόν ἐστιν;

δ΄. Ἆρ' οὖν (ἔφη) γίγνεται ἐν ἀνθρώπῳ πώποτε τὸ φιλοφρόνως καὶ τὸ ἐχθρῶς βλέπειν πρός τινας; ἔμοιγε δοκεῖ, ἔφη. οὐκοῦν τό γε μιμητὸν ἐν τοῖς ὄμμασιν; καὶ μάλα, ἔφη. ἐπὶ δὲ τοῖς τῶν φίλων ἀγαθοῖς καὶ τοῖς κακοῖς ὁμοίως σοι δοκοῦσιν ἔχειν τὰ πρόσωπα, οἵ τε φροντίζοντες καὶ οἱ μή; μὰ Δί' οὐ δῆτα, ἔφη· ἐπὶ μὲν γὰρ τοῖς ἀγαθοῖς φαιδροί, ἐπὶ δὲ τοῖς κακοῖς σκυθρωποὶ γίγνονται. οὐκοῦν (ἔφη) καὶ ταῦτα δυνατὸν ἀπεικάζειν; καὶ μάλα, ἔφη.

ε΄. Ἀλλὰ μὴν καὶ τὸ μεγαλοπρεπές τε καὶ ἐλευθέριον, καὶ τὸ ταπεινόν τε καὶ ἀνελεύθερον, καὶ τὸ σωφρονητικόν τε καὶ φρόνιμον, καὶ τὸ ὑβριστικόν τε καὶ ἀπειρόκαλον, καὶ διὰ τοῦ προσώπου καὶ διὰ τῶν σχημάτων, καὶ ἑστώτων καὶ κινουμένων ἀνθρώπων διαφαίνει. ἀληθῆ λέγεις, ἔφη. οὐκοῦν καὶ ταῦτα μιμητά; καὶ μάλα, ἔφη. πότερον οὖν (ἔφη) νομίζεις

tamini? an vero illa inimitabilis est? Quo pacto, mi Socrates (inquit) possit hoc esse imitabile, quod neque proportionem, neque colorem, neque quidquam habet illorum quæ modo commemorabas, neque omnino cerni potest?

4. Annon (inquit) usuvenit homini, ut blande vel hostiliter quosdam intueatur? Ita mihi videtur, ait. Ergo in oculis est, quod exprimi potest? Omnino, inquit. At in amicorum rebus secundis & adversis iidemne vultus esse tibi videntur eorum qui solliciti sunt, & qui non? Nequaquam, ait: nam in prosperis hilares, in adversis tristes sunt. Ergo possunt (ait) hæc quoque repræsentari? Omnino, respondit.

5. Quin etiam & magnificum & liberale, & humile & illiberale, & castum & prudens, & petulans & turpe, tam per vultum quam per gestus hominum seu stantium seu se moventium elucet. Vere dicis, ait. Annon & hæc imitanda? Omnino, inquit. Utrum ergo (ait) illa

νομίζεις ἥδιον ὁρᾷν τοὺς ἀνθρώπους, δι' ὧν τὰ καλά τε κἀγαθὰ καὶ ἀγαπητὰ ἤθη φαίνεται, ἢ δι' ὧν τὰ αἰσχρά τε καὶ πονηρὰ καὶ μισητά; πολὺ νὴ Δί' (ἔφη) διαφέρει, ὦ Σώκρατες.

ϛ'. Πρὸς δὲ Κλείτωνα τὸν ἀνδριαντοποιὸν εἰσελθών ποτε, καὶ διαλεγόμενος αὐτῷ, Ὅτι μὲν, ἔφη, ὦ Κλείτων, ἀλλοίους ποιεῖς δρομεῖς τε καὶ παλαιστὰς, καὶ πύκτας, καὶ παγκρατιαστὰς, ὁρῶ τε καὶ οἶδα· ὃ δὲ μάλιστα ψυχαγωγεῖ διὰ τῆς ὄψεως τοὺς ἀνθρώπους, τὸ ζωτικὸν φαίνεσθαι, πῶς τοῦτο ἐνεργάζῃ τοῖς ἀνδριᾶσιν.

ζ'. Ἐπεὶ δὲ ἀπορῶν ὁ Κλείτων οὐ ταχὺ ἀπεκρίνατο· ἆρ' (ἔφη) τοῖς τῶν ζώντων εἴδεσιν ἀπεικάζων τὸ ἔργον, ζωτικωτέρους ποιεῖς φαίνεσθαι τοὺς ἀνδριάντας; καὶ μάλα, ἔφη. οὐκοῦν τά τε ὑπὸ τῶν σχημάτων κατασπώμενα καὶ τὰ ἀνασπώμενα ἐν τοῖς σώμασι, καὶ τὰ συμπιεζόμενα καὶ τὰ διελκόμενα, καὶ τὰ ἐντεινόμενα καὶ τὰ ἀνιέμενα ἀπεικάζων, ὁμοιότερά τε τοῖς ἀληθινοῖς καὶ πιθανώτερα ποιεῖς φαίνεσθαι; πάνυ μὲν οὖν, ἔφη.

η'. Τὸ δὲ καὶ τὰ πάθη τῶν ποιούντων τι σωμάτων ἀπομιμεῖσθαι,

illa cernere lubentius homines putas, per quæ honesti, boni, amabiles mores elucent, an per quæ turpes, mali, ac odiosi? Multum profectò interest, (inquit) mi Socrates.

6. Etiam ingressus aliquando ad Clitonem statuarium, & cum eo collocutus, Varios te, mi Clito, ait, cursores, luctatores, pugiles, pancratiastas fingere video & scio: quod autem maxime recreat homines aspectu, vivax scilicet apparere, quo pacto id statuis indis.

7. Heic quum dubitans Clito non celeriter responderet: An (inquit) opus tuum formis viventium assimilando, statuas vivaciores videri facis? Omnino, inquit. Nonne igitur, dum quæ per gestus deorsum sursumque trahuntur in corporibus, & quæ comprimuntur & quæ diducuntur, & quæ intenduntur & quæ remittuntur, exprimis, facis, ut similiora veris magisque consentanea appareant? Maxime, inquit.

8. At vero etiam affectiones corporum aliquid agentium imitari

μεῖσθαι, οὐ ποιεῖ τινα τέρψιν τοῖς θεωμένοις; εἰκός γ' οὖν, ἔφη. Οὐκοῦν καὶ τῶν μὲν μαχομένων ἀπειλητικὰ τὰ ὄμματα ἀπεικαστέον, τῶν δὲ νενικηκότων εὐφραινομένων ὄψις μιμητέα. σφόδρα γε, ἔφη. δεῖ ἄρα (ἔφη) τὸν ἀνδριαντοποιὸν τὰ τῆς ψυχῆς ἔργα τῷ εἴδει προσεικάζειν.

θ'. Πρὸς δὲ Πιστίαν τὸν θωρακοποιὸν εἰσελθών, (ἐπιδείξαντος αὐτῷ τῷ Σωκράτει θώρακας εὖ εἰργασμένους) Νὴ τὴν Ἥραν, ἔφη, καλόν γε, ὦ Πιστία, τὸ εὕρημα, τὸ τὰ μὲν δεόμενα σκέπης τοῦ ἀνθρώπου σκεπάζειν τὸν θώρακα, ταῖς δὲ χερσὶ μὴ κωλύειν χρῆσθαι.

ι'. Ἀτὰρ (ἔφη) λέξόν μοι, ὦ Πιστία, διὰ τί οὔτε ἰσχυροτέρους οὔτε πολυτελεστέρους τῶν ἄλλων ποιῶν τοὺς θώρακας, πλείονος πωλεῖς; ὅτι, (ἔφη) ὦ Σώκρατες, εὐρυθμοτέρους ποιῶ. τὸν ῥυθμὸν (ἔφη) πότερα μέτρῳ ἢ σταθμῷ ἐπιδεικνύων, πλείονος τιμᾷς; οὐ γὰρ δὴ ἴσους γε πάντας, οὐδὲ ὁμοίους οἶμαί σε ποιεῖν, εἴ γε ἁρμόττοντας ποιεῖς.

ἀλλὰ

tari, an non delectationem aliquam spectantibus affert? Verisimile est, ait. Quamobrem pugnantium oculi repræsentandi sunt ut minaces, victorum vero vultus effingendus, quasi lætantium. Prorsus, inquit. Ergo statuarium (inquit) animi actiones per formam repræsentare oportet.

9. Ibidem ad Pistiam fabrum loricarium ingressus, (quum is Socrati loricas egregie factas ostenderet) Profecto, ait, mi Pistia, pulcrum hoc inventum est, tegere loricam eas hominis partes quas tegi necesse est; neque tamen impedire, quo minus quis manibus utatur.

10. Verum (inquit) dicito mihi, mi Pistia, quamobrem nec firmiores nec præstantiores loricas faciens, quam alii, pluris tamen eas vendis? Propterea, mi Socrates, (ait) quod concinniores facio. Concinnitatem vero an mensura vel pondere demonstrans, pluris æstimas? nec enim loricas omnes æquales neque similes te puto facere, siquidem congruentes facis.

Sic

ἀλλὰ νὴ Δί᾽ (ἔφη) ποιῶ· οὐδὲν γὰρ ὄφελός ἐστι θώρακος ἄνευ τούτου.

ια΄. Οὐκοῦν (ἔφη) σώματά γε ἀνθρώπων, τὰ μὲν εὔρυθμά ἐστι, τὰ δὲ ἄρυθμα; πάνυ μὲν οὖν, ἔφη. πῶς οὖν (ἔφη) τῷ ἀρύθμῳ σώματι ἁρμόττοντα τὸν θώρακα εὔρυθμον ποιεῖς; ὥσπερ καὶ ἁρμόττοντα, ἔφη· ὁ ἁρμόττων γάρ ἐστιν εὔρυθμος.

ιβ΄. Δοκεῖς μοι, ἔφη ὁ Σωκράτης, τὸ εὔρυθμον οὐ καθ᾽ ἑαυτὸ λέγειν, ἀλλὰ πρὸς τὸν χρώμενον· ὥσπερ ἂν εἰ φαίης, ἀσπίδα, ᾧ ἐὰν ἁρμόττῃ, τούτῳ εὔρυθμον εἶναι· καὶ χλαμύδα, καὶ τἆλλα ὡσαύτως ἔοικεν ἔχειν τῷ σῷ λόγῳ. ἴσως δὲ καὶ ἄλλό τι οὐ μικρὸν ἀγαθὸν τῷ ἁρμόττειν πρόσεστι. δίδαξον, (ἔφη) ὦ Σώκρατες, εἴ τι ἔχεις.

ιγ΄. Ἧττον (ἔφη) τῷ βάρει πιέζουσιν οἱ ἁρμόττοντες τῶν ἀναρμόστων, τὸν αὐτὸν σταθμὸν ἔχοντες. οἱ μὲν γὰρ ἀνάρμοστοι, ἢ ὅλοι ἐκ τῶν ὤμων κρεμάμενοι, ἢ καὶ ἄλλό τι σώματος σφόδρα πιέζοντες, δύσφοροι καὶ χαλε-

Sic facio, inquit: nam absque illo nullus loricæ usus fuerit.

11. Ergo (inquit) etiam hominum corpora partim concinna sunt, partim inconcinna. Maxime, inquit. Quo igitur pacto (inquit) loricam inconcinno corpori congruentem, concinnam efficis? Sic nimirum (ait) ut & congruentem facio: nam quæ congruit, concinna est.

12. Videris mihi, ait Socrates, concinnitatem non per se appellare, sed respectu utentis: quemadmodum si dicas clypeum concinnum illi esse, cui congruit; itidemque chlamidem, ac cæteras res se habere ex tuo quidem sermone constat. Fortassis autem aliud quoddam non exiguum bonum inest huic congruentiæ. Doce vero me, mi Socrates, (ait) si quid habes.

13. Minus (inquit) pondere suo premunt loricæ congruæ, quam incongruæ, licet pondus æquale habeant. Nam incongruæ, vel ab humeris totæ dependendo, vel aliam partem corporis aliquam vehementer premendo, gestatu difficiles

χαλεποὶ γίγνονται· οἱ δὲ ἁρμόττοντες, διειλημμένοι τὸ βάρος, τὸ μὲν ὑπὸ τῶν κλειδῶν καὶ ἐπωμίδων, τὸ δὲ ὑπὸ τῶν ὤμων, τὸ δὲ ὑπὸ τοῦ στήθους, τὸ δὲ ὑπὸ τοῦ νώτου, τὸ δὲ ὑπὸ τῆς γαστρὸς, ὀλίγου δεῖν οὐ φορήματι, ἀλλὰ προσθήματι ἐοίκασιν.

ιδ΄. Εἴρηκας (ἔφη) αὐτὸ δι᾽ ὅπερ ἔγωγε τὰ ἐμὰ ἔργα πλείστου ἄξια νομίζω εἶναι. ἔνιοι μέντοι τοὺς ποικίλους καὶ τοὺς ἐπιχρύσους θώρακας μᾶλλον ὠνοῦνται. ἀλλὰ μὴν (ἔφη) εἴγε διὰ ταῦτα μὴ ἁρμόττοντας ὠνοῦνται, κακὸν ἔμοιγε δοκοῦσι ποικίλον τε καὶ ἐπίχρυσον ὠνεῖσθαι.

ιε΄. Ἀτὰρ (ἔφη) τοῦ σώματος μὴ μένοντος, ἀλλὰ ποτὲ μὲν κυρτουμένου, ποτὲ δὲ ὀρθουμένου, πῶς ἂν ἀκριβεῖς θώρακες ἁρμόττοιεν; οὐδαμῶς, ἔφη. λέγεις (ἔφη) ἁρμόττειν οὐ τοὺς ἀκριβεῖς, ἀλλὰ τοὺς μὴ λυποῦντας ἐν τῇ χρείᾳ. αὐτὸς (ἔφη) τοῦτο λέγεις, ὦ Σώκρατες, καὶ τὰ νῦν ὀρθῶς ἀποδέχῃ.

ΚΕΦ.

ficiles ac molestæ fiunt: congruæ vero, quum onus partim à claviculis & parte scapulis vicina, partim ab humeris, à pectore, à tergo, à ventre distributum sublevetur, prope non gestaminis, sed appendicis esse loco videntur.

14. Dixisti hoc ipsum, ait, propter quod equidem opera mea maximi esse pretii duco. Nonnulli tamen thoraces varios ac deauratos lubentius emunt. At vero (inquit) si propterea non congruentes emunt, varium mihi & inauratum malum emere videntur.

15. Quum autem corpus eodem modo non manet, ait, sed modo curvatur, modo erigitur, quo pacto accurati thoraces congruere possunt? Nequaquam, inquit. Dicis tu congruere (ait) non accuratos, sed in ipso usu non molestos. Id vero, mi Socrates, ait, ipse dicis, & nunc quidem recte rem accipis.

CAP.

ΚΕΦ. ια'.

Γυναικὸς δέ ποτε οὔσης ἐν τῇ πόλει καλῆς, ᾗ ὄνομα ἦν Θεοδότη, καὶ οἵας συνεῖναι τῷ πείθοντι, μνησθέντος αὐτῆς τῶν παρόντων τινὸς, καὶ εἰπόντος, ὅτι κρεῖττον εἴη λόγου τὸ κάλλος τῆς γυναικὸς, καὶ ζωγράφους φήσαντος εἰσιέναι πρὸς αὐτὴν ἀπεικασομένους, οἷς ἐκείνην ἐπιδεικνύειν ἑαυτῆς ὅσα καλῶς ἔχοι· ἰτέον ἂν εἴη θεασομένους, ἔφη ὁ Σωκράτης· οὐ γὰρ δὴ ἀκούσασί γε τὸ λόγου κρεῖττόν ἐστι καταμαθεῖν. καὶ ὁ διηγησάμενος, οὐκ ἂν φθάνοιτ', ἔφη, ἀκολουθοῦντες.

β'. Οὕτω μὲν δὴ πορευθέντες πρὸς τὴν Θεοδότην, καὶ καταλαβόντες ζωγράφῳ τινὶ παρεστηκυῖαν, ἐθεάσαντο. παυσαμένου δὲ τοῦ ζωγράφου, ὦ ἄνδρες, ἔφη ὁ Σωκράτης, πότερον ἡμᾶς δεῖ μᾶλλον Θεοδότῃ χάριν ἔχειν, ὅτι ἡμῖν τὸ κάλλος ἑαυτῆς ἐπέδειξεν, ἢ ταύτην ἡμῖν, ὅτι ἐθεασάμεθα; ἆρ'

CAP. XI.

Ceterum quum aliquando mulier quædam esset in urbe formosa, cui nomen erat Theodota, & qualis cum persuadente consuescebat; facta ejus mentione ab aliquo eorum, qui aderant, dicente, mulieris elegantiam verba exuperare, atque etiam narrante pictores ad eam commeare assimilaturos, quibus illa commonstraret, quæcunque honeste posset: nos etiam, ait Socrates, hanc spectatum ire par erat: nec enim audientibus licet cognoscere id, quod omnem sermonem superat. Tum qui hæc narraverat, quin confestim, ait, sequimini.

2. Itaque quum ad Theodotam ivissent, & hanc pictori astantem reperissent, inspiciebant: quumque cessasset pictor, O viri, inquit Socrates, utrum nos gratiam potius habere Theodotæ convenit, quod pulcritudinem suam nobis ostenderit, an nobis illam, quod eam spectaverimus? Num

ἆρ' εἰ μὲν ταύτῃ ὠφελιμωτέρα ἐστὶν ἡ ἐπίδειξις, ταύτην ἡμῖν χάριν ἐκτέον· εἰ δὲ ἡμῖν ἡ θέα, ἡμᾶς ταύτῃ;

γ΄. Εἰπόντος δέ τινος, ὅτι δίκαια λέγοι· Οὐκοῦν (ἔφη) αὕτη μὲν ἤδη τὸν παρ' ἡμῶν ἔπαινον κερδαίνει, καὶ ἐπειδὰν εἰς πλείους διαγγείλωμεν, πλείω ὠφεληθήσεται. ἡμεῖς δὲ ἤδη τε ὧν ἐθεασάμεθα ἐπιθυμοῦμεν ἅψασθαι, καὶ ἄπιμεν ὑποκνιζόμενοι, καὶ ἀπελθόντες ποθήσομεν· ἐκ δὲ τούτων εἰκὸς, ἡμᾶς μὲν θεραπεύειν, ταύτην δὲ θεραπεύεσθαι. καὶ ἡ Θεοδότη, νὴ Δί', ἔφη, εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, ἐμὲ ἂν δέοι ὑμῖν τῆς θέας χάριν ἔχειν.

δ΄. Ἐκ δὲ τούτου ὁ Σωκράτης ὁρῶν αὐτήν τε πολυτελῶς κεκοσμημένην, καὶ μητέρα παροῦσαν αὐτῇ ἐν ἐσθῆτι καὶ θεραπείᾳ οὐ τῇ τυχούσῃ, καὶ θεραπαίνας πολλὰς καὶ εὐειδεῖς, καὶ οὐδὲ ταύτας ἠμελημένως ἐχούσας, καὶ τοῖς ἄλλοις τὴν οἰκίαν ἀφθόνως κατεσκευασμένην, εἰπέ μοι, ἔφη, ὦ Θεοδότη, ἔστι σοι ἀγρός; Οὐκ ἔμοιγ', ἔφη. ἀλλ' ἄρα οἰκία προσόδους ἔχουσα;

Num si quidem hæc ostensio ipsi utilior est, nobis habere gratiam debet: sin autem nobis contemplatio, nos ipsi?

3. Heic quum quidam diceret, proferri ab eo æquissima: Ergo (inquit) hæc quidem modo laudem hanc à nobis lucratur, ac, postéaquam ad plures rem enunciaverimus, plus utilitatis capiet: nos autem quæ jam spectavimus, attingere cupimus, ac abimus nonnihil titillati, ac ubi discesserimus, desiderabimus. De quibus consentaneum est, nos quidem hanc colere, ipsam vero coli. Tum Theodota, Profecto, inquit, si hæc ita se habent, me vobis spectationis causa gratiam habere oporteat.

4. Deinde Socrates, quum eam sumptuose ornatam videret, ac matrem cum ea in veste & cultu non vulgari, itemque multas ac formosas ancillas, ne illas quidem neglectim habitas, aliisque rebus abunde instructas ædes, Dic mihi, ait, mea Theodota, estne tibi prædium? Non mihi, inquit. At domus cum

ἔχουσα; οὐδὲ οἰκία, ἔφη· ἀλλὰ μὴ χειροτέχναι τινές; οὐδὲ χειροτέχναι, ἔφη. πόθεν οὖν (ἔφη) τὰ ἐπιτήδεια ἔχεις; ἐάν τις (ἔφη) φίλος μοι γενόμενος εὖ ποιεῖν ἐθέλῃ, οὗτός μοι βίος ἐστί.

ε'. Νὴ τὴν Ἥραν, (ἔφη) ὦ Θεοδότη, καλόν γε τὸ κτῆμα, καὶ πολλῷ κρεῖττον ἢ οἰῶν τε καὶ βοῶν καὶ αἰγῶν, φίλων ἀγέλην κεκτῆσθαι. ἀτὰρ (ἔφη) πότερον τῇ τύχῃ ἐπιτρέπεις, ἐάν τίς σοι φίλος ὥσπερ μυῖα προσπτῇ, ἢ καὶ αὐτή τι μηχανᾷ;

ϛ'. Πῶς δ' ἂν (ἔφη) ἐγὼ τούτου μηχανὴν εὕροιμι; πολὺ νὴ Δί' (ἔφη) προσηκόντως μᾶλλον, ἢ αἱ φάλαγγες. οἶσθα γὰρ ὡς ἐκεῖναι θηρῶσι τὰ πρὸς τὸν βίον· ἀράχνια γὰρ δήπου λεπτὰ ὑφηνάμεναι, ὅ,τι ἂν ἐνταῦθα ἐμπέσῃ, τούτῳ τροφῇ χρῶνται.

ζ'. Καὶ ἐμοὶ οὖν (ἔφη) συμβουλεύεις ὑφήνασθαί τι θήρατρον; οὐ γὰρ δὴ οὕτως γε ἀτεχνῶς οἴεσθαι χρὴ τὸ πλείστου ἄξιον ἄγρευμα φίλους θηράσειν. οὐχ ὁρᾷς, ὅτι καὶ τὸ μικροῦ ἄξιον τοὺς λαγὼς θηρῶντες πολλὰ τεχνάζουσιν;

η'. Ὅτι

proventibus? Nec domus, ait. At servi artes manuarias exercentes? Nec illi quidem, ait. Unde igitur habes necessaria? inquit. Siquis (ait) amicus mihi factus, bene mihi facere velit, is mihi facultatum instar est.

5. Profecto, (ait) mea Theodota, præclara illa possessio est, multoque potius est amicorum habere gregem, quam ovium, boum, caprarum. Verum (ait) an rem fortunæ committis, ut aliquis ad te amicus instar muscæ advolet, an & ipsa nonnihil machinaris?

6. Qui possim ego (inquit) artis aliquid ad hoc invenire? Multo (inquit) convenientius, quam araneæ. Nosti enim quo pacto illæ victum venentur. Telas enim tenues texunt, & quicquid in eas inciderit, eo cibi loco utuntur.

7. Ergo mihi quoque (ait) consulis, ut rete aliquod texam? Non enim scilicet, adeo te sine arte putare debes prædam pretiosissimam amicos venaturam. Non vides eos, qui lepores rem non magni æstimandam venantur, multa artificiose moliri?

8. Nam

η'. Ὅτι μὲν γὰρ τῆς νυκτὸς νέμονται, κύνας νυκτερευτικὰς ποιησάμενοι, ταύταις αὐτοὺς θηρῶσιν· ὅτι δὲ μεθ' ἡμέραν ἀποδιδράσκουσιν, ἄλλας κτῶνται κύνας, αἵτινες ᾗ ἂν ἐκ τῆς νομῆς εἰς τὴν εὐνὴν ἀπέλθωσι, τῇ ὀσμῇ αἰσθανόμεναι εὑρίσκουσιν αὐτούς· ὅτι δὲ ποδώκεις εἰσίν, ὥστε καὶ ἐκ τοῦ φανεροῦ τρέχοντες ἀποφεύγειν, ἄλλας αὖ κύνας ταχείας παρασκευάζονται, ἵνα κατὰ πόδας ἁλίσκωνται· ὅτι δὲ καὶ ταύτας αὐτῶν τινες ἀποφεύγωσι, δίκτυα ἱστᾶσιν εἰς τὰς ἀτραποὺς ᾗ φεύγουσιν, ἵν' εἰς ταῦτα ἐμπίπτοντες συμποδίζωνται.

θ'. Τίνι οὖν (ἔφη) τοιούτῳ φίλους ἂν ἐγὼ θηρῴην; ἐὰν νὴ Δί' (ἔφη) ἀντὶ κυνὸς κτήσῃ, ὅστις σοι ἰχνεύων μὲν τοὺς φιλοκάλους καὶ πλουσίους εὑρήσει, εὑρὼν δὲ μηχανήσεται ὅπως ἐμβάλῃ αὐτοὺς εἰς τὰ σὰ δίκτυα.

ι'. Καὶ ποῖα (ἔφη) ἐγὼ δίκτυα ἔχω; ἓν μὲν δήπου (ἔφη) καὶ μάλα εὖ περιπλεκόμενον, τὸ σῶμα· ἐν δὲ τούτῳ ψυχήν, ᾗ καταμανθάνεις, καὶ ὡς ἂν ἐμβλέπουσα χαρίζοιο, καὶ

8. Nam quum illi noctu paſcantur, comparatis canibus nocturnis, eos venantur: Et quia interdiu aufugiunt, alios acquirunt canes, qui ex odore ſentientes, quo ſe ex paſtu ad cubile receperint, eos reperiant: quia vero pedibus celeres ſunt, ut etiam ex oculis effugere currendo poſſint, rurſus alios canes veloces comparant, ut è veſtigio capiantur: rurſum quia lepores nonnulli hos quoque effugiunt, retia ſtatuunt iis in ſemitis, per quas fugiunt, ut in ea delapſi compedibus quibuſdam implicentur.

9. Qua igitur re tali (ait) poſſim amicos ego venari? Si profecto canis loco (inquit) comparaveris aliquem, qui indagando tibi formæ ſtudioſos ac locupletes inveniat; atque ubi invenerit, hoc machinetur, ut eos in retia tua conjiciat.

10. Et qualianam (inquit) retia mihi ſunt? Unum certe (ait) & maxime circumplectens, nimirum corpus; atque in hoc animus, quo intelligere potes, quo pacto homines intuendo grata eſſe poſſis;

καὶ ὅ,τι ἂν λέγουσα εὐφραίνοις· καὶ ὅτι δεῖ τὸν μὲν ἐπιμελόμενον ἀσμένως ὑποδέχεσθαι, τὸν δὲ τρυφῶντα ἀποκλείειν· καὶ ἀρρωστήσαντός γε φίλου, φροντιστικῶς ἐπισκέψασθαι, καὶ καλόν τι πράξαντος σφόδρα συνησθῆναι· καὶ τῷ σφόδρα σοῦ φροντίζοντι ὅλῃ τῇ ψυχῇ κεχαρίσθαι. φιλεῖν γε μὴν εὖ οἶδ' ὅτι ἐπίστασαι οὐ μόνον μαλακῶς, ἀλλὰ καὶ εὐνοϊκῶς· καὶ ὅτι ἀρεστοί σοι εἰσὶν οἱ φίλοι, οἶδ' ὅτι οὐ λόγῳ ἀλλ' ἔργῳ ἀναπείθεις. μὰ τὸν Δί', ἔφη ἡ Θεοδότη, ἐγὼ τούτων οὐδὲν μηχανῶμαι.

ια'. Καὶ μὴν (ἔφη) πολὺ διαφέρει τὸ κατὰ φύσιν τε καὶ ὀρθῶς ἀνθρώπῳ προσφέρεσθαι. καὶ γὰρ δὴ βίᾳ μὲν οὔτ' ἂν ἕλοις, οὔτε κατάσχοις φίλον· εὐεργεσίᾳ δὲ καὶ ἡδονῇ τὸ θηρίον τοῦτο ἁλώσιμόν τε καὶ παραμόνιμόν ἐστιν. ἀληθῆ λέγεις, ἔφη.

ιβ'. Δεῖ τοίνυν (ἔφη) πρῶτον μὲν τοὺς φροντίζοντάς σου τοιαῦτα ἀξιοῦν, οἷα ποιοῦσιν αὐτοῖς σμικρότατα μελήσει· ἔπειτα δὲ αὐτὴν ἀμείβεσθαι χαριζομένην τὸν αὐτὸν τρόπον. οὕτω γὰρ ἂν μάλιστα φίλοι γίγνοιντο, καὶ πλεῖστον χρόνον φιλοῖεν, καὶ μέγιστα εὐεργετοῖεν.

ιγ'. Χαρί-

quid dicens, exhilarare possis; & quod suscipiendus sit comiter tui studiosus, excludendus vero, qui te ludibrio habeat; sollicite invisendus amicus, qui ægrotet; vehementer congratulandum ei, qui præclare quid gesserit; denique toto animo gratificandum illi, cui admodum curæ sis. Amare quidem certe scio te non modo molliter nosse, sed & benevole: & ut optimi tibi adsint amici, te scio non oratione, sed ipsa re persuadere. Ego vero, inquit Theodota, nihil horum machinor.

11. At multum refert, ait, prout natura fert, ac recte homines aggredi. Nam vi quidem neque capere neque retinere amicum possis: sed hæc fera beneficio & voluptate tum capi potest, tum ut maneat, retineri. Vere dicis, inquit.

12. Quamobrem oportet (ait) primum à tui studiosis hujusmodi petere, qualia minimi sunt facturi: deinde ut tu quoque gratificando vicem eodem modo referas. Nam hoc pacto maxime tibi amici fient, ac diutissime diligent, & maximis te beneficiis afficient.

13. Grati-

ιγ'. Χαρίζοιο δ' ἂν μάλιστα, εἰ δεομένοις δωροῖο τὰ παρὰ σαυτῆς. ὁρᾷς γὰρ, ὅτι καὶ τῶν βρωμάτων τὰ ἥδιστα, ἐὰν μέν τις προσφέρηται πρὶν ἐπιθυμεῖν, ἀηδῆ φαίνεται, κεκορεσμένοις δὲ καὶ βδελυγμίαν παρέχει· ἐὰν δέ τις προσφέρῃ λιμὸν ἐμποιήσας, κἂν φαυλότερα ᾖ, πάνυ ἡδέα φαίνεται.

ιδ'. Πῶς οὖν ἂν (ἔφη) ἐγὼ λιμὸν ἐμποιεῖν τῳ τῶν παρ' ἐμοὶ δυναίμην; εἰ νὴ Δί' (ἔφη) πρῶτον μὲν τοῖς κεκορεσμένοις μήτε προσφέροις μήτε ὑπομιμνήσκοις, ἕως ἂν τῆς πλησμονῆς παυσάμενοι πάλιν δέων)· ἔπειτα τοὺς δεομένους ὑπομιμνήσκοις ὡς κοσμιωτάτῃ τε ὁμιλίᾳ, καὶ τῷ φαίνεσθαι βουλομένη χαρίζεσθαι, καὶ διαφεύγουσα, ἕως ἂν ὡς μάλιστα δεηθῶσι· τηνικαῦτα γὰρ πολὺ διαφέρει τὰ αὐτὰ δῶρα, ἢ πρὶν ἐπιθυμῆσαι, διδόναι.

ιε'. Καὶ ἡ Θεοδότη, τί οὖν; οὐ σύ μοι, ἔφη, ὦ Σώκρατες, ἐγένου συνθηρατὴς τῶν φίλων; ἐάν γε νὴ Δί' (ἔφη) πείθῃς με σύ. πῶς οὖν ἂν (ἔφη) πείσαιμί σε; ζητήσεις (ἔφη)

13. Gratificaberis autem maxime, si tua, quum eis indigent, concesseris. Vides enim etiam suavissimas escas allatas prius, quam appetantur, insuaves videri; exsaturatis vero etiam fastidium parere: at siquis eas porrigat iis in quibus famem excitaverit, etiamsi viliores sint, persuaves videntur.

14. Quo igitur pacto (ait) famem ego in aliquo apud me possim excitare? Primum profecto (ait) si saturatis neque porrigas, neque eos commonefacias prius, quam à repletione desinentes rursus egeant: deinde si commonefeceris indigentes colloquio maxime decoro, atque apparendo quasi gratificari velis, interimque elabaris, donec maxime indigeant. Tunc enim longe præstat eadem dona concedere, quam prius, quum nondum expeterentur.

15. Et Theodota, Quid ergo? inquit, non tu mihi, mi Socrates, amicorum convenator esse velis? Profecto, ait, si tu me persuaseris. Quo igitur pacto (ait) te persuaserim? Quæres (inquit)

(ἔφη) τοῦτο αὐτή, καὶ μηχανήσῃ ἐάν τι μου δέῃ. εἴσιθι τοίνυν (ἔφη) θαμινά.

ιϛ'. Καὶ ὁ Σωκράτης ἐπισκώπτων τὴν αὐτῆς ἀπραγμοσύνην, ἀλλ', ὦ Θεοδότη, ἔφη, οὐ πάνυ μοι ῥᾴδιόν ἐστι σχολάσαι· καὶ γὰρ ἴδια πράγματα πολλά, καὶ δημόσια, παρέχει μοι ἀσχολίαν· εἰσὶ δὲ καὶ φίλαι μοι, αἳ οὔτε ἡμέρας οὔτε νυκτὸς ἀφ' αὑτῶν ἐάσουσί με ἀπιέναι, φίλτρα τε μανθάνουσαι παρ' ἐμοῦ, καὶ ἐπῳδάς.

ιζ'. Ἐπίστασαι γὰρ (ἔφη) καὶ ταῦτα, ὦ Σώκρατες; ἀλλὰ διὰ τί οἴει (ἔφη) Ἀπολλόδωρόν τε τόνδε καὶ Ἀντισθένην οὐδέποτέ μου ἀπολείπεσθαι; διὰ τί δὲ καὶ Κέβητα καὶ Σιμμίαν Θήβηθεν παραγίγνεσθαι; εὖ ἴσθι, ὅτι ταῦτα οὐκ ἄνευ πολλῶν φίλτρων τε καὶ ἐπῳδῶν καὶ ἰύγγων ἐστί.

ιη'. Χρῆσόν τοίνυν μοι (ἔφη) [d] τὴν ἴυγγα, ἵνα ἐπὶ σοὶ πρῶτον ἕλκω αὐτήν. ἀλλὰ μὰ Δί' (ἔφη) οὐκ αὐτὸς ἕλκεσθαι πρός σε βούλομαι, ἀλλά σε πρὸς ἐμὲ πορεύεσθαι. ἀλλὰ πορεύσομαι, (ἔφη) μόνον ὑποδέχου. ἀλλ' ὑποδέξομαί σε, ἔφη, ἐὰν μή τις φιλωτέρα σου ἔνδον ᾖ.

ΚΕΦ.

(inquit) hoc ipsa tu, & excogitabis, si qua in re mea tibi opus sit opera. Ergo frequenter (ait) ad me aggredere.

16. Et Socrates ipsius in otium jocans, Enimvero, mea Theodota, inquit, non mihi admodum facile est otiari. Nam compluribus tum privatis tum publicis negotiis occupatus sum. Atq; etiam amicæ quædam mihi sunt, quæ nec interdiu, nec noctu abesse me abs se patientur; quod & amoris conciliandi rationes, & incantationes ex me discant.

17. An & illa nosti, ait, mi Socrates? Cur enim existimas (respondit) & Apollodorum hunc, & Antisthenem nunquam à me discedere? Cur & Cebetem & Simmiã Thebis ad me ventitare? Sat scito, ea non absque multis philtris & incantationibus & illecebris fieri.

18. Ergo tu (inquit) accommodes mihi lyngem, ut eam in te primum attraham. At enim (inquit) nolo ad te profecto pertrahi, sed te ad me venire. Veniam vero, (ait) tantum me suscipe. Suscipiam, inquit, si non aliqua te carior apud me fuerit.

CAP.

ΚΕΦ. ιβ'.

Ἐπιγένην δὲ τῶν ξυνόντων τινὰ νέον τε ὄντα καὶ τὸ σῶμα κακῶς ἔχοντα ἰδών, Ὡς ἰδιωτικῶς, ἔφη, τὸ σῶμα ἔχεις, ὦ Ἐπίγενες. καὶ ὅς, ἰδιώτης γάρ, ἔφη, εἰμί, ὦ Σώκρατες. Οὐδέν γε μᾶλλον (ἔφη) τῶν ἐν Ὀλυμπίᾳ μελλόντων ἀγωνίζεσθαι.

β'. Ἢ δοκεῖ σοι μικρὸς εἶναι ὁ περὶ τῆς ψυχῆς πρὸς τοὺς πολεμίους ἀγὼν ὃν Ἀθηναῖοι θήσουσιν, ὅταν τύχωσι; καὶ μὴν οὐκ ὀλίγοι μὲν διὰ τὴν τοῦ σώματος καχεξίαν ἀποθνήσκουσί τε ἐν τοῖς πολεμικοῖς κινδύνοις, καὶ αἰσχρῶς σώζονται· πολλοὶ δὲ δι' αὐτὸ τοῦτο ζῶντες ἁλίσκονται, καὶ ἁλόντες ἤτοι δουλεύουσι τὸν λοιπὸν βίον, ἐὰν οὕτω τύχωσι, τὴν χαλεπωτάτην δουλείαν, ἢ εἰς τὰς ἀνάγκας τὰς ἀλγεινοτάτας ἐμπεσόντες καὶ ἐκτίσαντες ἐνίοτε πλείω τῶν ὑπαρχόντων αὐτοῖς, τὸν λοιπὸν βίον ἐνδεεῖς τῶν ἀναγκαίων ὄντες καὶ κακοπαθοῦντες διαζῶσι· πολλοὶ δὲ δόξαν

αἰσχρὰν

CAP. XII.

QUum Epigenem quendam vidiſſet ex familiaribus, qui & juvenis eſſet, & corpore male affecto, Quam vulgariter, inquit, affectum tibi corpus eſt, mi Epigenes. Et ille, Vulgaris ſum, mi Socrates, ait. Nihilo magis (inquit) quam qui apud Olympiam ſunt decertaturi.

2. An tibi videtur eſſe certamen exiguum de vita adverſus hoſtes, quod Athenienſes proponent, quum res feret? Atqui non pauci bellicis in periculis ob malam corporis valetudinem moriuntur, vel turpiter evadunt. Multi eadem de cauſa capiuntur vivi, & capti reliquum vitæ ſerviunt, ſi res ita ferat, ſervitutem graviſſimam; vel in neceſſitates ærumnoſas prolapſi, atque etiam perſolventes nonnunquam plura, quam in bonis habeant, quod reliquum vitæ eſt, in rerum neceſſariarum inopia & ærumnis tranſigunt: Multi etiam ſibi exiſtimationem

αἰσχρὰν κτῶνται, διὰ τὴν τοῦ σώματος ἀδυναμίαν, δοκοῦντες ἀποδειλιᾶν.

γ'. Ἢ καταφρονεῖς τῶν ἐπιτιμίων τῆς καχεξίας τούτων, καὶ ῥᾳδίως ἂν οἴει φέρειν τὰ τοιαῦτα; καὶ μὴν οἶμαί γε πολλῷ ῥᾴω καὶ ἡδίω τούτων εἶναι, ἃ δεῖ ὑπομένειν τὸν ἐπιμελόμενον τῆς τοῦ σώματος εὐεξίας. ἢ ὑγιεινοτέραν τε καὶ εἰς τἆλλα χρησιμωτέραν νομίζεις εἶναι τὴν καχεξίαν τῆς εὐεξίας; ἢ τῶν διὰ τὴν εὐεξίαν γιγνομένων καταφρονεῖς;

δ'. Καὶ μὴν πάντα γε τἀναντία συμβαίνει τοῖς εὖ τὰ σώματα ἔχουσιν, ἢ τοῖς κακῶς. καὶ γὰρ ὑγιαίνουσιν οἱ τὰ σώματα εὖ ἔχοντες, καὶ ἰσχύουσι, καὶ πολλοὶ μὲν διὰ τοῦτο ἐκ τῶν πολεμικῶν ἀγώνων σώζονταί τε εὐσχημόνως, καὶ τὰ δεινὰ πάντα διαφεύγουσι· πολλοὶ δὲ φίλοις τε βοηθοῦσι καὶ τὴν πατρίδα εὐεργετοῦσι, καὶ διὰ ταῦτα χάριτός τε ἀξιοῦνται καὶ δόξαν μεγάλην κτῶνται, καὶ τιμῶν καλλίστων τυγχάνουσι. καὶ διὰ ταῦτα τόν τε λοιπὸν βίον ἥδιον καὶ κάλλιον δια-

ſtimationem turpem comparant, quod ob corporis imbecillitatem formidoloſe ſe gerere videantur.

3. An has tu malæ valetudinis pœnas contemnis, teque putas hæc facile laturum? Atqui arbitror longe faciliora & jucundiora his eſſe, quæ illum tolerare neceſſe ſit, qui bonæ corporis valetudini ſtudet. An tu ſalubriorem, ac ad alia putas utiliorem eſſe malam corporis conſtitutionem, quam bonam? An ea, quæ per bonam corporis conſtitutionem fiunt, contemnis?

4. Contra quidem evenit his qui bona habitudine corporis fruantur, atque his qui mala. Nam quibus affecta bene ſunt corpora, valent, & robuſti ſunt, & multi hac ratione incolumes è præliis evadunt honeſtiſſime, cunctaque pericula effugiunt: multi amicis ſuccurrunt, de patria bene merentur, & ob hæc gratiam conſequuntur, & ingentem gloriam comparant, & honores præclariſſimas adipiſcuntur. Quo ſit ut reliquam vitam ſuavius ac præclarius

διάγωσι, καὶ τοῖς ἑαυτῶν παισὶ καλλίους ἀφορμὰς εἰς τὸν βίον καταλείπουσιν.

έ. Οὔ τοι χρή, ὅτι ἡ πόλις οὐκ ἀσκεῖ δημοσίᾳ τὰ πρὸς τὸν πόλεμον, διὰ τοῦτο καὶ ἰδίᾳ ἀμελεῖν, ἀλλὰ μηδὲν ἧττον ἐπιμελεῖσθαι. εὖ γὰρ ἴσθι, ὅτι οὐδὲ ἐν ἄλλῳ οὐδενὶ ἀγῶνι, οὐδὲ ἐν πράξει οὐδεμιᾷ μεῖον ἕξεις διὰ τὸ βέλτιον τὸ σῶμα παρεσκευάσθαι. πρὸς πάντα γάρ, ὅσα πράττουσιν ἄνθρωποι, χρήσιμον τὸ σῶμά ἐστιν, ἐν πάσαις δὲ ταῖς τοῦ σώματος χρείαις πολὺ διαφέρει ὡς βέλτιστα τὸ σῶμα ἔχειν.

ς΄. Ἐπεὶ καὶ ἐν ᾧ δοκεῖς ἐλαχίστην σώματος χρείαν εἶναι, ἐν τῷ διανοεῖσθαι, τίς οὐκ οἶδεν, ὅτι καὶ ἐν τούτῳ πολλοὶ μεγάλα σφάλλονται, διὰ τὸ μὴ ὑγιαίνειν τὸ σῶμα; καὶ λήθη δέ, καὶ ἀθυμία, καὶ δυσκολία, καὶ μανία πολλάκις πολλοῖς διὰ τὴν τοῦ σώματος καχεξίαν εἰς τὴν διάνοιαν ἐμπίπτουσιν οὕτως, ὥστε καὶ τὰς ἐπιστήμας ἐκβάλλειν.

ζ΄. Τοῖς δὲ τὰ σώματα εὖ ἔχουσι πολλὴ ἀσφάλεια, καὶ

οὐδεὶς

clarius transigant, liberisque suis pulcriora relinquant ad vitam subsidia.

5. Nequaquam certe propterea, quod civitas publice res bellicas non exerceat, etiam privatim negligendæ sunt, sed nihilo minus sunt excolendæ. Quippe scire te velim, nec in alio quovis certamine, nec ulla in actione deteriorem idcirco te futurum, quod à corpore rectius comparatus sis. Nam ad omnia, quæcunque agunt homines, utile corpus est; atque in omnibus corporis usibus multum interest, esse quam optime affecto corpore.

6. Quis enim ignorat, etiam in eo, in quo putas usum corporis esse minimum, videlicet in cogitando, multos vehementer impingere, propterea quod corpus non recte valeat? Etiam oblivio, & mœror, & morositas, & insania sæpius in multis ob malam. corporis affectionem sic in mentem penetrant, ut etiam scientias ejiciant.

7. At quibus affecta bene sunt corpora, multa illis securitas, ne-

οὐδεὶς κίνδυνος διά τε τὴν τοῦ σώματος καχεξίαν τοιοῦτόν τι παθεῖν· εἰκὸς δὲ μᾶλλον πρὸς τὰ ἐναντία τῶν διὰ τὴν καχεξίαν γιγνομένων καὶ τὴν εὐεξίαν χρήσιμον εἶναι. καίτοι τῶν γε τοῖς εἰρημένοις ἐναντίων ἕνεκα τί οὐκ ἄν τις νοῦν ἔχων ὑπομείνειεν;

η'. Αἰσχρὸν δὲ καὶ τὸ διὰ τὴν ἀμέλειαν γηρᾶσαι, πρὶν ἰδεῖν ἑαυτὸν, ποῖος ἂν κάλλιστος καὶ κράτιστος τῷ σώματι γένοιτο· ταῦτα δὲ οὐκ ἔστιν ἰδεῖν ἀμελοῦντα· οὐ γὰρ ἐθέλει αὐτόματα γίγνεσθαι.

ΚΕΦ. ιγ'.

Ὀργιζομένου δέ ποτέ τινος, ὅτι προσειπὼν τινα χαίρειν, οὐκ ἀντιπροσερρήθη· γελοῖον, (ἔφη) εἰ μὲν τὸ σῶμα κάκιον ἔχοντι ἀπηντήσας τῳ, μὴ ἂν ὀργίζεσθαι· ὅτι δὲ τὴν ψυχὴν ἀγροικοτέρως διακειμένῳ περιέτυχες, τοῦτό σε λυπεῖ.

β'. Ἀλλου

que quicquam eſt periculi eis ob malam corporis conſtitutionem hujuſmodi quid eventurum: potiuſque conſentaneum eſt, valetudinem integram ad iis contraria, quæ ex mala conſtitutione oriuntur, conducere. Atqui propter ea quæ jam dictis ſunt contraria, quid non aliquis toleraret mentis compos?

8. Etiam turpe eſt, aliquem negligentia ſua ſeneſcere priuſquam videat, qualis ſit, ubi & pulcerrimus & robuſtiſſimus corpore evaſerit. At hoc videre nequit, qui curam nullam adhibeat: non enim illa ſponte ſua fiunt.

CAP. XIII.

QUum autem aliquando quidam excandeſceret, quod ſalutans quendam, reſalutatus non fuiſſet: Ridiculum eſt (inquit) te, ſi cui occurriſſes qui ſe corpore deterius habuiſſet, non ſuccenſurum fuiſſe: quod autem in hominem incideris animo ruſticiore præditum, id tibi moleſtum eſſe.

2. Iti-

β'. Ἄλλου δὲ λέγοντος, ὅτι ἀηδῶς ἐσθίοι· ἀκουμενὸς ἔφη τούτου φάρμακον ἀγαθὸν διδάσκειν. ἐρομένου δὲ, ποῖον; παύσασθαι ἐσθίοντα ἔφη· καὶ ἥδιόν τε καὶ εὐτελέστερον καὶ ὑγιεινότερον φησι διάξειν παυσάμενον.

γ'. Ἄλλου δ' αὖ λέγοντος, ὅτι θερμὸν εἴη παρ' ἑαυτῷ τὸ ὕδωρ, ὃ πίνοι. ὅταν ἄρ' (ἔφη) βούλῃ θερμῷ λούσασθαι, ἕτοιμον ἔσται σοι. ἀλλὰ ψυχρὸν (ἔφη) ὥστε λούσασθαί ἐστιν. ἆρ' οὖν (ἔφη) καὶ οἱ οἰκέται σου ἄχθονται πίνοντές τε αὐτὸ καὶ λουόμενοι αὐτῷ; μὰ τὸν Δί' (ἔφη) ἀλλὰ καὶ πολλάκις τεθαύμακα, ὡς ἡδέως αὐτῷ πρὸς ἀμφότερα ταῦτα χρῶνται. πότερον δὲ (ἔφη) τὸ παρὰ σοὶ ὕδωρ θερμότερον πιεῖν ἐστιν, ἢ τὸ ἐν Ἀσκληπιοῦ; τὸ ἐν Ἀσκληπιοῦ, ἔφη. ἐνθυμοῦ οὖν, ἔφη, ὅτι κινδυνεύεις δυσαρεστότερος εἶναι τῶν τε οἰκετῶν καὶ τῶν ἀρρωστούντων.

δ'. Κολάσαντος δέ τινος ἰσχυρῶς ἀκόλουθον, ἤρετο τί χαλεπαίνοι τῷ θεράποντι; ὅτι (ἔφη) ὀψοφαγίστατός

τε

2. Itidem quum alius diceret, insuaviter se comedere: ut illi mederetur, bonum se remedium ad hoc docere velle dicebat. Illo interrogante, qualenam id esset: si comedere cessaveris, inquit. Et quidem si desieris, ait, etiam suavius, & parcius, & salubrius vives.

3. Rursus alio dicente, aquam apud se calidam esse, quam biberet: ergo quum lavare calida voles, inquit, in promptu tibi erit. Atqui (ait) frigida est, qua lavare licet. Ergo (inquit) etiam domestici graviter ferunt bibere ipsam, ipsaque lavare? Profecto (inquit) sæpe miratus sum, quod tam jucunde ad horum utrumque illa utantur. Aqua (inquit) quæ apud te est, an quæ est in Æsculapii, calidior est ad potum? Illa (inquit) quæ in Æsculapii est. Ergo cogitato (ait) periculum esse, ne & servis & ægrotantibus sis morosior.

4. Quum quidam pedisequum suum vehementer cecidisset, quamobrem servo succenseret, interrogabat? Quod (inquit) vora-

cissimus

τε ὤν, βλακώτατός ἐστι· καὶ φιλαργυρώτατος ὤν, ἀργότατος. ἤδη ποτὲ οὖν ἐπεσκέψω (ἔφη) πότερος πλειόνων πληγῶν δεῖται, σύ, ἢ ὁ θεράπων;

ε'. Φοβουμένου δέ τινος τὴν εἰς Ὀλυμπίαν ὁδόν, τί (ἔφη) φοβῇ τὴν πορείαν; οὐ καὶ οἴκοι σχεδὸν ὅλην τὴν ἡμέραν περιπατεῖς; καὶ ἐκεῖσε πορευόμενος, περιπατήσας ἀριστήσεις, περιπατήσας δειπνήσεις καὶ ἀναπαύσῃ. οὐκ οἶσθα, ὅτι εἰ ἐκτείνας τοὺς περιπάτους, οὓς ἐν πέντε ἢ ἓξ ἡμέραις περιπατεῖς, ῥᾳδίως ἂν Ἀθήνηθεν εἰς Ὀλυμπίαν ἀφίκοιο; χαριέστερον δὲ καὶ προεξορμᾶν ἡμέρᾳ μιᾷ μᾶλλον, ἢ ὑστερίζειν. τὸ μὲν γὰρ ἀναγκάζεσθαι περαιτέρω τοῦ μετρίου μηκύνειν τὰς ὁδούς, χαλεπόν· τὸ δὲ μιᾷ ἡμέρᾳ πλείονας προελθεῖν, πολλὴν ῥᾳστώνην παρέχει. κρεῖττον οὖν ἐν τῇ ὁρμῇ σπεύδειν, ἢ ἐν τῇ ὁδῷ.

ϛ'. Ἄλλου δὲ λέγοντος, ὡς παρετάθη μακρὰν ὁδὸν πορευθείς, ἤρετο αὐτόν, εἰ καὶ φορτίον ἔφερε. μὰ Δί' οὐκ ἔγωγ',

cissimus sit obsoniorum, & simul mollissimus: avarissimus idem, & otiosissimus. Unquamne vero considerasti, inquit, uter plures plagas mereatur, tu, an servus tuus.

5. Quum quidam iter ad Olympiam reformidaret: Quamobrem (inquit) profectionem hanc metuis? Annon etiam domi totum fere diem obambulas? Ita quoque dum eo proficiscens ambulaveris, prandebis: quumque rursus ambulaveris, cœnabis & quiesces. An nescis te, si obambulationes, quas quinque vel sex diebus absolvas, extenderes, facile Athenis Olympiam venturum? atque etiam gratius erit, si uno die præcipies iter, quam si serius eas. Nam cogi quem, ut itinera, quam par sit, longiora faciat, molestum est: at unum diem amplius in itinere consumere, magnam facilitatem affert. Itaq; potius est in arripiendo itinere festinare, quam in via.

6. Quum alius diceret, se longo itinere conficiendo defessum esse: num quid oneris gestasset, interrogabat. Minime, ait, præter

ἔγωγ', ἔφη, ἀλλὰ τὸ ἱμάτιον. μόνος δ' ἐπορεύου, ἔφη, ἢ καὶ ἀκόλουθός σοι ἠκολούθει; ἠκολούθει, ἔφη. πότερον (ἔφη) κενός, ἢ φέρων τι; φέρων νὴ Δί' (ἔφη) τά τε στρώματα καὶ τἆλλα σκεύη. καὶ πῶς τι (ἔφη) ἀπήλλαχεν ἐκ τῆς ὁδοῦ; ἐμοὶ μὲν δοκεῖ (ἔφη) βέλτιον ἐμοῦ. τί οὖν, ἔφη, εἰ τὸ ἐκείνου φορτίον ἔδει σε φέρειν, πῶς ἂν οἴει διατεθῆναι; κακῶς νὴ Δί', ἔφη· μᾶλλον οὐδ' ἂν ἠδυνήθην κομίσαι. τὸ οὖν τοσούτῳ ἧττον τοῦ παιδὸς δύνασθαι πονεῖν, πῶς ἠσκημένου δοκεῖ σοι ἀνδρὸς εἶναι;

ΚΕΦ. ιδ'.

ΟΠότε δὲ τῶν ξυνιόντων ἐπὶ τὸ δεῖπνον οἱ μὲν μικρὸν ὄψον, οἱ δὲ πολὺ [c] φέροιεν, ἐκέλευσεν ὁ Σωκράτης τὸν παῖδα τὸ μικρὸν ἢ εἰς τὸ κοινὸν τιθέναι, ἢ διανέμειν ἑκάστῳ τὸ μέρος. οἱ οὖν τὸ πολὺ φέροντες ᾐσχύνοντό τε μὴ κοινωνεῖν τοῦ εἰς τὸ κοινὸν τιθεμένου,

ter veſtem. Num ſolus ibas, inquit, an & pediſequus te comitabatur? Comitabatur, inquit. Vacuus erat ille, an quid geſtabat? Geſtabat (inquit) tum ſtragula, tum alia vaſa. Et quo pacto is (ait) itinere perfunctus eſt? Melius me, inquit, uti mihi videtur. Quid ergo (inquit) ſi tibi geſtandum fuiſſet ipſius onus? quo te pacto nunc affectum putares? Male profecto, inquit: imo ne geſtare quidem id potuiſſe. At tanto minus laboris perferre te poſſe, quam puer, qui tibi eſſe viri videtur exercitati?

CAP. XIV.

QUum autem aliquibus ad cœnam convenientibus, alii parum obſonii, multum alii afferrent: jubebat Socrates, ut puer parum illud vel in commune apponeret, vel partem aliquam in ſingulos diſtribueret. Eos itaque qui multum attulerant, non ejus participes fieri puderet, quod eſſet in commune propoſitum,

μένειν, καὶ τὸ μὴ ἀντιτιθέναι τὸ ἑαυτῶν. ἐτίθεσαν οὖν καὶ τὸ ἑαυτῶν εἰς τὸ κοινόν. καὶ ἐπεὶ οὐδὲν πλέον εἶχον τῶν μικρὸν φερομένων, ἐπαύοντο πολλοῦ ὀψωνοῦντες.

β'. Καταμαθὼν δέ τινα τῶν ξυνδειπνούντων τοῦ μὲν σίτου πεπαυμένον, τὸ δὲ ὄψον αὐτὸ καθ' αὑτὸ ἐσθίοντα, (λόγου ὄντος περὶ ὀνομάτων, ἐφ' οἵῳ ἔργῳ ἕκαστον εἴη) Ἔχοιμεν ἄν, ἔφη, ὦ ἄνδρες, εἰπεῖν ἐπὶ ποίῳ ποτὲ ἔργῳ ἄνθρωπος ὀψοφάγος καλεῖται; ἐσθίουσι μὲν γὰρ δὴ πάντες ἐπὶ τῷ σίτῳ ὄψον, ὅταν παρῇ· ἀλλ' οἴομαι, οὔπω ἐπί γε τούτῳ ὀψοφάγοι καλοῦνται. οὐ γὰρ οὖν, ἔφη τις τῶν παρόντων.

γ'. Τί γάρ; ἔφη· ἐάν τις ἄνευ τοῦ σίτου τὸ ὄψον αὐτοῦ ἐσθίῃ, μὴ * ἀσκήσεως, ἀλλ' ἡδονῆς ἕνεκα, πότερον ὀψοφάγος εἶναι δοκεῖ, ἢ οὔ; σχολῇ γ' ἄν (ἔφη) ἄλλος τις ὀψοφάγος εἴη. καί τις ἄλλος τῶν παρόντων, ὁ δὲ μικρῷ σίτῳ, ἔφη, πολὺ ὄψον ἐπεσθίων; ἐμοὶ μέν, ἔφη ὁ Σωκράτης, καὶ οὗτος δοκεῖ δικαίως ἂν ὀψο-

situm, ac non suum ibidem collocare. Itaque suum etiam in commune apponebant, & quia nihilo plus habebant quam illi, qui parum afferebant, à magno in emendis obsoniis sumptu desistebant.

2. Idem quum animadverteret quendam ex iis qui una cœnabant, à pane quidem desiisse, sed obsonio adhuc mero vesci, (habita sermone de nominibus, quam ob rem singula essent indita) Possumusne dicere, ait, O viri, quam ob causam aliquis obsophagus appelletur? Edunt enim omnes cum pane obsonium, quum adest: at opinor, non ob eam causam obsophagi ita vocentur. Minime scilicet, ait quidam ex iis qui aderant.

3. Quid? inquit, siquis absque pane comedat obsonium, non condimenti, sed voluptatis causa, utrum obsonii helluo esse videtur, an non? Vix alius (ait) obsonii helluo sit. Tum alius quidam illorum qui aderant, At vero qui cum exiguo pane, inquit, multum obsonii comedit? Is etiam mihi, ait Socrates, merito dici obso-

ὀψοφάγος καλεῖσθαι; καὶ ὅταν γε οἱ ἄλλοι ἄνθρωποι τοῖς Θεοῖς εὔχωνται πολυκαρπίαν, εἰκότως ἂν οὗτος πολυοψίαν εὔχοιτο.

δ'. Ταῦτα δὲ τοῦ Σωκράτους εἰπόντος, νομίσας ὁ νεανίσκος εἰς αὐτὸν εἰρῆσθαι τὰ λεχθέντα, τὸ μὲν ὄψον οὐκ ἐπαύσατο ἐσθίων, ἄρτον δὲ προσέλαβεν. καὶ ὁ Σωκράτης καταμαθὼν, παρατηρεῖτ᾽, ἔφη, τοῦτον οἱ πλησίον, ὁπότερα τῷ σίτῳ ὄψῳ, ἢ τῷ ὄψῳ σίτῳ χρήσεται.

ε'. Ἄλλον δέ ποτε τῶν συνδείπνων ἰδὼν ἐπὶ τῷ ἑνὶ ψώμῳ πλειόνων ὄψων γευόμενον, Ἆρα γένοιτ᾽ ἂν (ἔφη) πολυτελεστέρα ὀψοποιΐα, ἢ μᾶλλον τὰ ὄψα λυμαινομένη, ἢ ἣν ὀψοποιεῖται ὁ ἅμα πολλὰ ἐσθίων, καὶ ἅμα παντοδαπὰ ἡδύσματα εἰς τὸ στόμα λαμβάνων; πλείω μέν γε τῶν ὀψοποιῶν συμμιγνύων, πολυτελέστερα ποιεῖ· ἃ δὲ ἐκεῖνοι μὴ συμμιγνύουσιν, ὡς οὐχ ἁρμόττοντα, ὁ συμμιγνύων (εἴπερ ἐκεῖνοι ὀρθῶς ποιοῦσιν) ἁμαρτάνει τε καὶ καταλύει τὴν τέχνην αὐτῶν.

ϛ'. Κα-

obſophagus videtur: quumque cæteri homines à Diis fructuum poſcent copiam, par fuerit illum obſonii copiam poſcere.

4. His à Socrate prolatis, exiſtimans is adoleſcens in ſe illa eſſe dicta, obſonio quidem veſci non deſinebat, ſed panem adhibebat. Quod Socrates ut animadverteret, Obſervate hunc, inquit, qui propius eſtis, num pane pro obſonio, an obſonio pro pane utatur.

5. Quum itidem aliquando vidiſſet alium ex convivis, ad unum panis fruſtum obſonia plura deguſtantem: Num fuerit, ait, ſumptuoſior obſonii confectio ea, quæ magis obſonia corrumpit, an quam inſtituit is, qui multa ſimul comedit, ac varia ſimul condimenta in os ingerit? Qui certe plura commiſcet, quam inſtructores obſoniorum, ſumptuoſiora facit: qui vero commiſcet ea, quæ illi tanquam non congruentia minime commiſcent, (ſiquidem illi recte faciunt) peccat, & artem ipſorum evertit.

6. At-

ϛʹ. Καίτοι πῶς οὐ γελοῖόν ἐστι, παρασκευάσασθαι μὲν ὀψοποιοὺς τοὺς ἀρίστους ἐπισταμένους, αὐτὸν δὲ μηδ᾽ ἀντιποιούμενον τῆς τέχνης ταύτης, τὰ ὑπ᾽ ἐκείνων ποιούμενα μετατιθέναι; καὶ ἄλλο δέ τι προσγίγνεται τῷ ἅμα πολλὰ ἐσθίειν ἐθισθέντι ἢ μή. μὴ παρόντων γὰρ πολλῶν μειονεκτεῖν ἄν τι δοκοίη, ποθῶν τὸ σύνηθες· ὁ δὲ συνεθισθεὶς τὸν ἕνα ψωμὸν ἑνὶ ὄψῳ προπέμπειν, ὅτε μὴ παρείη πολλά, δύναιτ᾽ ἂν ἀλύπως τῷ ἑνὶ χρῆσθαι.

ζʹ. Ἔλεγε δὲ καὶ ὡς τὸ [εὐωχεῖσθαι] ἐν τῇ Ἀθηναίων γλώτῃ ἐσθίειν καλοῖτο· τὸ δὲ [εὖ] προσκεῖσθαι ἔφη, ἐπὶ τῷ ταῦτα ἐσθίειν, ἅτινα μήτε τὴν ψυχὴν μήτε τὸ σῶμα λυποίη, μήτε δυσεύρετα εἴη. ὥστε καὶ τὸ [εὐωχεῖσθαι] τοῖς κοσμίως διαιτωμένοις ἀνετίθει.

ΞΕΝΟ-

6. Atqui quo pacto non ridiculum fuerit, aliquem sibi structores obsoniorum comparare peritissimos, atque ipsum interim, artis ejus cognitionem sibi non vendicantem, ab illis confecta immutare? Quinetiam aliud quiddam accidit ei, qui multa simul vorare consuevit, quam qui non. Nam ubi parum adest, minus habere se putat, quippe qui consueta desiderat: at qui se consuefecit unum panis frustum uni obsonio præmittere, is, quum multa non adsunt, sine molestia potest uno illo uti.

7. Aiebat etiam, verbum [εὐωχεῖσθαι] Atheniensium lingua edendi significationem habere: additum vero esse vocabulum [εὖ] dicebat, ut ea comedantur, quæcunque nec animum nec corpus lædant, nec inventu difficilia sint. Itaque verbum hoc [εὐωχεῖσθαι] victu decenter utentibus tribuebat.

ΞΕΝΟΦΩΝΤΟΣ ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ

Βιβλίον Τέταρτον.

ΚΕΦ. α΄.

ΟΥΤΩ δὲ ὁ Σωκράτης ἦν ἐν παντὶ πράγματι καὶ πάντα τρόπον ὠφέλιμος, ὥστε τῷ σκοπουμένῳ τοῦτο, καὶ εἰ μετρίως αἰσθανομένῳ, φανερὸν εἶναι, διότι οὐδὲν ὠφελιμώτερον ἦν τοῦ Σωκράτει συνεῖναι, καὶ μετ᾽ ἐκείνου διατρίβειν ὁπουοῦν, καὶ ἐν ὁτῳοῦν πράγματι. ἐπεὶ καὶ τὸ ἐκείνου μεμνῆσθαι μὴ παρόντος οὐ μικρὰ ὠφέλει τοὺς εἰωθότας τε αὐτῷ συνεῖναι, καὶ ἀποδεχομένους ἐκεῖνον. καὶ γὰρ παίζων οὐδὲν ἧττον ἢ σπουδάζων ἐλυσιτέλει τοῖς συνδιατρίβουσι.

β΄. Πολ-

XENOPHONTIS MEMORABILIUM

Liber Quartus.

CAP. I.

TAM vero Socrates utilis erat in negotio quovis, atque omni modo, ut cuivis hoc consideranti, etiamsi vel parum intelligat, perspicuum sit, ob quid nihil erat utilius, quam Socrate familiariter uti, & cum eo ubivis locorum, & quavis de re versari. Nam ejus etiam absentis recordari, non parum proderat illis, qui cum eo solebant esse, & qui probabant eum. Quippe non minus joco quam serio loquens, familiaribus suis proderat.

2. Sæpe

β'. Πολλάκις γὰρ ἔφη μὲν ἄν τινος ἐρᾷν, φανερὸς δ' ἦν οὐ τῶν τὰ σώματα πρὸς ὥραν, ἀλλὰ τῶν τὰς ψυχὰς πρὸς ἀρετὴν εὖ πεφυκότων ἐφιέμενος. ἐτεκμαίρετο δὲ τὰς ἀγαθὰς φύσεις ἐκ τοῦ ταχύ τε μανθάνειν οἷς προσέχοιεν, καὶ μνημονεύειν ἃ ἂν μάθοιεν, καὶ ἐπιθυμεῖν τῶν μαθημάτων πάντων, δι' ὧν ἔστιν οἰκίαν τε καλῶς οἰκεῖν, καὶ πόλιν· καὶ τὸ ὅλον, ἀνθρώποις τε καὶ ἀνθρωπίνοις πράγμασιν εὖ χρῆσθαι. τοὺς γὰρ τοιούτους ἡγεῖτο παιδευθέντας οὐκ ἂν μόνον αὐτούς τε εὐδαίμονας εἶναι, καὶ τοὺς ἑαυτῶν οἴκους καλῶς οἰκεῖν, ἀλλὰ καὶ ἄλλους ἀνθρώπους καὶ πόλεις δύνασθαι εὐδαίμονας ποιεῖν.

γ'. Οὐ τὸν αὐτὸν δὲ τρόπον ἐπὶ πάντας ᾔει, ἀλλὰ τοὺς μὲν οἰομένους φύσει ἀγαθοὺς εἶναι, μαθήσεως δὲ καταφρονοῦντας, ἐδίδασκεν ὅτι αἱ ἄρισται δοκοῦσαι εἶναι φύσεις, μάλιστα παιδείας δέονται· ἐπιδεικνύων τῶν τε ἵππων τοὺς εὐφυεστάτους, θυμοειδεῖς τε καὶ σφοδροὺς ὄντας, εἰ μὲν ἐκ νέων δαμασθεῖεν, εὐχρηστοτάτους καὶ ἀρίστους γιγνομένους, εἰ δὲ ἀδάμαστοι γένοιντο, δυσκαθεκτοτάτους καὶ φαυλοτάτους· καὶ τῶν κυνῶν

τῶν

2. Sæpe enim amare ſe aliquem aiebat, ſed oſtendebat ſe non illos quorum corpora ad pulcritudinem, ſed quorum animi ad virtutem à natura comparati eſſent, expetere. Indicia vero bonæ indolis colligebat ex eo, ſi celeriter diſcerent illa, quibus animum adjicerent: quæque didiciſſent, memoria tenerent: omneſque artes expeterent, per quas liceret & domum præclare gubernare, & civitatem; ac ad ſummam, tum hominibus tum rebus humanis recte uti. Nam ſi tales inſtituerentur, exiſtimabat non ipſos modo beatos eſſe, ſuaſque domos recte gubernare: ſed eoſdem poſſe tum cæteros etiam homines tum civitates beare.

3. Non eodem vero modo ad omnes accedebat, ſed eos qui natura ſe bonos eſſe arbitrarentur, doctrinam autem contemnerent, docebat, illas naturas quæ viderentur eſſe præſtantiſſimæ, imprimis inſtitutione indigere: quum quidem oſtenderet, equos generoſiſſimos, qui & animoſi & acres ſunt, ſi à parvulis domentur, utiliſſimos ac præſtantiſſimos fieri; ſin indomiti

ſunt,

τῶν εὐφυεστάτων, φιλοπόνων τε οὐσῶν καὶ ἐπιθετικῶν τοῖς θηρίοις, τὰς μὲν καλῶς ἀχθείσας, ἀρίστας γίγνεσθαι πρὸς τὰς θήρας, καὶ χρησιμωτάτας· ἀναγώγους δὲ γιγνομένας, ματαίους τε καὶ μανιώδεις καὶ δυσπειθεστάτας.

δ΄. Ὁμοίως δὲ καὶ τῶν ἀνθρώπων τοὺς εὐφυεστάτους, ἐρρωμενεστάτους τε ταῖς ψυχαῖς ὄντας καὶ ἐξεργαστικωτάτους ὧν ἂν ἐγχειρῶσι, παιδευθέντας μὲν καὶ μαθόντας ἃ δεῖ πράττειν, ἀρίστους τε καὶ ὠφελιμωτάτους γίγνεσθαι· (πλεῖστα γὰρ καὶ μέγιστα ἀγαθὰ ἐργάζεσθαι·) ἀπαιδεύτους δὲ καὶ ἀμαθεῖς γενομένους, κακίστους τε καὶ βλαβερωτάτους γίγνεσθαι. κρίνειν γὰρ οὐκ ἐπισταμένους ἃ δεῖ πράττειν, πολλάκις πονηροῖς ἐπιχειρεῖν πράγμασι. μεγαλείους δὲ καὶ σφοδροὺς ὄντας, δυσκαθέκτους τε καὶ δυσαποτρέπτους εἶναι· διὸ πλεῖστα καὶ μέγιστα κακὰ ἐργάζεσθαι.

ε΄. Τοὺς δὲ ἐπὶ πλούτῳ μέγα φρονοῦντας, καὶ νομίζοντας οὐδὲν προσδεῖσθαι παιδείας, ἐξαρκέσειν δὲ σφίσι τὸν πλοῦτον

οἰομένους

sint, effrænatissimos ac pravissimos: & canes à natura optimos, qui laboriosi sint & feras aggrediantur, si recte educentur, optimos fieri, ac ad venationes aptissimos; si minus educentur, ineptos reddi, ac furiosos, & contumacissimos.

4. Itidem homines optimæ indolis, qui & animis essent firmissimis, & in efficiendis iis quæ molirentur efficacissimi, si quidem instituti essent, & quæ agenda sint, didicissent, præstantissimos atque utilissimos fieri; quod & plurima & maxima bona conficerent: at si tum institutionis tum doctrinæ expertes essent, fieri pessimos ac nocentissimos. Nam quum dijudicare minime norint, quæ sint facienda, prava sæpe moliuntur; quumque magnifici ac acres sint, difficulter contineri ac abduci possunt: quo fiat, ut plurima maximaque mala committant.

5. Quod si qui ob divitias magnos animos gererent, ac se nihil institutionis egere ducerent, quippe qui opes sibi suffecturas

οἰομένους πρὸς τὸ διαπράττεσθαί τε ὅ,τι ἂν βούλωνται, καὶ τιμᾶσθαι ὑπὸ τῶν ἀνθρώπων, ἐφρένου λέγων, ὅτι μωρὸς μὲν εἴη, εἴ τις οἴεται, μὴ μαθὼν, τά τε ὠφέλιμα καὶ τὰ βλαβερὰ τῶν πραγμάτων διαγνώσεσθαι· μωρὸς δὲ, εἴ τις μὴ διαγιγνώσκων μὲν ταῦτα, διὰ δὲ τὸν πλοῦτον ὅ,τι ἂν βούληται ποριζόμενος, οἴεται δυνήσεσθαι καὶ τὰ συμφέροντα πράττειν· ἠλίθιος δὲ, εἴ τις μὴ δυνάμενος τὰ συμφέροντα πράττειν, εὖ τε πράττειν οἴεται, καὶ τὰ πρὸς τὸν βίον αὐτῷ ἢ καλῶς ἢ ἱκανῶς παρεσκευάσθαι· ἠλίθιος δὲ, καὶ εἴ τις οἴεται διὰ τὸν πλοῦτον, μηδὲν ἐπιστάμενος, δόξειν τι ἀγαθὸς εἶναι, ἢ μηδὲν ἀγαθὸς ὢν, δοκεῖν εὐδοκιμήσειν.

ΚΕΦ. β'.

Τοῖς δὲ νομίζουσι παιδείας τε τῆς ἀρίστης τετυχηκέναι, καὶ μέγα φρονοῦσιν ἐπὶ σοφίᾳ, ὡς προσεφέρετο,

νῦν

putarent ad perficiendum quæ vellent, & ad consequendum honores ab hominibus, eos sanam ad mentem revocabat, dicendo, stultum esse, siquis existimet posse se absque doctrina tum utiles tum noxias res discernere: itemque stultum esse, qui discrimen horum ignorans, ac propter opes quicquid velit sibi comparans, posse se putet agere, quæ conducant: stolidum item, qui quum nequeat agere quæ conducant, bene se agere putet, ac res ad vitam vel recte sibi vel idonee comparatas esse: stolidum denique, qui quum nihil sciat, putet propter divitias se aliquo modo bonum posse videri; vel quum nullo modo sit bonus, videri in existimatione futurum.

CAP. II.

Quod siqui existimarent se optime institutos esse, ac ob doctrinam elatis essent animis, erga eos quomodo se gereret,

jam

νῦν διηγήσομαι. καταμαθὼν γὰρ Εὐθύδημον τὸν καλὸν γράμματα πολλὰ συνειλεγμένον ποιητῶν τε καὶ σοφιστῶν τῶν εὐδοκιμωτάτων, καὶ ἐκ τούτων ἤδη τε νομίζοντα διαφέρειν τῶν ἡλικιωτῶν ἐπὶ σοφίᾳ, καὶ μεγάλας ἐλπίδας ἔχοντα διοίσειν τῷ δύνασθαι λέγειν τε καὶ πράττειν, πρῶτον μὲν αἰσθανόμενος αὐτὸν διὰ νεότητα οὔπω εἰς τὴν ἀγορὰν εἰσιόντα, εἰ δέ τι βούλοιτο διαπράξασθαι, καθίζοντα εἰς ἡνιοποιεῖόν τι τῶν ἐγγὺς τῆς ἀγορᾶς, εἰς τοῦτο καὶ αὐτὸς ᾔει τῶν μετ' αὐτοῦ τινας ἔχων.

β'. Καὶ πρῶτον μὲν πυνθανομένου τινός, πότερον Θεμιστοκλῆς διὰ συνουσίαν τινὸς τῶν σοφῶν, ἢ φύσει τοσοῦτον διήνεγκε τῶν πολιτῶν, ὥστε πρὸς ἐκεῖνον ἀποβλέπειν τὴν πόλιν, ὁπότε σπουδαίου ἀνδρὸς δεηθείη· ὁ Σωκράτης βουλόμενος κινεῖν τὸν Εὐθύδημον, εὔηθες ἔφη εἶναι τὸ οἴεσθαι, τὰς μὲν ὀλίγου ἀξίας τέχνας μὴ γίγνεσθαι σπουδαίοις ἄνευ διδασκάλων ἱκανῶν, τὸ δὲ προεστάναι πόλεως (πάντων ἔργων μέγιστον ὂν) ἀπὸ ταὐτομάτου παραγίγνεσθαι τοῖς ἀνθρώποις.

γ'. Πάλιν

jam commemorabo. Nam quum pulcrum illum Euthydemum intellexiſſet multa poëtarum & ſophiſtarum clariſſimorum ſcripta collegiſſe, & ob ea jam arbitrari, ſe ſapientia ſuos coætaneos vincere, ac magna eſſe in ſpe, futurum, ut omnes & dicendo & agendo excelleret: primum animadvertens eum propter adoleſcentiam necdum in forum ingredi, ac ſiquid efficere vellet, ſedere apud officinam frænariam prope forum, ad eandem & ipſe ibat cum quibuſdam familiaribus ſuis.

2. Ac primo quidem quodam interrogante, utrum Themiſtocles ex conſuetudine cum aliquo ſapienti viro, an vero natura tantum civibus ſuis præſtitiſſet, ut oculos in eum civitas conjiceret, ſi quando egregio viro opus eſſet: Socrates qui movere vellet Euthydemum, ſtultum eſſe dixit exiſtimare, exigui quidem momenti artes abſque magiſtris idoneis percipi à ſtudioſis haud poſſe; civitati vero præeſſe (opus omnium maximum) poſſe homines ex ſe ſatis noſſe.

3. Rurſus

γ'. Πάλιν δέ ποτε παρόντος τοῦ Εὐθυδήμου, ὁρῶν αὐτὸν ἀποχωροῦντα τῆς συνεδρίας, καὶ φυλαττόμενον μὴ δόξῃ τὸν Σωκράτην θαυμάζειν ἐπὶ σοφίᾳ, Ὅτι μὲν, ἔφη, ὦ ἄνδρες, Εὐθύδημος οὑτοσὶ ἐν ἡλικίᾳ γενόμενος, τῆς πόλεως λόγον περί τινος προτιθείσης, οὐκ ἀφέξεται τοῦ συμβουλεύειν, εὔδηλόν ἐστιν ἐξ ὧν ἐπιτηδεύει. δοκεῖ δέ μοι καλὸν προοίμιον τῶν δημηγοριῶν παρεσκευάσθαι, φυλαττόμενος μὴ δόξῃ μανθάνειν τι παρά του. δῆλον γὰρ, ὅτι λέγειν ἀρχόμενος ὧδε προοιμιάσεται·

δ'. Παρ' οὐδενὸς μὲν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν ἔμαθον, οὐδ' ἀκούων τινὰς εἶναι λέγειν τε καὶ πράττειν ἱκανοὺς, ἐζήτησα τούτοις ἐντυχεῖν, οὐδ' ἐπεμελήθην τοῦ διδάσκαλόν τινά μοι γενέσθαι τῶν ἐπισταμένων· ἀλλὰ καὶ τἀναντία· διατετέλεκα γὰρ φεύγων οὐ μόνον τὸ μανθάνειν τι παρά τινος, ἀλλὰ καὶ τὸ δόξαι. ὅμως δὲ ὅ,τι ἂν ἀπ' αὐτομάτου ἐπίῃ μοι, συμβουλεύσω ὑμῖν.

ε'. Αρμό-

3. Rursus quum adesset aliquando Euthydemus, quia videbat eum à consessu recedere, caventem scilicet, ne Socratem admirari ob sapientiam videretur: Euthydemum hunc, inquit, O viri, posteaquam adoleverit, civitate de re quapiam consultationem proponente, minime à consilio dando sibi temperaturum, satis ex ipsius studiis manifestum est. Et videtur mihi præclarum jam orationum ad populum habendarum exordium parasse, qui caveat scilicet, ne videatur abs quoquam aliquid discere. Nimirum ubi dicendi volet initium facere, ita exordietur:

4. Equidem, O viri Athenienses, à nullo unquam quidquam didici; & quum audirem esse quosdam dicendi agendique peritos, non tamen ut eos convenirem, operam dedi; neque curam adhibui, ut hominem aliquem doctum mihi magistrum adjungerem: sed è contrario, semper fugi, non solum ne quid ab aliquo discerem, verumetiam ne discere viderer. Nihilominus id consilii vobis dabo, quodcunque fortuito mihi ad animum acciderit.

5. Eodem

έ. Ἁρμόσειε δ' ἂν οὕτω προοιμιάζεσθαι, καὶ τοῖς βουλομένοις παρὰ τῆς πόλεως ἰατρικὸν ἔργον λαβεῖν. ἐπιτήδειόν γ' αὐτοῖς εἴη, τοῦ λόγου ἄρχεσθαι ἐντεῦθεν· Παρ' οὐδενὸς μὲν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἰατρικὴν τέχνην ἔμαθον, οὐδ' ἐζήτησα διδάσκαλον ἐμαυτῷ γενέσθαι τῶν ἰατρῶν οὐδένα. διατετέλεκα γὰρ φυλαττόμενος οὐ μόνον τὸ μαθεῖν τι παρὰ τῶν ἰατρῶν, ἀλλὰ καὶ τὸ δόξαι μεμαθηκέναι τὴν τέχνην ταύτην. ὅμως δέ μοι τὸ ἰατρικὸν ἔργον δότε. πειράσομαι γὰρ ἐν ὑμῖν ἀποκινδυνεύων μανθάνειν.

ς'. Ἐπεὶ δὲ φανερὸς ἦν ὁ Εὐθύδημος, ἤδη μὲν οἷς ὁ Σωκράτης λέγοι προσέχων, ἔτι δὲ φυλαττόμενος αὐτός τι φθέγγεσθαι, καὶ νομίζων τῇ σιωπῇ σωφροσύνης δόξαν περιβάλλεσθαι· τότε ὁ Σωκράτης βουλόμενος αὐτὸν παῦσαι τούτου, θαυμαστὸν γὰρ, ἔφη, τί ποτε οἱ βουλόμενοι κιθαρίζειν, ἢ αὐλεῖν, ἢ ἱππεύειν, ἢ ἄλλό τι τῶν τοιούτων ἱκανοὶ γενέσθαι, μὴ πειρῶνται ὡς συνεχέστατα ποιεῖν ὅ,τι ἂν βούλωνται δυνατοὶ γενέσθαι, καὶ καθ' ἑαυτοὺς, ἀλλὰ

παρὰ

5. Eodem uti exordio conveniret, etiam iis qui medendi munus à republica impetrare cuperent. Nam illis ex usu fuerit, hinc orationem ordiri: Equidem à nemine, Viri Athenienses, medendi artem unquam didici, neque quenquam medicorum quæsivi, quo magistro uterer. Semper enim cavi, non solum ne à medicis aliquid discerem, sed etiam ne viderer artem hanc didicisse. Nihilominus velim medendi munus mihi mandetis. Nam enitar quidem, in vobis periculum faciendo, eam discere.

6. Ubi autem appareret Euthydemus, iis quæ à Socrate dicerentur jam animum attendere, verum adhuc cavere, ne quid ipse proloqueretur, arbitrarique se per silentium modestiæ laudem consecuturum: tum Socrates, qui vellet eum ab hoc instituto avocare, mirum est, ait, quamobrem illi, qui cithara canere vel tibia cupiunt, vel equitandi artem discere, vel ad aliud ejusmodi quidpiam idonei fieri, non conentur hoc sane quam continuo agere, in quo valere volunt, neque marte suo, sed

apud

παρὰ τοῖς ἀρίστοις δοκοῦσιν εἶναι), πάντα ποιοῦντες καὶ ὑπομένοντες ἕνεκα τοῦ μηδὲν ἄνευ τῆς ἐκείνων γνώμης ποιεῖν, ὡς οὐκ ἂν ἄλλως ἀξιόλογοι γενόμενοι· τῶν δὲ βουλομένων δυνατῶν γενέσθαι λέγειν τε καὶ πράττειν τὰ πολιτικά, νομίζουσί τινες ἄνευ παρασκευῆς καὶ ἐπιμελείας αὐτόματοι ἐξαίφνης δυνατοὶ ταῦτα ποιεῖν ἔσεσθαι.

ζ'. Καί τοί γε τοσούτῳ ταῦτα ἐκείνων δυσκατεργαστότερα φαίνεται, ὅσῳ περ πλειόνων περὶ ταῦτα πραγματευομένων, ἐλάττους οἱ κατεργαζόμενοι γίγνονται. δῆλον οὖν, ὅτι καὶ ἐπιμελείας δέονται πλείονος καὶ ἰσχυροτέρας οἱ τούτων ἐφιέμενοι, ἢ οἱ ἐκείνων.

η'. Καταρχὰς μὲν οὖν ἀκούοντος Εὐθυδήμου τοιούτους λόγους ἔλεγε Σωκράτης. ὡς δ' ᾔσθετο αὐτὸν ἑτοιμότερον ὑπομένοντα, ὅτε διαλέγοιτο, καὶ προθυμότερον ἀκούοντα, μόνος ἦλθεν εἰς τὸ ἡνιοποιεῖον. παρακαθεζομένου δ' αὐτῷ τοῦ Εὐθυδήμου, εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, τῷ ὄντι (ὥσπερ ἐγὼ ἀκούω) πολλὰ γράμματα συνῆξας τῶν λεγομένων σοφῶν

ἀνδρῶν

apud eos qui præstare cæteris videntur, omnia tum agant tum sustineant, ne quid absque illorum judicio faciunt, quasi alia ratione præclari evadere non possint: quum nonnulli, qui facultatem dicendi, gerendique publicas res, adipisci volunt, existiment se absque præparatione ac studio, per se ac subito idoneos ad ea præstanda futuros.

7. Atqui tanto hæc illis effectu difficiliora sunt, quanto in his plures operam ponunt, ac pauciores quid conficiunt. De quo patet, ab eis & studium majus requiri & vehementius, qui hæc concupiscunt, quam qui illa.

8. Hujusmodi quædam Euthydemo audiente Socrates initio proferebat. Quum autem animadverteret ipsum jam promptius ejus disputationes tolerare, atque alacrius eos audire, solus ad officinam habenarum opificis accessit: quumq; consedisset propter ipsum Euthydemus, Dic mihi, inquit, mi Euthydeme, an revera (quemadmodum audio) multa eorum scripta collegisti, qui viri sapientes

fuisse

ἀνδρῶν γεγονέναι; νὴ τὸν Δί', (ἔφη) ὦ Σώκρατες· καὶ ἔτι γε συνάγω, ἕως ἂν κτήσωμαι ὡς ἂν δύνωμαι πλεῖστα.

θ'. Νὴ τὴν Ἥραν (ἔφη ὁ Σωκράτης) ἄγαμαί σε, διότι οὐκ ἀργυρίου καὶ χρυσίου προείλου θησαυροὺς κεκτῆσθαι μᾶλλον, ἢ σοφίας. δῆλον γὰρ, ὅτι νομίζεις ἀργύριον καὶ χρυσίον οὐδὲν βελτίους ποιεῖν τοὺς ἀνθρώπους, τὰς δὲ τῶν σοφῶν ἀνδρῶν γνώμας ἀρετῇ πλουτίζειν τοὺς κεκτημένους. καὶ ὁ Εὐθύδημος ἔχαιρεν ἀκούων ταῦτα, νομίζων δοκεῖν τῷ Σωκράτει ὀρθῶς μετιέναι τὴν σοφίαν.

ι'. Ο δὲ καταμαθὼν αὐτὸν ἡσθέντα τῷ ἐπαίνῳ τούτῳ, τί δὲ δὴ βουλόμενος ἀγαθὸς γενέσθαι, ἔφη, ὦ Εὐθύδημε, συλλέγεις τὰ γράμματα; ἐπεὶ δὲ διεσιώπησεν ὁ Εὐθύδημος, σκοπῶν ὅ,τι ἀποκρίναιτο, πάλιν ὁ Σωκράτης, ἆρα μὴ ἰατρὸς, ἔφη· πολλὰ γὰρ καὶ ἰατρῶν ἐστι συγγράμματα. καὶ ὁ Εὐθύδημος, μὰ Δί' (ἔφη) οὐκ ἔγωγε. ἀλλὰ μὴ ἀρχιτέκτων βούλει γενέσθαι; γνωμονικοῦ γὰρ ἀνδρὸς καὶ τοῦτο δεῖ.

οὔκουν

fuiſſe dicuntur? Eſt ita profecto, mi Socrates (inquit) atque etiam modo colligo, donec comparavero mihi quam fieri poterit plurima.

9. Miror te profecto (inquit Socrates) quod nec auri nec argenti theſauros tibi comparare malueris, quam ſapientiæ. Patet enim, quod exiſtimes argentum & aurum homines nihilo meliores efficere; ſed ſapientum dicta virtute illos ditare, qui ea acquiſiverint. Hæc quum audiret Euthydemus, gaudebat, ut qui exiſtimaret videri Socrati, ſapientiam recte inquirere.

10. At ille animadvertens hominem ea laudatione delectatum, In quo vero, mi Euthydeme, inquit, peritus evadere deſiderans, hæc ſcripta colligis? quumque taceret Euthydemus, ſecum quid reſponderet diſpiciens, rurſum Socrates, num ut medicus fias? inquit: nam multa etiam medicorum ſcripta ſunt. Minime equidem, inquit. At architectus fieri cogitas? Nam id quoque magno judicio hominem requirit.

οὔκουν ἔγωγ', ἔφη. ἀλλὰ μὴ γεωμέτρης ἐπιθυμεῖς (ἔφη) γενέσθαι ἀγαθὸς, ὥσπερ ὁ Θεόδωρος; οὐδὲ γεωμέτρης, ἔφη. ἀλλὰ μὴ ἀστρολόγος (ἔφη) βούλει γενέσθαι; (ὡς δὲ καὶ τοῦτο ἠρνεῖτο) ἀλλὰ μὴ ῥαψῳδός; (ἔφη) καὶ γὰρ τὰ Ὁμήρου σέ φασιν πάντα κεκτῆσθαι. μὰ Δί' οὐκ ἔγωγ'· (ἔφη) τοὺς γάρ τοι ῥαψῳδοὺς οἶδα τὰ μὲν ἔπη ἀκριβοῦντας, αὐτοὺς δὲ πάνυ ἠλιθίους ὄντας.

ια'. Καὶ ὁ Σωκράτης ἔφη· οὐ δήπου, ὦ Εὐθύδημε, ταύτης τῆς ἀρετῆς ἐφίεσαι, δι' ἣν ἄνθρωποι πολιτικοὶ γίγνονται, καὶ οἰκονομικοὶ, καὶ ἄρχειν ἱκανοὶ, καὶ ὠφέλιμοι τοῖς τε ἄλλοις ἀνθρώποις καὶ ἑαυτοῖς; καὶ ὁ Εὐθύδημος, σφόδρα γ', ἔφη, ὦ Σώκρατες, ταύτης τῆς ἀρετῆς δέομαι. νὴ Δία (ἔφη ὁ Σωκράτης) τῆς καλλίστης ἀρετῆς καὶ μεγίστης ἐφίεσαι τέχνης· ἔστι γὰρ τῶν βασιλέων αὕτη, καὶ καλεῖται βασιλική. ἀτὰρ (ἔφη) κατανενόηκας, εἰ οἷόν τ' ἐστὶ, μὴ ὄντα δίκαιον, ἀγαθὸν ταῦτα γενέσθαι; καὶ μάλα· (ἔφη) καὶ οὐχ οἷόν τέ γε ἄνευ δικαιοσύνης ἀγαθὸν πολίτην γενέσθαι.

ιβ'. Τί

Non ego, inquit. At geometra bonus fieri cupis, ut Theodorus? Ne geometra quidem. At astrologus fieri vis? (Quum hoc quoque negasset) num carminum recitator? ait: nam te Homeri versus omnes habere dicunt. Minime profecto, inquit: nam recitatores versuum scio accurate quidem tenere versus, verum ipsos plane esse stolidos.

11. Et Socrates, num fortassis illam expetis virtutem, ait, mi Euthydeme, per quam homines rerum civilium & administrationis domesticæ periti fiunt, & ad imperandum idonei, & utiles cum cæteris hominibus tum sibimetipsis? Heic Euthydemus, Vehementer, inquit, hac virtute mihi, mi Socrates, opus est. Profecto (ait Socrates) virtutem pulcerrimam artemque maximam expetis. Nam regum ipsa est, ac regia vocatur. Sed an considerasti, (ait) num is qui justus non est, fieri possit in rebus hujusmodi bonus? Maxime vero, inquit: nec enim fieri potest, ut aliquis absque justitia civis bonus existat.

12. Quid

ιβ'. Τί οὖν, (ἔφη) σὺ δὴ τοῦτο κατείργασαι; οἶμαί γ', (ἔφη) ὦ Σώκρατες, οὐδενὸς ἂν ἧττον φανῆναι δίκαιος. ἆρ' οὖν (ἔφη) τῶν δικαίων ἐστὶν ἔργα, ὥσπερ τῶν τεκτόνων; ἔστι μέντοι, ἔφη. ὥσπερ οἱ τέκτονες ἔχουσι τὰ ἑαυτῶν ἔργα ἐπιδεῖξαι, οὕτως οἱ δίκαιοι τὰ ἑαυτῶν ἔχοιεν ἂν διεξηγήσασθαι; μὴ οὖν (ἔφη ὁ Εὐθύδημος) οὐ δύνωμαι ἐγὼ τὰ τῆς δικαιοσύνης ἔργα ἐξηγήσασθαι; καὶ νὴ Δί' ἔγωγε τὰ τῆς ἀδικίας· ἐπεὶ οὐκ ὀλίγα ἐστὶ καθ' ἑκάστην ἡμέραν τοιαῦτα ὁρᾶν τε καὶ ἀκούειν.

ιγ'. Βούλει οὖν (ἔφη ὁ Σωκράτης) γράψωμεν ἐνταυθοῖ μὲν Δ, ἐνταυθοῖ δὲ Α; εἶτα ὅ,τι μὲν ἂν δοκῇ ἡμῖν τῆς δικαιοσύνης ἔργον εἶναι, πρὸς τὸ Δ τιθῶμεν· ὅ,τι δ' ἂν τῆς ἀδικίας, πρὸς τὸ Α; εἴ τι σοι δοκεῖ (ἔφη) προσδεῖν τούτων, ποίει ταῦτα.

ιδ'. Καὶ ὁ Σωκράτης γράψας, ὥσπερ εἶπεν, οὐκοῦν, ἔφη, ἔστιν ἐν ἀνθρώποις ψεύδεσθαι; ἔστι μέντοι, ἔφη. ποτέρωσε οὖν (ἔφη) θῶμεν τοῦτο; δῆλον (ἔφη) ὅτι πρὸς τὴν

12. Quid igitur, (ait) tune hoc ut esses operatus fuisti? Arbitror equidem, mi Socrates, (inquit) me nemine minus videri justum. Ergone justorum hominum opera quædam sunt, uti fabrorum? Sunt, inquit. Num igitur perinde ac fabri opera sua demonstrare possunt, sic & justi sua possunt exponere. Egone (subjecit Euthydemus) opera justitiæ non possim exponere? quin & injustitiæ profecto. Nam ejusmodi non pauca quotidie tum cernere tum audire est.

13. Vis igitur (ait Socrates) heic quidem D, istic vero A scribamus? ac deinde quodcunque nobis esse opus justitiæ videbitur, id ad D collocemus; quod autem injustitiæ, ad A? Facito vero hæc, (ait) si quid horum requiri tibi videtur.

14. Et Socrates posteaquam hæc ita, uti dixerat, scripsisset: Ergo, inquit, inter homines est mentiri? Est, inquit. Utra in parte hoc collocabimus? Planum (inquit) quod ad

τὴν ἀδικίαν. οὐκοῦν (ἔφη) καὶ τὸ ἐξαπατᾷν ἐστι; καὶ μάλα, ἔφη. τοῦτο οὖν ποτέρωσε θῶμεν; καὶ τοῦτο δῆλον ὅτι (ἔφη) πρὸς τὴν ἀδικίαν. τί δὲ τὸ κακουργεῖν; καὶ τοῦτο, ἔφη. τί δ' ἀνδραποδίζεσθαι; καὶ τοῦτο. πρὸς δὲ δικαιοσύνην οὐδὲν ἡμῖν τούτων κείσεται, ὦ Εὐθύδημε; δεινὸν γὰρ ἂν εἴη, ἔφη.

ιε'. Τί δὲ ἐάν τις στρατηγὸς αἱρεθεὶς ἄδικόν τε καὶ ἐχθρὰν πόλιν ἐξανδραποδίσηται, φήσομεν τοῦτον ἀδικεῖν; οὐ δῆτα, ἔφη. δίκαια δὲ ποιεῖν οὐ φήσομεν; καὶ μάλα. τί δ' ἂν ἐξαπατᾷ πολεμῶν αὐτοῖς; δίκαιον (ἔφη) καὶ τοῦτο. ἐὰν δὲ κλέπτῃ τε καὶ ἁρπάζῃ τὰ τούτων, οὐ δίκαια ποιήσει; καὶ μάλα· (ἔφη) ἀλλ' ἐγώ σε τοπρῶτον ὑπελάμβανον πρὸς τοὺς φίλους μόνον ταῦτ' ἐρωτᾷν. οὐκοῦν (ἔφη) ὅσα πρὸς τῇ ἀδικίᾳ ἐθήκαμεν, πάντα καὶ πρὸς τῇ δικαιοσύνῃ θετέον ἂν εἴη; ἔοικεν, ἔφη.

ις'. Βούλει οὖν (ἔφη) ταῦτα οὕτω θέντες, διορισώμεθα πάλιν, πρὸς

ad injuſtitiam. Num & fallere? Omnino, ait. Utrubi vero id collocabimus? Etiam hoc palam eſt (inquit) quod ad injuſtitiam. Quid damno afficere? Etiam hoc, inquit. Quid in ſervitutem redigere? Etiam hoc. Ad juſtitiam vero, mi Euthydeme, nihil horum collocabitur? Mirum ſane id eſſet, ait.

15. Quid autem, ſi quis imperator lectus injuſtam & hoſtilem urbem in ſervitutem redigat, hunccine quidpiam in hoc injuſti perpetrare dicemus? Nequaquam, ait. At juſte agere dicemus? Omnino. Quid ſi decipiat eos, dum bellum adverſus illos gerit? Hoc quoque juſtum eſt, inquit. At ſi furtim adimat, ac rapiat ipſorum res, non juſte aget? Omnino: (ait) at ego primum arbitrabar hæc te reſpectu amicorum ſolummodo interrogare. Quæcunque igitur (inquit) ad injuſtitiam retuleramus, ea ſunt omnia ad juſtitiam quoque referenda? Sic videtur, ait.

16. Vis igitur (ait) his ita poſitis, iterum definiamus, adverſus hoſtes

πρὸς μὲν τοὺς πολεμίους δίκαιον εἶναι τὰ τοιαῦτα ποιεῖν, πρὸς δὲ τοὺς φίλους ἄδικον· ἀλλὰ δεῖν πρός γε τούτους ὡς ἁπλούστατον εἶναι; πάνυ μὲν οὖν, ἔφη ὁ Εὐθύδημος.

ιζʹ. Τί οὖν (ἔφη ὁ Σωκράτης) ἐάν τις στρατηγὸς ὁρῶν ἀθύμως ἔχον τὸ στράτευμα, ψευσάμενος φήσῃ συμμάχους προσιέναι, καὶ τῷ ψεύδει τούτῳ παύσῃ τὰς ἀθυμίας τοῦ στρατεύματος· ποτέρωθι τὴν ἀπάτην ταύτην θήσομεν; δοκεῖ μοι (ἔφη) πρὸς τὴν δικαιοσύνην. ἐὰν δέ τις υἱὸν ἑαυτοῦ δεόμενον φαρμακείας καὶ μὴ προσιέμενον φάρμακον ἐξαπατήσας, ὡς σιτίον τὸ φάρμακον δῷ, καὶ τῷ ψεύδει χρησάμενος οὕτως ὑγιᾶ ποιήσῃ· ταύτην αὖ τὴν ἀπάτην ποῖ θετέον; δοκεῖ μοι (ἔφη) καὶ ταύτην εἰς τὸ αὐτό. τί δὲ ἄν τις, ἐν ἀθυμίᾳ ὄντος φίλου, δείσας μὴ διαχρήσηται ἑαυτὸν, κλέψῃ ἢ ἁρπάσῃ ἢ ξίφος ἢ ἄλλο τι τοιοῦτον· τοῦτο αὖ ποτέρωσε θετέον; καὶ τοῦτο νὴ Δί' (ἔφη) πρὸς τὴν δικαιοσύνην.

ιηʹ. Λέγεις (ἔφη) σὺ οὐδὲ πρὸς τοὺς φίλους ἅπαντα

δεῖ

hostes quidem justum esse facere quædam hujusmodi; sed injustum, adversus amicos: imo erga hos quam simplicissimos esse oportere. Omnino, inquit Euthydemus.

17. Quid igitur (inquit) siquis imperator dejectis animis esse copias suas videat, & confícto mendacio dicat adventare socios, atque hoc mendacio militibus animi dejectionem adimat; quanam ex parte fraudem hanc collocabimus? Videtur mihi ad justitiam, inquit. Siquis autem filium suum indigentem usu pharmacorum, & pharmacum respuentem, ita deceperit, ut pharmacum ei det loco cibi; eoque usus mendacio, valetudini eum restituat? hæc item fraus ubi erit collocanda? Videtur (inquit) ea quoque ad idem. Quid autem siquis, ubi dejecto animo amicus est, metuens ne manus ille sibi afferat, suffuretur aut eripiat gladium vel quid ejusmodi: utro id quoque loco ponendum? Nimirum ad justitiam, inquit.

18. Dicis tu (inquit) non debere nos etiam erga amicos in omnibus

nosmet

δεῖ ἁπλοΐζεσθαι. μὰ Δί' οὐ δῆτα· (ἔφη) ἀλλὰ μετατίθεμαι τὰ εἰρημένα, εἴπερ ἔξεστι. δεῖ γέ τοι (ἔφη ὁ Σωκράτης) ἐξεῖναι πολὺ μᾶλλον, ἢ μὴ ὀρθῶς τιθέναι.

ιθ'. Τῶν δὲ τοὺς φίλους ἐξαπατώντων ἐπὶ βλάβῃ, (ἵνα μηδὲ τοῦτο παραλείπωμεν ἄσκεπτον) πότερος ἀδικώτερός ἐστιν, ὁ ἑκὼν ἢ ὁ ἄκων; ἀλλ', ὦ Σώκρατες, οὐκέτι μὲν ἔγωγε πιστεύω οἷς ἀποκρίνομαι· καὶ γὰρ τὰ πρόσθεν πάντα νῦν ἄλλως ἔχειν δοκεῖ μοι, ἢ ὡς ἐγὼ τότε ᾤμην· ὅμως δὲ εἰρήσθω μοι, ἀδικώτερον εἶναι τὸν ἑκόντα ψευδόμενον τοῦ ἄκοντος.

κ'. Δοκεῖ δέ σοι μάθησις καὶ ἐπιστήμη τοῦ δικαίου εἶναι, ὥσπερ τῶν γραμμάτων; ἐμοί γε. πότερον δὲ γραμματικώτερον κρίνεις, ὃς ἂν ἑκὼν μὴ ὀρθῶς γράφῃ καὶ ἀναγινώσκῃ, ἢ ὃς ἂν ἄκων; ὃς ἂν ἑκὼν, ἔγωγε· δύναιτο γὰρ ἂν, ὁπότε βούλοιτο, καὶ ὀρθῶς αὐτὰ ποιεῖν. οὐκοῦν ὁ μὲν ἑκὼν μὴ ὀρθῶς γράφων, γραμματικὸς ἂν εἴη· ὁ δὲ ἄκων, ἀγράμματος; πῶς γὰρ οὔ; τὰ δίκαια δὲ πότερον ὁ ἑκὼν ψευδό-

nosmet simplices exhibere. Non profecto: (inquit) imo quæ dixi, retracto, si quidem licet. Atqui (subjecit Socrates) multo magis hoc licere debet, quam non recte aliquid constituere.

19. Cæterum ex iis qui amicos nocendi causa decipiunt, (ut ne id quidem haud consideratum relinquamus) uter injustior est, volens, an nolens. Ego vero, mi Socrates, non amplius eis fidem habeo, quæ respondeo. Nam quæ diximus antehac omnia nunc aliter se habere mihi videntur, quam ego tum putarem. Sed tamen dictum à me esto, qui volens fallat, illo injustiorem esse, qui nolens.

20. Num vero tibi esse doctrina quædam & scientia justi videtur, uti literarum? Mihi quidem. Utrum vero magis esse litteratum judicas, eumne qui volens non recte scribat & legat, an qui nolens? Qui volens scilicet: nam poterit is ubi volet, etiam recte utrumque facere. Qui ergo volens non recte scribit, litteratus erit; qui vero nolens, illiteratus? Cur non? Utrum vero is, qui volens menti-

ψευδόμενος καὶ ἐξαπατῶν, οἶδεν, ἢ ὁ ἄκων; Δῆλον ὅτι ὁ ἑκών. Οὐκοῦν γραμματικώτερον μὲν τὸν ἐπιστάμενον γράμματα τοῦ μὴ ἐπισταμένου φῂς εἶναι; ναί. Δικαιότερον δὲ τὸν ἐπιστάμενον τὰ δίκαια τοῦ μὴ ἐπισταμένου; φαίνομαι· δοκῶ δέ μοι καὶ ταῦτα οὐκ οἶδ' ὅπως λέγειν.

κα'. Τί δὲ δή, ὃς ἂν βουλόμενος τἀληθῆ λέγειν, μηδέ ποτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγῃ, ἀλλ' ὁδόν τε φράζων τὴν αὐτήν, τοτὲ μὲν πρὸς ἕω τοτὲ δὲ πρὸς ἑσπέραν φράζῃ· καὶ λογισμὸν ἀποφαινόμενος τὸν αὐτόν, τοτὲ μὲν πλείω τοτὲ δ' ἐλάττω ἀποφαίνηται· τί σοι δοκεῖ ὁ τοιοῦτος; Δῆλος νὴ Δί' εἶναι, ὅτι ἃ ᾤετο εἰδέναι, οὐκ οἶδεν.

κβ'. Οἶσθα δέ τινας ἀνδραποδώδεις καλουμένους; ἔγωγε. πότερον διὰ σοφίαν ἢ δι' ἀμαθίαν; δῆλον ὅτι δι' ἀμαθίαν. ἆρ' οὖν διὰ τὴν τοῦ χαλκεύειν ἀμαθίαν τοῦ ὀνόματος τούτου τυγχάνουσιν; οὐ δῆτα. ἀλλ' ἆρα διὰ τὴν τοῦ τεκταίνεσθαι; οὐδὲ διὰ ταύτην. ἀλλὰ διὰ τὴν τοῦ σκυτεύειν; οὐδὲ δι' ἓν τούτων, (ἔφη) ἀλλὰ καὶ τοὐναντίον·

Οἱ

mentitur ac decipit, justa novit, an qui nolens? Nimirum is, qui volens. Ergo litteratiorem illum qui literas novit, eo putas esse, qui has ignorat? Ita. Et qui justa scit, eo justiorem qui nescit? Videor: quo autem pacto hæc ipsa dicere videor, ignoro.

21. Quid autem, siquis verum dicere velit, ac nunquam de iisdem eadem dicat, sed de eadem via loquens, modo quidem hanc versus orientem, modo versus occidentem dicat esse; & rationes easdem reddens, modo plures, modo pauciores exhibeat; hic homo quid tibi videtur? Miser profecto esse, quippe qui nescit quæ scire se putabat.

22. An autem nosti quosdam, qui serviles homines appellantur? Equidem. Num ob scientiam, an propter inscitiam? Haud dubie propter inscitiam. Ergone propter ignorationem artis ærariæ nomen hoc consequuntur? Minime. An ob fabricandi ignorationem? Ne hac quidem de causa. An ob sutoriæ? ob nihil horum; imo vero contrarium.

Nam

οἱ γὰρ πλεῖστοι τῶν γε τὰ τοιαῦτα ἐπισταμένων ἀνδραποδώδεις εἰσίν. ἆρ' οὖν τῶν τὰ καλὰ καὶ ἀγαθὰ καὶ δίκαια μὴ εἰδότων τὸ ὄνομα τοῦτ' ἐστιν; ἔμοιγε δοκεῖ, ἔφη. οὐκοῦν δεῖ παντὶ τρόπῳ διατεινομένους φεύγειν, ὅπως μὴ ἀνδράποδα ὦμεν.

κγ'. Ἀλλὰ νὴ τοὺς Θεοὺς, (ἔφη) ὦ Σώκρατες, πάνυ ᾤμην φιλοσοφεῖν φιλοσοφίαν, δι' ἧς ἂν μάλιστα ἐνόμιζον παιδευθῆναι τὰ προσήκοντα ἀνδρὶ καλοκαγαθίας ὀρεγομένῳ· νῦν δὲ πῶς οἴει με ἀθύμως ἔχειν, ὁρῶντα ἐμαυτὸν διὰ μὲν τὰ προπεπονημένα οὐδὲ τὸ ἐρωτώμενον ἀποκρίνασθαι δυνάμενον ὑπὲρ ὧν μάλιστα χρὴ εἰδέναι, ἄλλην δὲ ὁδὸν οὐδεμίαν ἔχοντα, ἣν ἂν πορευόμενος βελτίων γενοίμην;

κδ'. Καὶ ὁ Σωκράτης, εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, εἰς Δελφοὺς ἤδη πώποτε ἀφίκου; καὶ δὶς νὴ Δί', ἔφη. κατέμαθες οὖν πρὸς τῷ ναῷ που γεγραμμένον τὸ, Γνῶθι σαυτόν; ἔγωγε. πότερον οὖν οὐδέν σοι τοῦ γράμματος ἐμέλησεν, ἢ προσέσχες τε καὶ ἐπεχείρησας σαυτὸν ἐπισκοπεῖν, ὅστις εἴης; μὰ

Nam illi ut plurimum serviles sunt, qui hujusmodi sciant. Ergo nomen hoc iis competit, qui honesta & bona & justa ignorant? Mihi videtur, inquit. Extentis itaque viribus omni modo fugere oportet, ne mancipia simus.

23. Per Deos immortales, (inquit) mi Socrates, omnino me illi philosophiæ studere putabam, per quam maxime existimabam in iis institui quæ homini virtutis studioso convenirent: nunc quam mœsto me putas esse animo, quum videam me per studia prius habita ne quidem de interrogatis respondere in iis posse, quæ maxime scienda sunt; quumque via nulla restet, qua pergens evadam melior?

24. Tum Socrates, Dic mihi, mi Euthydeme, ait, Delphosne profectus aliquando es? Imo bis, inquit. An animadvertisti ad templum alicubi scriptum esse, Nosce teipsum? Equidem. Utrum igitur id ita scriptum nihili fecisti, an advertisti animum, ac temet considerare conatus es, qui sis?

Minime

μὰ Δί' οὐ δῆτα· (ἔφη) καὶ γὰρ δὴ πάνυ τοῦτό γε ᾤμην εἰδέναι. σχολῇ γὰρ ἂν ἄλλο τι ᾔδειν, εἴγε μηδ' ἐμαυτὸν ἐγίγνωσκον.

κέ. Πότερα δέ σοι δοκεῖ γιγνώσκειν ἑαυτὸν, ὅστις τοὔνομα τὸ ἑαυτοῦ μόνον οἶδεν, ἢ ὅστις (ὥσπερ οἱ τοὺς ἵππους ὠνούμενοι, οὐ πρότερον οἴονται γιγνώσκειν ὃν ἂν βούλωνται γνῶναι, πρὶν ἂν ἐπισκέψωνται, πότερον εὐπειθής ἐστιν ἢ δυσπειθὴς, καὶ πότερον ἰσχυρὸς ἐστιν ἢ ἀσθενὴς, καὶ πότερον ταχὺς ἢ βραδὺς, καὶ τάλλα τὰ πρὸς τὴν τοῦ ἵππου χρείαν ἐπιτήδειά τε καὶ ἀνεπιτήδεια ὅπως ἔχει· οὕτως) ἑαυτὸν ἐπισκεψάμενος, ὁποῖός ἐστι πρὸς τὴν ἀνθρωπίνην χρείαν, ἔγνωκε τὴν αὑτοῦ δύναμιν; οὕτως ἔμοιγε δοκεῖ (ἔφη) ὁ μὴ εἰδὼς τὴν ἑαυτοῦ δύναμιν ἀγνοεῖν ἑαυτόν.

κϛ'. Ἐκεῖνο δὲ οὐ φανερὸν (ἔφη) ὅτι διὰ μὲν τὸ εἰδέναι ἑαυτοὺς πλεῖστα ἀγαθὰ πάσχουσιν οἱ ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν, πλεῖστα κακά; οἱ μὲν γὰρ εἰδότες ἑαυτοὺς, τά τε ἐπιτήδεια ἑαυτοῖς ἴσασι· καὶ διαγιγνώσκουσιν ἅτε δύνανται, καὶ ἃ μή· καὶ ἃ μὲν ἐπίστανται πράττοντες, ποιεῖ-

Minime profectò: (inquit) nam prorsus id me putabam jam scire. Vix enim aliquid aliud scirem, si ne meipsum quidem nossem.

25. Utrum vero tibi videtur is semet nosse, qui nomen tantum suum novit, an qui (equos ementium more, non prius equum se nosse putantium, quem nosse volunt, quam inspexerint, utrum sit tractabibis, necne; utrum robustus an debilis; utrum celer, an tardus; itemque in cæteris quæ vel equo conveniunt vel non conveniunt, quomodo se habet: ita & ipse) considerans semet, qualis sit ad usum humanum, vires suas novit? Sane mihi videtur is (ait) qui vires suas non noverit, seipsum non nosse.

26. An vero non perspicuum est (inquit) ex eo quod se noverint, maxima homines bona percipere; quod autem à seipsis aberrent, mala plurima? Nam qui seipsos norunt, quæ sibi commoda sint, sciunt; & quæ vel possint vel nequeant, dignoscunt; & quum faciant quæ sciunt, compa-

πορίζονταί τε ὧν δέονται, καὶ εὖ πράττουσιν· ὧν δὲ μὴ ἐπίστανται ἀπεχόμενοι, ἀναμάρτητοι γίγνονται, καὶ διαφεύγουσι τὸ κακῶς πράττειν· διὰ τοῦτο δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους δυνάμενοι δοκιμάζειν, καὶ διὰ τῆς τῶν ἄλλων χρείας τά τε ἀγαθὰ πορίζονται, καὶ τὰ κακὰ φυλάττονται.

κζ'. Οἱ δὲ μὴ εἰδότες, ἀλλὰ διεψευσμένοι τῆς ἑαυτῶν δυνάμεως, πρός τε τοὺς ἄλλους ἀνθρώπους καὶ τἆλλα ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται, καὶ οὔτε ὧν δέονται ἴσασιν, οὔτε ὅ,τι πράττουσιν, οὔτε οἷς χρῶνται, ἀλλὰ πάντων τούτων διαμαρτάνοντες, τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι, καὶ τοῖς κακοῖς περιπίπτουσι.

κη'. Καὶ οἱ μὲν εἰδότες ὅ,τι ποιοῦσιν, ἐπιτυγχάνοντες ὧν πράττουσιν, εὔδοξοί τε καὶ τίμιοι γίγνονται· καὶ οἵ τε ὅμοιοι τούτοις ἡδέως χρῶνται, οἵ τε ἀποτυγχάνοντες τῶν πραγμάτων ἐπιθυμοῦσι τούτους ὑπὲρ αὑτῶν βουλεύεσθαι, καὶ προΐστασθαί τε ἑαυτῶν τούτους, καὶ τὰς ἐλπίδας τῶν ἀγαθῶν ἐν τούτοις ἔχουσι, καὶ διὰ πάντα ταῦτα πάντων μάλιστα τούτους ἀγαπῶσιν.

κθ'. Οἱ

comparant ſibi ea quibus indigent, ac bene agunt; quumque ab illis abſtineant, quæ neſciunt, non delinquunt, & quo minus male agant, vitant: ac proinde cæteros quoque mortales quum explorare poſſint, etiam ex aliorum uſu bona ſibi comparant, & à malis ſibi cavent.

27. Quotquot vero per ignorantiam errant de viribus ſuis, illi ad homines cæteros reſque humanas alias eodem modo affecti ſunt; nec quibus opus ſibi ſit, norunt, nec quid agant, nec quibus utantur: ſed ab omnibus his aberrantes, ut bonis fruſtrantur, ſic in mala incidunt.

28. Præterea qui, quum ſciant quid faciant, actionum ſuarum finem conſequuntur, illi celebres honoratique evadunt; quique ſimiles ſunt, lubenter illis utuntur; & qui fruſtrantur inſtituto ſuo, cupiunt hos ſibi conſiliis ſubvenire, ſibique præeſſe, ac ſpem ſuam in eis collocant, & propter hæc omnia maxime ipſos diligunt.

29. Qui

κθ'. Οἱ δὲ μὴ εἰδότες ἃ ποιοῦσι, κακῶς δὲ αἱρούμενοι, καὶ οἷς ἂν ἐπιχειρήσωσιν ἀποτυγχάνοντες, οὐ μόνον ἐν αὐτοῖς τούτοις ζημιοῦνταί τε καὶ κολάζονται· ἀλλὰ καὶ ἀδοξοῦσι διὰ ταῦτα, καὶ καταγέλαστοι γίγνονται, καὶ καταφρονούμενοι, καὶ ἀτιμαζόμενοι ζῶσιν. ὁρᾷς δὲ καὶ τῶν πόλεων ὅτι ὅσαι ἐὰν ἀγνοήσασαι τὴν ἑαυτῶν δύναμιν κρείττοσι πολεμήσωσιν, αἱ μὲν ἀνάστατοι γίγνονται, αἱ δὲ ἐκ ἐλευθέρων δοῦλαι.

λ'. Καὶ ὁ Εὐθύδημος, ὡς πάνυ μοι δοκεῖ, ὦ Σώκρατες, ἔφη, περὶ πολλοῦ ποιητέον εἶναι τὸ ἑαυτὸν γιγνώσκειν, οὕτως ἴσθι· ὁπόθεν δὲ χρὴ ἄρξασθαι ἐπισκοπεῖν ἑαυτὸν, τοῦτο πρὸς σε ἀποβλέπω εἴ μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι.

λα'. Οὐκοῦν (ἔφη ὁ Σωκράτης) τὰ μὲν ἀγαθὰ καὶ τὰ κακὰ ὁποῖά ἐστι, πάντως που γιγνώσκεις. νὴ Δί' (ἔφη) εἰ γὰρ μηδὲ ταῦτα οἶδα, καὶ τῶν ἀνδραπόδων φαυλότερος ἂν εἴην. ἴθι δή, (ἔφη) καὶ ἐμοὶ ἐξήγησαι αὐτά. ἀλλ' οὐ χαλεπόν (ἔφη) πρῶτον μὲν γὰρ αὐτὸ τὸ ὑγιαίνειν ἀγαθὸν εἶναι νομίζω, τὸ δὲ νοσεῖν,

29. Qui vero nesciunt quæ agant, & eligunt male, posteaquam iis quæ moliti sunt frustrantur, non ea duntaxat ratione damno quodam ac pœna multantur, sed etiam inglorii & ridiculi fiunt; & spreti, dedecoreque notati vivunt. Vides etiam civitates, quotquot ignorantes vires suas, bellum adversus potentiores suscipiunt, partim prorsus everti, partim ex liberis in servitutem redigi.

30. Tum Euthydemus, velim scias, inquit, mi Socrates, hoc, seipsum noscere, prorsus magni mihi faciendum videri: verum unde cognoscendi sui sit faciendum initium, ad te aspicio si id mihi velis exponere.

31. Nosti tu omnino (inquit Socrates) qualia sint tum quæ bona tum quæ mala sunt. Profecto: (ait) vel ipsis enim mancipiis vilior essem, si hæc ignorarem. Age vero, (inquit) mihi quoque illa exponito. Id quidem difficile non est: (inquit) Primo, ipsum recte valere, bonum esse arbitror; morbo autem

νοσεῖν, κακόν. ἔπειτα τὰ αἴτια ἑκατέρου αὐτῶν, καὶ ποτὰ, καὶ βρωτὰ, καὶ ἐπιτηδεύματα, τὰ μὲν πρὸς τὸ ὑγιαίνειν φέροντα, ἀγαθά· τὰ δὲ πρὸς τὸ νοσεῖν, κακά.

λβʹ. Οὐκοῦν (ἔφη) καὶ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ὅταν μὲν ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη· ὅταν δὲ κακοῦ, κακά. πότε δ᾽ ἂν (ἔφη) τὸ μὲν ὑγιαίνειν κακοῦ αἴτιον γένοιτο· τὸ δὲ νοσεῖν, ἀγαθοῦ; ὅταν νὴ Δί᾽ (ἔφη) στρατείας τε αἰσχρᾶς, καὶ ναυτιλίας βλαβερᾶς, καὶ ἄλλων πολλῶν τοιούτων οἱ μὲν διὰ ῥώμην μετασχόντες ἀπόλωνται, οἱ δὲ δι᾽ ἀσθένειαν ἀπολειφθέντες σωθῶσιν. ἀληθῆ λέγεις· ἀλλ᾽ ὁρᾷς (ἔφη) ὅτι καὶ τῶν ὠφελίμων οἱ μὲν διὰ ῥώμην μετέχουσιν, οἱ δὲ δι᾽ ἀσθένειαν ἀπολείπονται. ταῦτα οὖν (ἔφη) ποτὲ μὲν ὠφελοῦντα, ποτὲ δὲ βλάπτοντα, οὐ μᾶλλον ἀγαθὰ ἢ κακά ἐστιν. οὐδὲν μὰ Δία φαίνεται, κατά γε τοῦτον τὸν λόγον.

λγʹ. Ἀλλ᾽ ἥ γέ τοι σοφία, ὦ Σώκρατες, ἀναμφισβητήτως ἀγαθόν ἐστιν. ποῖον γὰρ ἄν τις πρᾶγμα οὐ

βέλτιον

laborare, malum. Deinde quæ horum utriusque causæ sunt, potus, cibi, studia, siqua rectam ad valetudinem conferunt, bona sunt; quæ vero ad ægrotationem, mala.

32. Ergo (inquit Socrates) tum recte valere, tum ægrotare, quum quidem boni alicujus causa sunt, bona fuerint scilicet: quum vero mali, mala. At quando (ait) recte quidem valere mali alicujus causa esse possit, ægrotare vero boni? Tum profecto (inquit) quum qui vel militiæ turpi, vel navigationi damnosæ, vel aliis plerisque talibus ob robur intersunt, pereant: alii vero, qui propter imbecillitatem absunt, incolumes evadunt. Vere dicis: sed vides (inquit) etiam nonnullos ob robur utilibus interesse, quum alii propter imbecillitatem absint. Ergo hæc (ait) quum nunc prosint, nunc noceant, non magis bona quam mala sunt. Non profecto apparet (ait) secundum hanc quidem rationem.

33. Sed tamen sapientia, mi Socrates, haud dubie bonum est. Nam quale tandem negotium non

melius

βέλτιον πράττοι σοφὸς ὢν, ἢ ἀμαθής; τί δὲ, τὸν Δαίδαλον (ἔφη) οὐκ ἀκήκοας, ὅτι ληφθεὶς ὑπὸ Μίνω διὰ τὴν σοφίαν, ἠναγκάζετο αὐτῷ δουλεύειν, καὶ τῆς πατρίδος ἅμα καὶ τῆς ἐλευθερίας ἐστερήθη, καὶ ἐπιχειρῶν ἀποδιδράσκειν μετὰ τοῦ υἱοῦ, τόν τε παῖδα ἀπώλεσε, καὶ αὐτὸς οὐκ ἐδυνήθη σωθῆναι, ἀλλ᾽ ἀπενεχθεὶς εἰς τοὺς βαρβάρους, πάλιν ἐκεῖ ἐδούλευε; λέγεται νὴ Δί᾽ (ἔφη) ταῦτα. τὰ δὲ Παλαμήδους οὐκ ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν, ὡς διὰ σοφίαν φθονηθεὶς ὑπὸ τοῦ Ὀδυσσέως ἀπώλετο. λέγεται καὶ ταῦτα, ἔφη. ἄλλους δὲ πόσους οἴει διὰ σοφίαν ἀναρπάστους πρὸς βασιλέα γεγονέναι, καὶ ἐκεῖ δουλεύειν;

λδ΄. Κινδυνεύει, (ἔφη) ὦ Σώκρατες, ἀναμφιλογώτατον ἀγαθὸν εἶναι τὸ εὐδαιμονεῖν. εἴγε μή τις αὐτὸ, (ἔφη) ὦ Εὐθύδημε, ἐξ ἀμφιλόγων ἀγαθῶν συντιθείη. τί δ᾽ ἂν (ἔφη) τῶν εὐδαιμονικῶν ἀμφίλογον εἴη; οὐδέν· (ἔφη) εἴγε μὴ προσθήσομεν αὐτῷ κάλλος, ἢ ἰσχὺν, ἢ πλοῦτον, ἢ δόξαν, ἢ καί τι ἄλλο τῶν τοιούτων. ἀλλὰ νὴ

melius efficiat, sapiens, quam rudis? Quid vero? non audisti (inquit) Dædalum à Minoë ob sapientiam captum servitutem servire coactum fuisse, tum patria tum libertate orbatum: quumque aufugere cum filio conaretur, filium amisisse, ac ne ipsum quidem salvum elabi potuisse; sed ad barbaros delatum, rursus ibidem serviisse? Dicuntur illa sane, inquit. At Palamedis calamitates non audisti? Hunc enim prædicant omnes, ob sapientiam Ulyssi invisum periisse. Id etiam fertur, ait. Quot item alios existimas ob sapientiam abreptos ad regem esse, atque istic servire?

34. Videtur, mi Socrates, (ait) felicitas bonum esse indubium. Nisi quis, (inquit) mi Euthydeme, de dubiis eam bonis componat. Quid autem (ait) dubium esse possit inter illa, quæ ad felicitatem pertinent? Nihil, (inquit) modo non addamus ei pulcritudinem, vel robur, vel opes, vel gloriam, vel quid aliud ejusmodi. At vero

νὴ Δία προσθήσομεν, (ἔφη) πῶς γὰρ ἄν τις ἄνευ τούτων εὐδαιμονοίη.

λε'. Νὴ Δί' (ἔφη) προσθήσομεν ἄρα ἐξ ὧν πολλὰ καὶ χαλεπὰ συμβαίνει τοῖς ἀνθρώποις. πολλοὶ μὲν γὰρ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ τοῖς ὡραίοις παρακεκινηκότων διαφθείρονται· πολλοὶ δὲ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις ἐπιχειροῦντες, οὐ μικροῖς κακοῖς περιπίπτουσι· πολλοὶ δὲ διὰ τὸν πλοῦτον διαθρυπτόμενοί τε καὶ ἐπιβουλευόμενοι ἀπόλλυνται· πολλοὶ δὲ διὰ δόξαν καὶ πολιτικὴν δύναμιν μεγάλα κακὰ πεπόνθασιν.

λϛ'. Ἀλλὰ μὴν (ἔφη) εἴγε μηδὲ τὸ εὐδαιμονεῖν ἐπαινῶν ὀρθῶς λέγω, ὁμολογῶ μηδ' ὅ,τι πρὸς τοὺς Θεοὺς εὔχεσθαι χρή, εἰδέναι. ἀλλὰ ταῦτα μὲν (ἔφη ὁ Σωκράτης) ἴσως διὰ τὸ σφόδρα πιστεύειν εἰδέναι, οὐδ' ἔσκεψαι. ἐπεὶ δὲ πόλεως δημοκρατουμένης παρασκευάζῃ προεστάναι, δῆλον ὅτι δημοκρατίαν γε οἶσθα τί ἐστι. πάντως δήπου, ἔφη.

λζ'. Δοκεῖ οὖν σοι δυνατὸν εἶναι δημοκρατίαν εἰδέναι, μὴ εἰδότα δῆμον; μὰ Δί', οὐκ ἔμοιγε. καὶ τί νομίζεις δῆμον εἶναι;

τοὺς

vero (ait) hæc addemus profecto: nam qui possit absque his beatus aliquis esse.

35. Addemus illa sane (inquit) ob quæ multa, eaque gravia hominibus accidunt. Multi enim ob pulcritudinem ab iis violantur, qui erga elegantes incitantur: multi ob robur suum majora quædam aggressi opera, non exiguas in calamitates incidunt: multi propter opes emolliti deliciis ac insidiis petiti, pereunt: multi ob gloriam potentiamque in republica, magna sunt mala perpessi.

36. Enimvero (ait) si nec felicitatem ipsam laudans, recte dico; fateor me ne id quidem, quod precibus petendum à Diis sit, nosse. Fortasse tu hæc (ait Socrates) non considerasti, propterea quod omnino scire te illa crederes. Quia vero te paras, ut civitati præsis, in qua populus dominatur, haud dubie quid dominatus popularis sit, nosti. Omnino, ait.

37. Ergone putas scire te, quid populi sit dominatus, si nescias, quid populus sit? Minime inquit. Et quid putas esse populum? Equi-

τοὺς πένητας τῶν πολιτῶν ἔγωγε. καὶ τοὺς πένητας ἄρα οἶσθα; πῶς γὰρ οὔ; ἆρ' οὖν καὶ τοὺς πλουσίους οἶσθα; οὐδὲν δὲ ἧττον ἢ καὶ τοὺς πένητας. ποίους δὲ πένητας καὶ ποίους πλουσίους καλεῖς; τοὺς μὲν οἶμαι, μὴ ἱκανὰ ἔχοντας εἰς ἃ δεῖ τελεῖν, πένητας· τοὺς δὲ πλείω τῶν ἱκανῶν, πλουσίους.

λη'. Καταμεμάθηκας οὖν, ὅτι ἐνίοις μὲν πάνυ ὀλίγα ἔχουσιν οὐ μόνον ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ περιποιοῦνται ἀπ' αὐτῶν· ἐνίοις δὲ πάνυ πολλὰ οὐχ ἱκανά ἐστι; καὶ νὴ Δί' (ἔφη ὁ Εὐθύδημος) ὀρθῶς γάρ με ἀναμιμνήσκεις· οἶδα, γὰρ καὶ τυράννους τινὰς, οἳ δι' ἔνδειαν, ὥσπερ οἱ ἀπορώτατοι, ἀναγκάζονται ἀδικεῖν.

λθ'. Οὐκοῦν (ἔφη ὁ Σωκράτης) εἴγε ταῦτα οὕτως ἔχει, τοὺς μὲν τυράννους εἰς τὸν δῆμον θήσομεν, τοὺς δὲ ὀλίγα κεκτημένους, ἐὰν οἰκονομικοὶ ὦσιν, εἰς τοὺς πλουσίους. καὶ ὁ Εὐθύδημος ἔφη· ἀναγκάζει με καὶ ταῦτα ὁμολογεῖν δηλονότι ἡ ἐμὴ φαυλότης, καὶ φροντίζω, μὴ κράτιστον ᾖ μοι σιγᾶν.

κιν-

Equidem cives pauperes. Et pauperes igitur nosti? Qui non? Ergo etiam nosti divites? Nihilo minus quam pauperes. Quales autem pauperes, & quales appellas divites? Pauperes arbitror esse, quibus non suppetit sumptus, quem facere necesse est: at quibus plus, quam satis est, suppetit, divites.

38. Ergone unquam animadvertisti, nonnullis qui admodum pauca possident, non solum ea ipsa sufficere, sed alia quoque de his acquirere: quum aliis etiam admodum multa non sufficiant. Ita est profecto: (ait Euthydemus) nam recte me mones. Etenim quosdam tyrannos quoque novi, qui ob inopiam, perinde ac maxime egeni, injuste coguntur agere.

39. Ergo si hæc (inquit Socrates) ita se habent, tyrannos ad populum, alios qui pauca possident, si quidem rei familiaris administrandæ periti fuerint, inter opulentos ponemus. Etiam id fateri me (ait Euthydemus) stupiditas mea cogit: adeoque jam cogito, optimumne fuerit, me silere.

Nam

κινδυνεύω γὰρ ἁπλῶς οὐδὲν εἰδέναι. Καὶ πάνυ ἀθύμως ἔχων ἀπῆλθε, καὶ καταφρονήσας ἑαυτοῦ, καὶ νομίσας τῷ ὄντι ἀνδράποδον εἶναι.

μ'. Πολλοὶ μὲν οὖν τῶν οὕτω διατεθέντων ὑπὸ Σωκράτους οὐκέτι αὐτῷ προσῄεσαν, οὓς καὶ βλακωτέρους ἐνόμιζεν. ὁ δ' Εὐθύδημος ὑπέλαβεν οὐκ ἂν ἄλλως ἀνὴρ ἀξιόλογος γενέσθαι, εἰ μὴ ὅτι μάλιστα Σωκράτει συνείη· καὶ οὐκ ἀπελείπετο ἔτι αὐτοῦ, εἰ μή τι ἀναγκαῖον εἴη· ἔνια δὲ καὶ ἐμιμεῖτο, ὧν ἐκεῖνος ἐπετήδευεν. ὁ δὲ ὡς ἔγνω αὐτὸν οὕτως ἔχοντα, ἥκιστα μὲν διετάραττεν, ἁπλούστατά τε καὶ σαφέστατα ἐξηγεῖτο, ἅ τε ἐνόμιζεν εἰδέναι δεῖν, καὶ ἐπιτηδεύειν κράτιστα εἶναι.

ΚΕΦ. γ'.

ΤΟ μὲν οὖν λεκτικοὺς καὶ πρακτικοὺς καὶ μηχανικοὺς γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν, ἀλλὰ πρότερον τούτων

Nam ſimpliciter metuo, ne nihil ſciam. Itaque animo valde dejectus abiit, quum quidem & contemneret ſeipſum, & reapſe mancipium eſſe crederet.

40. Ac multi quidem hoc modo habiti à Socrate, non amplius eum conveniebant, quos etiam ſtolidiores eſſe putabat: verum Euthydemus non alia ſe ratione hominem frugi poſſe fieri arbitrabatur, quam ſi cum Socrate frequentiſſime verſaretur: neque amplius ab ipſo poterat abeſſe, niſi quid rei neceſſariæ impediret: quinetiam quædam ipſius inſtituta imitabatur. Itaque Socrates, qui ſic affectum eſſe animadverteret, minime ipſum perturbabat: ſed quam ſimpliciſſime & clariſſime exponebat, quæ putabat eum ſcire debere; & quibus operam dare, eſſe optimum.

CAP. III.

NON ille quidem familiares ſuos dicendi, agendi, ingenioſe machinandi aliquid peritos efficere feſtinabat, ſed prius exiſtimabat

τούτων ᾤετο χρῆναι σωφροσύνην αὐτοῖς ἐγγενέσθαι. τοὺς γὰρ ἄνευ τοῦ σωφρονεῖν ταῦτα δυναμένους, ἀδικωτέρους τε καὶ δυνατωτέρους κακουργεῖν ἐνόμιζεν εἶναι.

β'. Πρῶτον μὲν δὴ περὶ Θεοὺς ἐπειρᾶτο σώφρονας ποιεῖν τοὺς συνόντας. ἄλλοι μὲν οὖν αὐτῷ πρὸς ἄλλους οὕτως ὁμιλοῦντι παραγενόμενοι διηγοῦντο· ἐγὼ δὲ, ὅτε πρὸς Εὐθύδημον τοιάδε διελέγετο, παρεγενόμην.

γ'. Εἰπέ μοι, (ἔφη) ὦ Εὐθύδημε, ἤδη ποτέ σοι ἐπῆλθεν ἐνθυμηθῆναι, ὡς ἐπιμελῶς οἱ Θεοὶ, ὧν οἱ ἄνθρωποι δέονται, κατεσκευάκασι; καὶ ὃς, μὰ τὸν Δί', ἔφη, οὐκ ἔμοιγε. Ἀλλ' οἶσθά γ' (ἔφη) ὅτι πρῶτον μὲν φωτὸς δεόμεθα, ὃ ἡμῖν οἱ Θεοὶ παρέχουσι; νὴ Δί' (ἔφη) ὅ γ' εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς ἂν ἦμεν, ἕνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν. ἀλλὰ μὴν καὶ ἀναπαύσεώς γε δεομένοις ἡμῖν νύκτα παρέχουσι κάλλιστον ἀναπαυτήριον. πάνυ δ' (ἔφη) καὶ τοῦτο χάριτος ἄξιον.

δ'. Οὐκοῦν καὶ ἐπειδὴ ὁ μὲν ἥλιος φωτεινὸς ὢν τάς τε ὥρας

τῆς

mabat oportere moderationem ipsis indi. Nam qui sine modestia in hujusmodi valerent, eos & injustiores & ad nocendum magis instructos esse arbitrabatur.

2. Primum autem enitebatur hoc efficere, ut erga Deos se familiares sui modeste gererent. Et alii quidem, quum ipsius ad alios sermonibus interessent, eos exposuerunt: ego vero aderam, quum ad Euthydemum hujusmodi quædam dissereret.

3. Dic mihi, mi Euthydeme, (ait) cogitarene tibi aliquando subiit, quam diligenter Dii paraverint ea quibus homines indigent? Et ille, Minime profecto (ait) mihi. At nosti (ait) primum nos lucis egere, quam Dii nobis suppeditant? Profecto: (inquit) quam nisi haberemus, oculos quod attinet, cæcis essemus similes. Atqui quum quiete etiam indigeamus, noctem nobis largiuntur, commodissimum quiescendi tempus. Hoc etiam (inquit) omnino gratias meretur.

4. Quia vero Sol lucidus est, ac nobis horas diei, aliaque clare

 demon-

τῆς ἡμέρας ἡμῖν καὶ τἄλλα πάντα σαφηνίζει· ἡ δὲ νὺξ, διὰ τὸ σκοτεινὴ εἶναι, ἀσαφεστέρα ἐστὶν, ἄστρα ἐν τῇ νυκτὶ ἀνέφηναν, ἃ ἡμῖν τὰς ὥρας τῆς νυκτὸς ἐμφανίζει, καὶ διὰ τοῦτο πολλὰ ὧν δεόμεθα πράττομεν. ἔστι ταῦτα, ἔφη. ἀλλὰ μὴν ἥγε σελήνη οὐ μόνον τῆς νυκτὸς, ἀλλὰ καὶ τοῦ μηνὸς τὰ μέρη φανερὰ ἡμῖν ποιεῖ. πάνυ μὲν οὖν, ἔφη.

ε'. Τὸ δὲ, ἐπεὶ τροφῆς δεόμεθα, ταύτην ἡμῖν ἐκ τῆς γῆς διδόναι, καὶ ὥρας ἁρμοττούσας πρὸς τοῦτο παρέχειν, αἳ ἡμῖν οὐ μόνον ὧν δεόμεθα πολλὰ καὶ παντοῖα παρασκευάζουσιν, ἀλλὰ καὶ οἷς εὐφραινόμεθα; πάνυ (ἔφη) καὶ ταῦτα φιλάνθρωπα.

ϛ'. Τὸ δὲ καὶ ὕδωρ ἡμῖν παρέχειν οὕτω πολλοῦ ἄξιον, ὥστε καὶ φυτεύειν τε καὶ συναύξειν τῇ γῇ καὶ ταῖς ὥραις πάντα τὰ χρήσιμα ἡμῖν, συντρέφειν δὲ καὶ αὐτοὺς ἡμᾶς, καὶ μιγνύμενον πᾶσι τοῖς τρέφουσιν ἡμᾶς, εὐκατεργαστότερά τε καὶ ὠφελιμώτερα καὶ ἡδίω ποιεῖν αὐτά· καὶ ἐπειδὰ πλείστου δεόμεθα τούτου, ἀφθονέστατον αὐτὸ παρέχειν ἡμῖν; καὶ τοῦτο (ἔφη) προνοητικόν.

ζ'. Τὸ

demonſtrat; nox autem propter tenebras eſt obſcurior: aſtra noctu fecerunt apparere, quæ noctis horas nobis indicarent, quo fit, ut multa, quæ neceſſe ſit, perficiamus. Ita eſt, inquit. Enimvero Luna non ſolum noctis, ſed etiam menſis partes nobis patefacit. Omnino, ait.

5. Quid autem? quum nutrimento egeamus, quod illud è terra nobis producant, & ad hoc anni tempora convenientia tribuant, quæ nobis non modo quibus indigemus multa atque omnimoda parant, ſed ea quoque quibus delectamur? Etiam hæc (inquit) magnæ ſunt Deorum erga homines benevolentiæ.

6. Quod item nobis aquam largiantur rem adeo pretioſam, ut & producat & augeat una cum terra & cum anni temporibus omnia, quæ nobis uſui ſunt; ſimulque nos etiam alat, ac nutrimentis noſtris omnibus admiſta, faciat ut & confici ea facilius poſſint, & utiliora ſint & ſuaviora: quodque maxima nobis eandē copia largiantur, quum illa plurimum egeamus? Hoc quoque (ait) providentiæ opus eſt.

7. Quod

ζ'. Τὸ δὲ καὶ τὸ πῦρ πορίσαι ἡμῖν ἐπίκουρον μὲν ψύχους, ἐπίκουρον δὲ σκότους, συνεργὸν δὲ πρὸς πᾶσαν τέχνην, καὶ πάντα ὅσα ὠφελείας ἕνεκα ἄνθρωποι κατασκευάζονται; ὡς γὰρ συνελόντι εἰπεῖν, οὐδὲν ἀξιόλογον ἄνευ πυρὸς ἄνθρωποι τῶν πρὸς βίον χρησίμων κατασκευάζονται. Ὑπερβάλλει (ἔφη) καὶ τοῦτο φιλανθρωπίᾳ.

η'. Τὸ δὲ τὸν ἥλιον, ἐπειδὰν ἐν χειμῶνι τράπηται, προσιέναι τὰ μὲν ἁδρύνοντα, τὰ δὲ ξηραίνοντα, ὧν καιρὸς διελήλυθεν· καὶ ταῦτα διαπραξάμενον μηκέτι ἐγγυτέρω προσιέναι, ἀλλ' ἀποτρέπεσθαι, φυλαττόμενον μή τι ἡμᾶς μᾶλλον τοῦ δέοντος θερμαίνων βλάψῃ· καὶ ὅταν αὖ πάλιν ἀπιὼν γένηται, ἔνθα καὶ ἡμῖν δῆλόν ἐστιν, ὅτι εἰ προσωτέρω ἄπεισιν, ἀποπαγησόμεθα ὑπὸ τοῦ ψύχους, πάλιν αὖ τρέπεσθαι καὶ προχωρεῖν, καὶ ἐνταῦθα τοῦ οὐρανοῦ ἀναστρέφεσθαι, ἔνθα ὢν μάλιστα ἡμᾶς ὠφελοίη; νὴ τὸν Δί' (ἔφη) καὶ ταῦτα παντάπασιν ἔοικεν ἀνθρώπων ἕνεκα ★ γιγνόμενα.

θ'. Τὸ δ' αὖ (ἔπειτα καὶ τοῦτο φανερὸν, ὅτι ἂν ὑπενέγκοιμεν οὔτε

7. Quod item nobis ignem dederint, præsidium quoddam adversus frigus & caliginem, omnibusque in opificiis, ac rebus cæteris, quas utilitatis causa suscipiunt homines, quasi quendam cooperatorem? Nam, ut summatim dicam, rerum ad vitam utilium nihil homines, quod operæ pretium sit, absque igne parare possunt. Etiam hoc (inquit) benignitatis est eximiæ.

8. Quod item sol, ubi in hyeme se convertit, accedendo hæc quidem maturat, illa vero exsiccat, quorum scilicet tempus præteriit; ac ubi id perfecit, non accedit propius, sed avertit sese, cavens ne supra modum nos calefaciendo lædat; ac quum eo recessit, ubi nobis manifestum est, ut frigore congelasceremus, si quidem abiret longius, ad eam cœli partem revertitur, ubi nobis plurimum prodest? Profecto (ait) etiam hæc omnino videntur hominum causa fieri.

9. Quod item (quum manifestum sit, non posse nos nec æstum

οὔτε τὸ καῦμα οὔτε τὸ ψῦχος, εἰ ἐξαπίνης γίγνοιτο) οὕτω μὲν κατὰ μικρὸν προσιέναι τὸν ἥλιον, οὕτω δὲ κατὰ μικρὸν ἀπιέναι, ὥστε λανθάνειν ἡμᾶς εἰς ἑκάτερα τὰ ἰσχυρότατα καθισταμένους; ἐγὼ μὲν οὖν (ἔφη ὁ Εὐθύδημος) ἤδη τοῦτο σκοπῶ, εἰ ἄρα τί ἐστι τοῖς Θεοῖς ἔργον, ἢ ἀνθρώπους θεραπεύειν· ἐκεῖνο δὲ μόνον ἐμποδίζει με, ὅτι καὶ τἆλλα ζῶα τούτων μετέχει.

ι'. Οὐ γὰρ καὶ τοῦτ' (ἔφη ὁ Σωκράτης) φανερὸν, ὅτι καὶ ταῦτα ἀνθρώπων ἕνεκα γίγνεταί τε καὶ ἀνατρέφεται; τί γὰρ ἄλλο ζῶον αἰγῶν τε καὶ ὑῶν καὶ ἵππων καὶ βοῶν καὶ ὄνων καὶ τῶν ἄλλων ζώων τοσαῦτα ἀγαθὰ ἀπολαύει, ὅσα ἄνθρωποι; ἐμοὶ μὲν γὰρ δοκεῖ πλείω τῶν φυτῶν· τρέφονται γοῦν καὶ χρηματίζονται οὐδὲν ἧττον ἀπὸ τούτων, ἢ ἀπ' ἐκείνων. πολὺ δὲ γένος ἀνθρώπων τοῖς μὲν ἐκ τῆς γῆς φυομένοις εἰς τροφὴν οὐ χρῶνται, ἀπὸ δὲ βοσκημάτων γάλακτι, καὶ τυρῷ, καὶ κρέασι τρεφόμενοι ζῶσι· πάντες δὲ τιθασεύοντες καὶ δαμάζοντες τὰ χρήσιμα τῶν ζώων, εἴς τε πόλεμον καὶ εἰς ἄλλα πολλὰ συνεργοῖς χρῶνται. ὁμογνωμονῶ σοι καὶ τοῦτ', ἔφη. ὁρῶ γὰρ αὐτῶν

καὶ

æstum nec frigus tolerare, si repente illa existerent) sol ita paulatim accedat, atque ita paulatim abscedat, ut nosmet lateat, ad utraque vehementissima jam constitutos? Ego quidem hoc ipsum (ait Euthydemus) modo considero, aliudne quippiam Diis sit negotium, quam ut hominibus inserviant. Nam illud solum mihi est impedimento, quod hæc animalibus etiam cæteris communia sint.

10. An vero non perspicuum est, (ait Socrates) etiam animalia hominum causa nasci ac nutriri? Quod enim aliud animal tot commoda percipit ex capris, suibus, equis, bobus, asinis, animalibus cæteris, quot homines? Mihi quidem certe videtur plura, quam de plantis. Etiam magna pars hominum nascentibus è terra non utitur ad cibum, sed pecudum lacte, caseo, carnibus nutriti vivunt. Præterea cicuratis ac domitis utilibus animalibus omnes ad bellum aliaque multa utuntur, veluti coadjutoribus. In hoc etiam assentior tibi, ait. Nam inter ea

video

καὶ τὰ πολὺ ἰσχυρότερα ἡμῶν, οὕτω ὑποχείρια γινόμενα τοῖς ἀνθρώποις, ὥστε χρῆσθαι αὐτοῖς ὅ,τι ἂν βούλωνται.

ια'. Τὸ δ' (ἔπειτα πολλὰ μὲν καλὰ καὶ ὠφέλιμα, διαφέροντα δὲ ἀλλήλων ἐστὶ) προσθεῖναι τοῖς ἀνθρώποις αἰσθήσεις ἁρμοττούσας πρὸς ἕκαστα, δι' ὧν ἀπολαύομεν πάντων τῶν ἀγαθῶν. τὸ δὲ, καὶ λογισμὸν ἡμῖν ἐμφῦσαι, ᾧ περὶ ὧν αἰσθανόμεθα λογιζόμενοί τε καὶ μνημονεύοντες καταμανθάνομεν, ὅπη ἕκαστα συμφέρει, καὶ πολλὰ μηχανώμεθα, δι' ὧν τῶν τε ἀγαθῶν ἀπολαύομεν, καὶ τὰ κακὰ ἀλεξόμεθα. τὸ δὲ καὶ ἑρμηνείαν δοῦναι, δι' ἧς πάντων τῶν ἀγαθῶν μεταδίδομέν τε ἀλλήλοις διδάσκοντες, καὶ κοινωνοῦμεν, καὶ νόμους τιθέμεθα, καὶ πολιτευόμεθα; παντάπασιν ἐοίκασιν, ὦ Σώκρατες, οἱ Θεοὶ πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι.

ιβ'. Τὸ δὲ, καὶ εἰ ἀδυνατοῦμεν τὰ συμφέροντα προνοεῖσθαι ὑπὲρ τῶν μελλόντων, ταύτῃ αὐτοὺς ἡμῖν συνεργεῖν, διὰ μαντικῆς τοῖς πυνθανομένοις φράζοντας τὰ ἀποβησόμενα, καὶ διδάσκοντας ᾗ ἂν ἄριστα γίγνοιτο; σοὶ δ', (ἔφη) ὦ

video quædam longe nobis fortiora, tamen adeo ſubjecta hominibus effici, ut eis quamcunque ad rem velint, utantur.

11. Quod item (quum multa ſint pulcra & utilia, ſed inter ſe diverſa) ſenſus hominibus addiderint ad ſingula congruentes, per quos bonis omnibus fruimur. Item quod rationem nobis à natura conceſſerint, qua de rebus ſenſilibus ratiocinando & reminiſcendo diſcimus, ad quæ ſingula conducant, multaque molimur, per quæ bonis fruamur, & mala depellamus. Quod interpretandi facultatem largiti ſint, per quam invicem omnia bona inter nos docendo communicamus, & leges ferimus, & rempublicam adminiſtramus? Omnino videntur, mi Socrates, valde Dii de hominibus eſſe ſolliciti.

12. Quum vero nobis in futurum utilia proſpicere non poſſumus, quod ipſi nos in hoc ita juvent, ut per divinationem conſulentibus futura indicent, & quo pacto fiant, optime doceant? Te quidem, (ait) mi

ὦ Σώκρατες, ἐοίκασιν ἔτι φιλικώτεροι, ἢ τοῖς ἄλλοις χρῆσθαι, εἴγε μηδὲ ἐπερωτώμενοι ὑπὸ σοῦ προσημαίνουσί σοι ἅτε χρὴ ποιεῖν, καὶ ἃ μή.

ιγ'. Ὅτι δέ γε ἀληθῆ λέγω, καὶ σὺ γνώσῃ, ἂν μὴ ἀναμένῃς, ἕως ἂν τὰς μορφὰς τῶν Θεῶν ἴδῃς, ἀλλ' ἐξαρκῇ σοι τὰ ἔργα αὐτῶν ὁρῶντι σέβεσθαι καὶ τιμᾶν τοὺς Θεούς. Ἐννοεῖ δέ, ὅτι καὶ αὐτοὶ οἱ Θεοὶ οὕτως ὑποδεικνύουσιν. οἵ τε γὰρ ἄλλοι ἡμῖν τἀγαθὰ διδόντες, οὐδὲν τούτων εἰς τὸ ἐμφανὲς ἰόντες διδόασιν, καὶ ὁ τὸν ὅλον κόσμον συντάττων τε καὶ συνέχων, ἐν ᾧ πάντα καλὰ καὶ ἀγαθά ἐστι, καὶ ἀεὶ μὲν χρωμένοις ἀτριβῆ τε καὶ ὑγιῆ καὶ ἀγήρατον παρέχων, θᾶττον δὲ νοήματος ἀναμαρτήτως ὑπηρετοῦντα, οὗτος τὰ μέγιστα μὲν πράττων ὁρᾶται, τάδε δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν.

ιδ'. Ἐννοεῖ δέ, ὅτι καὶ ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος, οὐκ ἐπιτρέπει τοῖς ἀνθρώποις ἑαυτὸν ἀκριβῶς ὁρᾶν, ἀλλ' ἐάν τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, τὴν

mi Socrates, etiam familiarius uti videntur, quam cæteris, quando tibi, ne quidem interrogati, significant, quid vel faciendum, vel non faciendum sit.

13. At verum me dicere, etiam tu intelliges, si non expectaveris, donec Deorum formas intuearis; sed suffecerit inspicienti eorum opera, tum venerari tum honore prosequi Deos. Cogita etiam, Deos ipsos ita se nobis ostendere. Nam & Dii cæteri, quum bona nobis largiantur, nihil horum ita largiuntur, ut in apertum prodeant: & is, qui mundum universum composuit & continet, in quo pulcra & bona omnia sunt, quique utentibus eo semper expertem detrimenti, & morbi, & senectutis exhibet; atq; etiam cogitatione celerius obsequentem sine ullo errore; is, inquam, maxima quæque facere conspicitur, hoc tamen universum gubernans, cerni non potest.

14. Considera etiam, quod sol, quum omnibus conspicuus esse videatur, non permittat hominibus, uti se accurate aspiciant; sed si quis impudenter spectare conetur, visum

τὴν ὄψιν ἀφαιρεῖται. καὶ τοὺς ὑπηρέτας δὲ τῶν Θεῶν εὑρήσεις ἀφανεῖς ὄντας. κεραυνός τε γὰρ ὅτι μὲν ἄνωθεν ἀφίεται, δῆλον, καὶ ὅτι οἷς ἂν ἐντύχῃ, πάντων κρατεῖ· ὁρᾶται δ' οὔτ' ἐπιὼν, οὔτε κατασκήψας, οὔτε ἀπιών. καὶ ἄνεμοι αὐτοὶ μὲν οὐχ ὁρῶνται· ἃ δὲ ποιοῦσι, φανερὰ ἡμῖν ἐστι, καὶ προσιόντων αὐτῶν αἰσθανόμεθα. ἀλλὰ μὴν καὶ ἀνθρώπου γε ψυχὴ (εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων) τοῦ θείου μετέχει. ὅτι μὲν γὰρ βασιλεύει ἐν ἡμῖν, φανερόν· ὁρᾶται δὲ οὐδ' αὐτή. ἃ χρὴ κατανοοῦντα μὴ καταφρονεῖν τῶν ἀοράτων, ἀλλ' ἐκ τῶν γινομένων τὴν δύναμιν αὐτῶν καταμανθάνοντα, τιμᾶν τὸ δαιμόνιον.

ιε'. Ἐγὼ μὲν, ὦ Σώκρατες, (ἔφη ὁ Εὐθύδημος) ὅτι μὲν οὐδὲ μικρὸν ἀμελήσω τοῦ δαιμονίου, σαφῶς οἶδα· ἐκεῖνο δὲ ἀθυμῶ, ὅτι μοι δοκεῖ τὰς τῶν θεῶν εὐεργεσίας οὐδ' ἂν εἷς ποτε ἀνθρώπων ἀξίαις χάρισιν ἀμείβεσθαι.

ιϛ'. Μὴ τοῦτο ἀθύμει, (ἔφη) ὦ Εὐθύδημε· ὁρᾷς γὰρ, ὅτι ὁ ἐν Δελφοῖς Θεὸς, ὅταν τις αὐτὸν ἐπερωτᾷ, πῶς ἂν τοῖς Θεοῖς

visum adimat. Sed & Deorum ministros conspici non posse reperies. Nam fulmen desuper demitti patet; & omnia, in quæ incidit, vincere: non tamen vel quum accedit, vel quum ferit, vel quum recedit, cernitur. Nec venti videntur, quanquam eorum effecta nobis conspicua sint; & accedentes sentiamus. Quinetiam siquid rerum humanarum aliud, anima hominis certe de divina natura participat. Patet enim hanc in nobis imperare; nec tamen ipsa cernitur. Quæ considerantem te, nequaquam ea quæ cerni nequeant, contemnere decet: sed de iis quæ fiunt, eorum potestate animadversa, numen ipsum honore prosequi.

15. Scio equidem me, (ait Euthydemus) ne minima quidem in parte numen, mi Socrates, neglecturum. Verum id mihi molestum est, quod nemo mihi hominum beneficia divina gratiis rependere meritis videatur.

16. Tibi vero, mi Euthydeme, (ait) molestum hoc ne sit. Vides enim Delphicum Deum interrogatum, quo pacto quis gratificari Diis

Θεοῖς χαρίζοιτο, ἀποκρίνεται, Νόμῳ πόλεως. νόμος δὲ δήπου πανταχοῦ ἐστι, Κατὰ δύναμιν ἱεροῖς Θεοὺς ἀρέσκεσθαι. πῶς οὖν ἄν τις κάλλιον καὶ εὐσεβέστερον τιμῴη Θεοὺς, ἢ ὡς αὐτοὶ κελεύουσιν, οὕτω ποιῶν;

ιζ'. Ἀλλὰ χρὴ τῆς μὲν δυνάμεως μηδὲν ὑφίεσθαι. ὅταν γάρ τις τοῦτο ποιῇ, φανερὸς δέ πού ἐστι τότε οὐ τιμῶν Θεούς. χρὴ οὖν μηδὲν ἐλλείποντα κατὰ δύναμιν τιμᾶν τοὺς Θεοὺς, θαῤῥεῖν τε καὶ ἐλπίζειν τὰ μέγιστα ἀγαθά. οὐ γὰρ παρ' ἄλλων γ' ἄν τις μείζω ἐλπίζων σωφρονοίη, ἢ παρὰ τῶν τὰ μέγιστα ὠφελεῖν δυναμένων· οὐδ' ἂν ἄλλως μᾶλλον, ἢ εἰ τούτοις ἀρέσκοι· ἀρέσκοι δὲ πῶς ἂν μᾶλλον, ἢ εἰ ὡς μάλιστα πείθοιτο αὐτοῖς; Τοιαῦτα μέντοι λέγων τε καὶ αὐτὸς ποιῶν, εὐσεβεστέρους τε καὶ σωφρονεστέρους τοὺς συνόντας παρεσκεύαζεν.

ΚΕΦ.

Diis possit, respondere, Ex civitatis instituto. Est autem institutum hoc ubique, ut pro facultatibus Dii sacrificiis placentur. Qui ergo possit aliquis rectius & religiosius Deos honorare, quam si ita agat, ut ipsimet jubent?

17. Sed de facultatibus minime aliquid remittere oportet. Nam quum aliquis hoc facit, non se Deos honorare declarat. Itaque nihil intermittentem Deos pro viribus honorare oportet, & confidenter bona maxima sperare. Nemo enim mentis compos ab aliis majora sperare potest, quam ab iis qui plurimum prodesse possunt: nec alia potius ratione, quam si eis placeat: & quo pacto magis placere possit, quam si maxime ipsis obtemperet. Hæc tum dicens tum ipse faciens, & religiosiores & modestiores reddebat familiares suos.

CAP.

ΚΕΦ. δ'.

Ἀλλὰ μὴν καὶ περὶ τοῦ δικαίου γε οὐκ ἀπεκρύπτετο ἣν εἶχε γνώμην· ἀλλὰ καὶ ἔργῳ ἀπεδείκνυτο, ἰδίᾳ τε πᾶσι νομίμως καὶ ὠφελίμως χρώμενος καὶ κοινῇ, ἄρχουσί τε ἃ οἱ νόμοι προστάττοιεν πειθόμενος, καὶ κατὰ πόλιν καὶ ἐν ταῖς στρατείαις οὕτως, ὥστε διάδηλος εἶναι παρὰ τοὺς ἄλλους εὐτακτῶν.

β'. Καὶ ὅτε ἐν ταῖς ἐκκλησίαις ἐπιστάτης γενόμενος, οὐκ ἐπέτρεψε τῷ δήμῳ παρὰ τοὺς νόμους ψηφίσασθαι, ἀλλὰ σὺν τοῖς νόμοις ἠναντιώθη τοιαύτῃ ὁρμῇ τοῦ δήμου, ἣν οὐκ ἂν οἶμαι ἄλλον οὐδένα ἄνθρωπον ὑπομεῖναι.

γ'. Καὶ ὅτε οἱ τριάκοντα προσέταττον αὐτῷ παρὰ τοὺς νόμους τι, οὐκ ἐπείθετο. τοῖς τε γὰρ νέοις ἀπαγορευόντων αὐτῶν μὴ διαλέγεσθαι, καὶ προσταξάντων ἐκείνῳ τε καὶ ἄλλοις τισὶ τῶν πολιτῶν, ἀγαγεῖν τινα ἐπὶ θανάτῳ, μόνος οὐκ ἐπείσθη, διὰ τὸ παρὰ τοὺς νόμους αὐτῷ προστάττεσθαι.

δ'. Καὶ

CAP. IV.

NEC de justitia quidem sententiam suam occultabat, sed eam reipsa declarabat, quum privatim ac publice erga omnes ex legum præscripto & utiliter se gereret, ac magistratibus, in iis quæ lex mandat, adeo tum domi tum militiæ pareret, ut supra cæteros eum se recte atque ordine gerere palam esset.

2. Quinetiam ubi præses comitiorum factus est, non permisit plebi, ut præter leges suffragiis sententias ferret; sed cum legibus tanto impetui plebis adversatus est, quem non puto ullum alium hominem toleraturum fuisse.

3. Quoties etiam Trigintaviri contra leges aliquid ei præciperent, non obtemperabat. Nam quum edixissent, ne ad juvenes dissereret, ac mandassent tum ipsi tum aliis quibusdam civibus, ut quendam ad mortem adducerent, solus non paruit, propterea quod contra leges mandaretur.

δ'. Καὶ ὅτε τὴν ὑπὸ Μελίτου γραφὴν ἔφευγε, τῶν ἄλλων εἰωθότων ἐν τοῖς δικαστηρίοις πρὸς χάριν τε τοῖς δικασταῖς διαλέγεσθαι, καὶ κολακεύειν, καὶ δεῖσθαι παρὰ τοὺς νόμους, καὶ διὰ τὰ τοιαῦτα πολλῶν πολλάκις ὑπὸ τῶν δικαστῶν ἀφιεμένων, ἐκεῖνος οὐδὲν ἠθέλησε τῶν εἰωθότων ἐν τῷ δικαστηρίῳ παρὰ τοὺς νόμους ποιῆσαι· ἀλλὰ ῥᾳδίως ἂν ἀφεθεὶς ὑπὸ τῶν δικαστῶν, εἰ καὶ μετρίως τι τούτων ἐποίησε, προείλετο μᾶλλον τοῖς νόμοις ἐμμένων ἀποθανεῖν, ἢ παρανομῶν ζῆν.

ε'. Καὶ ἔλεγε δὲ οὕτω καὶ πρὸς ἄλλους μὲν πολλάκις· οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς Ἱππίαν τὸν Ἠλεῖον περὶ τοῦ δικαίου τοιάδε διαλεχθέντα. διὰ χρόνου γὰρ ἀφικόμενος ὁ Ἱππίας Ἀθήναζε, παρεγένετο τῷ Σωκράτει λέγοντι πρός τινας, ὡς θαυμαστὸν εἴη τὸ, εἰ μέν τις βούλοιτο σκυτέα διδάξασθαί τινα, ἢ τέκτονα, ἢ χαλκέα, ἢ ἱππέα, μὴ ἀπορεῖν ὅποι ἂν πέμψας τούτου τύχοι· (φασὶ δέ τινες καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ δικαίους ποιήσασθαι, πάντα μεστὰ εἶναι

τῶν

4. Quum itidem accuſante Melito reus ageretur, quanquam aliis in more ſit, apud tribunalia judicum in gratiam multa dicere, adulari, rogare præter leges, quibus ſane artibus multi multoties à judicibus abſolvuntur; ille nihil horum uſu receptorum apud tribunal præter leges facere voluit: ſed tametſi facillime abſolvi à judicibus potuiſſet, ſi vel modice horum aliquid feciſſet, perſtare tamen in legibus maluit ac mori, quam præter leges aliquid deſignando vivere.

5. Atque hujuſmodi quædam ad alios ſæpe dixit, & ipſe memini eum aliquando de juſtitia ita ad Hippiam Eleum diſſerere. Quippe quum longo ex intervallo Athenas veniſſet Hippias, Socrati aderat, dicenti ad quoſdam, mirum eſſe, quod ſiquis ſutorem aliquem, vel fabrum, vel artificem ærarium, vel equitem doceri velit, non deſint loca, ad quæ illo miſſo poſſit hoc impetrare: (aiunt quidem aliqui, ſi equum ac bovem quis ad operas ſuas idoneos velit effici, omnia plena iis eſſe qui hos do-

cere

τῶν διδαξόντων) ἐὰν δέ τις βούληται ἢ αὐτὸς μαθεῖν τὸ δίκαιον ἢ υἱὸν ἢ οἰκέτην διδάξασθαι, μὴ εἰδέναι, ὅποι ἂν ἐλθὼν τύχοι τούτου.

ς'. Καὶ ὁ μὲν Ἱππίας ἀκούσας ταῦτα, ὥσπερ ἐπισκώπτων αὐτὸν, Ἔτι γὰρ σὺ, ἔφη, ὦ Σώκρατες, ἐκεῖνα τὰ αὐτὰ λέγεις, ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα; καὶ ὁ Σωκράτης, ὃ δέ γε τούτου δεινότερον, ἔφη, ὦ Ἱππία, οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν· σὺ δ' ἴσως, διὰ τὸ πολυμαθὴς εἶναι, περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις. ἀμέλει (ἔφη) πειρῶμαι καινόν τι λέγειν ἀεί.

ζ'. Πότερον (ἔφη) καὶ περὶ ὧν ἐπίστασαι, οἷον περὶ γραμμάτων, ἐάν τις ἔρηταί σε, πόσα καὶ ποῖα [Σωκράτους] ἐστὶν, ἄλλα μὲν πρότερον, ἄλλα δὲ νῦν πειρᾷ λέγειν; ἢ περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν, εἰ τὰ δὶς πέντε δέκα ἐστὶν, οὐ τὰ αὐτὰ νῦν, ἃ καὶ πρότερον, ἀποκρίνῃ; περὶ μὲν τούτων, (ἔφη) ὦ Σώκρατες, ὥσπερ σὺ, καὶ ἐγὼ ἀεὶ τὰ αὐτὰ λέγω. περὶ μέντοι τοῦ δικαίου πάνυ οἶμαι νῦν ἔχειν εἰπεῖν, πρὸς ἃ οὔτε σὺ, οὔτ' ἂν ἄλλος οὐδεὶς δύναιτ' ἂν εἰπεῖν.

η'. Νὴ

cere volent) at si quis vel ipse justitiam discere cupiat, vel filium domesticumque doceri, non esse, quo accedere possit, ut hoc consequatur.

6. Quæ quum audisset Hippias, tanquam irridens Socratem, ait: Num adhuc tu, mi Socrates, illa ipsa dicis, quæ ego de te jam olim audivi? Et Socrates, Immo quod hoc etiam gravius est, inquit, mi Hippia, non modo semper eadem dico, sed etiam de iisdem. Tu vero fortasse, quod sis admodum doctus, de iisdem nunquam dicis. Certe (inquit) semper aliquid novi proferre conor.

7. Num & de iis (ait Socrates) quæ scis, verbi gratia, de litteris, si quis te roget, quot & quales sint litteræ [Socratis,] alia prius, alia nunc dicere conaris? vel de numeris, siqui rogent, an bis quinque sint decem, non eadem nunc, quæ & prius, respondes? De his (ait) mi Socrates, perinde ac tu, semper eadem dico. Cæterum de eo quod justum est, nunc me dicere posse omnino arbitror, ad quæ neque tu neque quisquam alius respondere queat.

 8. Magnum

η'. Νὴ τὴν Ἥραν (ἔφη) μέγα λέγεις ἀγαθὸν εὑρηκέναι, εἰ παύσονται μὲν οἱ δικασταὶ δίχα ψηφιζόμενοι, παύσονται δὲ οἱ πολῖται περὶ τῶν δικαίων ἀντιλέγοντές τε καὶ ἀντιδικοῦντες καὶ στασιάζοντες, παύσονται δὲ αἱ πόλεις διαφερόμεναι περὶ τῶν δικαίων, καὶ πολεμοῦσαι. καὶ ἐγὼ μὲν οὐκ οἶδ' ὅπως ἂν ἀπολειφθείην σου πρὸ τοῦ ἀκοῦσαι τηλικοῦτον ἀγαθὸν εὑρηκότος.

θ'. Ἀλλὰ μὰ Δί' (ἔφη) οὐκ ἀκούσῃ, πρίν γ' ἂν αὐτὸς ἀποφήνῃ ὅ,τι νομίζεις τὸ δίκαιον εἶναι. ἀρκεῖ γὰρ, ὅτι τῶν ἄλλων καταγελᾷς, ἐρωτῶν μὲν καὶ ἐλέγχων πάντας, αὐτὸς δὲ οὐδενὶ θέλων ὑπέχειν λόγον, οὐδὲ γνώμην ἀποφαίνεσθαι περὶ οὐδενός.

ι'. Τί δὲ, ὦ Ἱππία, (ἔφη) οὐκ ᾔσθησαι ὅτι ἐγὼ ἃ δοκεῖ μοι δίκαια εἶναι, οὐδὲν παύομαι ἀποδεικνύμενος; καὶ ποῖος δή σοι (ἔφη) οὗτος ὁ λόγος ἐστίν; εἰ δὲ μὴ λόγῳ, (ἔφη) ἀλλ' ἔργῳ ἀποδείκνυμαι· ἢ οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότερον τοῦ λόγου τὸ ἔργον εἶναι; πολύ γε νὴ Δί'· (ἔφη) δίκαια μὲν γὰρ λέγοντες πολλοὶ, ἄδικα ποιοῦσι· δίκαια δὲ πράττων οὐδεὶς ἄδικος ἂν εἴη.

ια'. Ἠισθη-

8. Magnum profecto (ait) bonum reperisse te refers, si quidem Judices diversa statuere definent, & cives de iis quæ justa sint disceptare, experiri jure, dissidere; denique civitates ipsæ discordes esse de iis quæ æqua sint, bellaque gerere desinent. Atque equidem quo pacto discedere abs te possim prius, quam te, qui tantum bonum inveneris, audierim, non video.

9. At tu profecto (inquit) non audies priusquam ipse pronunciaris, quid esse justum statuas. Nam sufficit tibi alios irridere, interroganti & convincenti omnes; quum ipse nemini rationem reddere velis, neque sententiam tuam ulla de re proferre.

10. Quid vero, mi Hippia, (inquit) an nescis me illa quæ justa putem, nunquam non indicare? Et cujusmodi ea (inquit) oratio tua est? At si non oratione (ait) saltem reipsa demonstro. Non tibi res ipsa videtur majori esse argumento, quam sit oratio? Multo magis profecto: (ait) nam plerique, quum justa dicant, injusta patrant; at qui justa facit, injustus esse nequit.

11. Sen-

ια'. Ἤισθησαι οὖν πώποτέ μου ἢ ψευδομαρτυροῦντος, ἢ συκοφαντοῦντος, ἢ φίλους ἢ πόλιν εἰς στάσιν ἐμβάλλοντος, ἢ ἄλλό τι ἄδικον πράττοντος; Οὐκ ἔγωγ', ἔφη. τὸ δὲ τῶν ἀδίκων ἀπέχεσθαι, οὐ δίκαιον ἡγῇ; Δῆλος εἶ, (ἔφη) ὦ Σώκρατες, καὶ νῦν διαφεύγειν ἐγχειρῶν, τὸ ἀποδείκνυσθαι γνώμην ὅ,τι νομίζεις τὸ δίκαιον. οὐ γὰρ ἃ πράττουσιν οἱ δίκαιοι, ἀλλ' ἃ μὴ πράττουσιν, ταῦτα λέγεις.

ιβ'. Ἀλλ' ᾤμην ἔγωγ' (ἔφη ὁ Σωκράτης) τὸ μὴ θέλειν ἀδικεῖν, ἱκανὸν δικαιοσύνης ἐπίδειγμα εἶναι. εἰ δέ σοι μὴ δοκεῖ, σκέψαι ἐὰν τόδε σοι μᾶλλον ἀρέσκῃ. φημὶ γὰρ ἐγὼ τὸ νόμιμον δίκαιον εἶναι. ἆρα τὸ αὐτὸ λέγεις, ὦ Σώκρατες, νόμιμόν τε καὶ δίκαιον εἶναι; ἔγωγ', ἔφη.

ιγ'. Οὐ γὰρ αἰσθάνομαί σου, ὁποῖον νόμιμον, ἢ ποῖον δίκαιον λέγεις. νόμους δὲ πόλεως (ἔφη) γιγνώσκεις; ἔγωγ', ἔφη. καὶ τίνας τούτους νομίζεις; ἃ οἱ πολῖται (ἔφη) συνθέμενοι ἅ τε δεῖ ποιεῖν καὶ ὧν ἀπέχεσθαι, ἐγράψαντο.

οὐκοῦν

11. Senſiſtine vero unquam me, vel falſum teſtimonium perhibuiſſe, vel calumniatum quemquam, vel amicos aut rempublicàm in diſſenſiones impuliſſe, vel aliud quidpiam injuſti deſignaſſe? Minime equidem, ait. Ab injuſtis autem abſtinere, non juſtum eſſe arbitraris? Palam, (ait) mi Socrates, etiam nunc conaris effugere, quominus ſententiam tuam proferas, quid juſtum eſſe putas. Non enim ea dicis, quæ juſti faciunt, ſed ea quæ non faciunt.

12. Ego vero (ait Socrates) ſatis idoneum eſſe juſtitiæ ſpecimen arbitrabar, nolle quid injuſte deſignare. Quod ſi hoc tibi non videtur, conſidera, num magis hoc tibi placeat. Nam equidem aio, quod legitimum eſt, id eſſe juſtum. Dicis, mi Socrates, idem eſſe legitimum & juſtum? Equidem, ait.

13. Non ſentio, quid legitimum, quid juſtum dicas. Leges civitatis (inquit) an noſti? Equidem, ait. Et quas putas illas eſſe? Quæ cives (inquit) conſcripſerunt, ſtatuentes quæ facere & à quibus abſtinere oporteat.

Ergo

οὐκοῦν (ἔφη) νόμιμος μὲν ἂν εἴη ὁ κατὰ ταῦτα πολιτευόμενος, ἄνομος δὲ ὁ ταῦτα παραβαίνων; πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν καὶ δίκαια μὲν πράττει ὁ τούτοις πειθόμενος, ἄδικα δὲ ὁ τούτοις ἀπειθῶν; πάνυ μὲν οὖν. οὐκοῦν ὁ μὲν τὰ δίκαια πράττων, δίκαιος· ὁ δὲ τὰ ἄδικα, ἄδικος; πῶς γὰρ οὔ; ὁ μὲν ἄρα νόμιμος, δίκαιός ἐστιν· ὁ δὲ ἄνομος, ἄδικος.

ιδ΄. Καὶ ὁ Ἱππίας, νόμους δ΄, ἔφη, ὦ Σώκρατες, πῶς ἄν τις ἡγήσαιτο σπουδαῖον πρᾶγμα εἶναι, ἢ τὸ πείθεσθαι αὐτοῖς, οὕς γε πολλάκις * αὐτοὺς οἱ θέμενοι ἀποδοκιμάσαντες μετατίθενται; καὶ γὰρ πόλεμον (ἔφη ὁ Σωκράτης) πολλάκις ἀράμεναι αἱ πόλεις, πάλιν εἰρήνην ποιοῦνται. καὶ μάλα, ἔφη. διάφορον οὖν τι οἴει ποιεῖν (ἔφη) τοὺς τοῖς νόμοις πειθομένους φαυλίζων, ὅτι καταλύοιεν ἂν οἱ νόμοι, ἢ εἰ τοὺς πολεμίους εὐτακτοῦντας ψέγοις, ὅτι γένοιτ᾽ ἂν εἰρήνη; ἢ καὶ τοὺς ἐν τοῖς πολέμοις ταῖς πατρίσιν προθύμως βοηθοῦντας μέμφῃ; μὰ Δί᾽ οὐκ ἔγωγ᾽, ἔφη.

ιε΄. Λυκοῦρ-

Ergo legibus conformis erit, (ait) qui secundum hæc in republica sese gerit; difformis vero legibus, qui ea transgreditur? Omnino, inquit. Igitur etiam ille qui his obtemperat, justa facit: injusta vero, qui non obtemperat? Omnino. Ergo qui justa facit, justus: qui injusta, injustus est? Qui non? Itaque legibus conformis, justus est: difformis vero legibus, injustus.

14. Tum Hippias, Quo pacto aliquis, mi Socrates, ait, vel leges, vel ipsarum observantiam, rem magni faciendam putare possit, quum eas ipsas autores sæpe improbatas mutent? Non enim bellum (inquit Socrates) sæpe civitates suscipiunt, ac rursus pacem faciunt? Omnino, ait. Ergone quid aliud facere te putas (inquit) quum legibus obtemperantes vituperas, propterea quod antiquari possint; quam si hostes recte ac decore se gerentes reprehendas, propterea quod pax fieri possit? Num & illos, qui alacriter in bellis succurrunt patriæ, vituperas? Minime equidem, ait.

15. An

ιε'. Λυκοῦργον δὲ τὸν Λακεδαιμόνιον (ἔφη ὁ Σωκράτης) καταμεμάθηκας, ὅτι οὐδὲν ἂν διάφορον τῶν ἄλλων πόλεων τὴν Σπάρτην ἐποίησεν, εἰ μὴ τὸ πείθεσθαι τοῖς νόμοις μάλιστα ἐνειργάσατο αὐτῇ; τῶν δὲ ἀρχόντων ἐν ταῖς πόλεσιν οὐκ οἶσθα, ὅτι οἵτινες ἂν τοῖς πολίταις αἰτιώτατοί εἰσι τοῦ τοῖς νόμοις πείθεσθαι, οὗτοι ἄριστοί εἰσι; καὶ πόλις, ἐν ᾗ μάλιστα οἱ πολῖται τοῖς νόμοις πείθονται, ἐν εἰρήνῃ τε ἄριστα διάγει, καὶ ἐν πολέμῳ ἀνυπόστατός ἐστιν.

ις'. Ἀλλὰ μὴν καὶ ὁμόνοιά γε μέγιστόν τε ἀγαθὸν δοκεῖ ταῖς πόλεσιν εἶναι, καὶ πλειστάκις ἐν αὐταῖς αἵ τε γερουσίαι, καὶ οἱ ἄριστοι ἄνδρες παρακελεύονται τοῖς πολίταις ὁμονοεῖν· καὶ πανταχοῦ ἐν τῇ Ἑλλάδι νόμος κεῖται, τοὺς πολίτας ὀμνύναι ὁμονοήσειν, καὶ πανταχοῦ ὀμνύουσι τὸν ὅρκον τοῦτον. οἶμαι δ' ἐγὼ ταῦτα γίγνεσθαι, οὐχ ὅπως τοὺς αὐτοὺς χοροὺς κρίνωσιν οἱ πολῖται, οὐδὲ ὅπως τοὺς αὐτοὺς αὐλητὰς ἐπαινῶσιν, οὐδὲ ὅπως τοὺς αὐτοὺς ποιητὰς αἱρῶνται, οὐδὲ ἵνα τοῖς αὐτοῖς ἥδωνται, ἀλλ' ἵνα τοῖς νόμοις πείθωνται. τούτοις γὰρ τῶν πολιτῶν ἐμμενόντων, αἱ πόλεις

ἰσχυρόταται

15. An Lycurgum Lacedæmonium (ait Socrates) animadvertiſti, alia re nulla Spartam à cæteris civitatibus diverſam reddidiſſe, quam quod in ea maxime perfecerit, ut legibus cives pareant? An item neſcis magiſtratus in rebuſpublicis optimos eſſe, qui maxime ſunt autores civibus, ut legibus obtemperent? Etiam civitas, in qua maxime legibus parent cives, tum pace optime degit, tum bello inexpugnabilis eſt.

16. Quinetiam concordia maximum rebuſpublicis bonum eſſe videtur; & utplurimum in eis Senatus, ac optimi quique, cives, uti concordes ſint, hortantur: & ubique in Græcia lex poſita eſt, ut jurent cives ſe concordes fore; quod etiam ſacramentum ubique præſtatur. Exiſtimo autem ſic illud fieri, non ut de iiſdem choris cives judicent, non ut tibicines eoſdem laudent, non ut eoſdem poëtas deligant, non ut eiſdem delectentur; ſed ut legibus pareant. Nam ſi cives in his perſiſtant, urbes potentiſſimæ

ἰσχυρόταταί τε καὶ εὐδαιμονέσταται γίγνονται· ἄνευ δὲ ὁμονοίας οὔτ' ἂν πόλις εὖ πολιτευθείη, οὔτε οἶκος καλῶς οἰκηθείη.

ιζ'. Ἰδίᾳ δὲ πῶς μὲν ἄν τις ἧττον ὑπὸ πόλεως ζημιοῖτο, πῶς δ' ἂν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς νόμοις πείθοιτο; πῶς δ' ἂν ἧττον ἐν τοῖς δικαστηρίοις ἡττῷτο; ἢ πῶς ἂν μᾶλλον νικῴη; τίνι δ' ἄν τις μᾶλλον πιστεύσειε παρακαταθέσθαι ἢ χρήματα, ἢ υἱοὺς, ἢ θυγατέρας; τίνα δ' ἂν ἡ πόλις ὅλη ἀξιοπιστότερον ἡγήσαιτο τοῦ νομίμου; παρὰ τίνων δ' ἂν μᾶλλον τῶν δικαίων τύχοιεν ἢ γονεῖς ἢ οἰκεῖοι, ἢ οἰκέται, ἢ φίλοι, ἢ πολῖται, ἢ ξένοι; τίνι δ' ἂν μᾶλλον πολέμιοι πιστεύσειαν ἢ ἀνοχὰς, ἢ σπονδὰς, ἢ συνθήκας περὶ εἰρήνης; τίνι δ' ἂν μᾶλλον, ἢ τῷ νομίμῳ, σύμμαχοι ἐθέλοιεν γίγνεσθαι; τῷ δ' ἂν μᾶλλον οἱ σύμμαχοι πιστεύσειαν ἢ ἡγεμονίαν, ἢ φρουραρχίαν, ἢ πόλεις; τίνα δ' ἄν τις εὐεργετήσας ὑπολάβοι χάριν κομιεῖσθαι μᾶλλον, ἢ τὸν νόμιμον; ἢ τίνα μᾶλλον ἄν τις

tiſſimæ beatiſſimæque fiunt. At ſine concordia nec civitas recte gubernari poterit, nec domus recte adminiſtrari.

17. Privatim vero qui poſſit aliquis vel minus à republica multari, vel magis honorari, quam ſi legibus obtemperet? quo pacto minus pro tribunalibus vinci poſſit? quo pacto magis vincere? cui quis potius fidem habeat, ut apud eum vel pecunias, vel filios, vel filias deponat? quemnam civitas univerſa fide digniorem putare poſſit, quam legibus conformem. A quibus vel parentes, vel propinqui, vel domeſtici, vel amici, vel cives, vel hoſpites magis id impetrare poſſint, quod æquum eſt? Cui potius hoſtes vel inducias, vel fœdera, vel conventa de pace credant? cum quo potius ſocietatem coeant, quam cum legum ſtudioſo? Cui potius ſocii vel ducis munus, vel præſidiorum magiſterium, vel civitates credant? Cui potius aliquis benefaciendo gratiam ſe reportaturum exiſtimet, quam legum ſtudioſo? Aut, cui potius bene faciat

τις εὐεργετήσειεν, ἢ παρ' οὗ χάριν ἀπολήψεσθαι νομίζει; τῷ δ' ἂν τις βούλοιτο μᾶλλον φίλος εἶναι, ἢ τῷ τοιούτῳ; τῷ δ' ἂν τις ἧττον πολεμήσειεν, ἢ ᾧ ἂν μάλιστα μὲν φίλος εἶναι βούλοιτο, ἥκιστα δ' ἐχθρός· καὶ ᾧ πλεῖστοι μὲν φίλοι καὶ σύμμαχοι βούλοιντο εἶναι, ἐλάχιστοι δ' ἐχθροὶ καὶ πολέμιοι;

ιη'. Ἐγὼ μὲν οὖν, ὦ Ἱππία, τὸ αὐτὸ ἐπιδείκνυμι νόμιμόν τε καὶ δίκαιον εἶναι. σὺ δ' εἰ τἀναντία γιγνώσκεις, δίδασκε. καὶ ὁ Ἱππίας, ἀλλὰ μὰ τὸν Δία, ἔφη, ὦ Σώκρατες, οὔ μοι δοκῶ τἀναντία γιγνώσκειν οἷς εἴρηκας περὶ τοῦ δικαίου.

ιθ'. Ἀγράφους δέ τινας οἶσθα, (ἔφη) ὦ Ἱππία, νόμους; τούς γ' ἐν πάσῃ (ἔφη) χώρᾳ κατὰ ταὐτὰ νομιζομένους. ἔχοις ἂν οὖν εἰπεῖν (ἔφη) ὅτι οἱ ἄνθρωποι αὐτοὺς ἔθεντο; καὶ πῶς ἄν, (ἔφη) οἵγε οὔτε συνελθεῖν ἅπαντες ἂν δυνηθεῖεν, οὔτε ὁμόφωνοί εἰσι; τίνας οὖν (ἔφη) νομίζεις τεθεικέναι τοὺς νόμους τούτους; ἐγὼ μὲν (ἔφη) θεοὺς οἶμαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι.

faciat aliquis, quam à quo ſe gratiam recepturum arbitretur? Cui quis vel magis amicus eſſe velit, vel minus hoſtis, quam tali? Cui quis velit minus bellum facere, quam cui eſſe cupiat amiciſſimus, ac minime hoſtis; & cui plurimi eſſe velint amici & ſocii; inimici vero ac hoſtes, pauciſſimi?

18. Itaque ego, mi Hippia, demonſtro idem eſſe quod legitimum ſit & quod juſtum. Tu ſi contrarium ſentias, velim me doceas. Ego vero (inquit Hippias) non profecto videor iis contraria ſentire de juſto, quæ tu, mi Socrates, protuliſti.

19. An vero quaſdam, mi Hippia, (inquit) non ſcriptas leges eſſe noſti? Eas (ait) quæ ubivis locorum eodem modo obſervantur. Haſne dicere potes (ait) ab hominibus eſſe conditas? Quo pacto, (inquit) quum univerſi convenire non poſſint, nec unius ſint linguæ? Quoſnam igitur (ait) leges has condidiſſe arbitraris? Equidem (ait) has leges hominibus à Diis ferri exiſtimo.

θεῖναι. καὶ γὰρ παρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται, τοὺς θεοὺς σέβειν.

κ'. Οὐκοῦν καὶ γονέας τιμᾷν πανταχοῦ νομίζεται; καὶ τοῦτο, ἔφη. οὐκοῦν καὶ μήτε γονέας παισὶ μίγνυσθαι, μήτε παῖδας γονεῦσιν; οὐκέτι μοι δοκεῖ, (ἔφη) ὦ Σώκρατες, οὗτος θεοῦ νόμος εἶναι. τί δή; ἔφη. ὅτι αἰσθάνομαί τινας (ἔφη) παραβαίνοντας αὐτόν.

κα'. Καὶ γὰρ ἄλλα πολλὰ παρανομοῦσιν· ἀλλ' οὖν δίκην γέ τοι διδόασιν οἱ παραβαίνοντες τοὺς ὑπὸ τῶν θεῶν κειμένους νόμους, ἣν οὐδενὶ τρόπῳ δυνατὸν ἀνθρώπῳ διαφυγεῖν· ὥσπερ τοὺς ὑπ' ἀνθρώπων κειμένους νόμους ἔνιοι παραβαίνοντες διαφεύγουσι τὸ δίκην διδόναι, οἱ μὲν λανθάνοντες, οἱ δὲ βιαζόμενοι.

κβ'. Καὶ ποίαν (ἔφη) δίκην, ὦ Σώκρατες, οὐ δύνανται διαφεύγειν γονεῖς τε παισὶ, καὶ παῖδες γονεῦσι μιγνύμενοι; τὴν μεγίστην, νὴ Δί· (ἔφη) τί γὰρ ἂν μεῖζον πάθοιεν ἄνθρωποι τεκνοποιούμενοι τοῦ κακῶς τεκνοποιεῖσθαι.

κγ'. Πῶς

ſtimo. Nam apud homines univerſos hoc primum lege receptum eſt, Deos eſſe colendos.

20. Annon & parentes ubiq; locorum receptum eſt honore proſequendos eſſe? Etiam hoc, ait. Non & illud, quod neque parentes cum liberis, neq; liberi cum parentibus conſueſcere debeant? Illa mihi lex, (ait) mi Socrates, non jam amplius eſſe Dei videtur. Quamobrem? inquit. Quod animadvertam (inquit) nonnullos hanc non obſervare.

21. At enim (ait) etiam alia multa contra leges committunt. Verum qui leges divinitus conditas violant, pœnas dant, quas homo nulla ratione poteſt effugere; quemadmodum nonnulli leges latas ab hominibus tranſgredientes, quominus pœnas dent, vel latendo, vel vim adhibendo effugiunt.

22. Et quam (inquit) pœnam effugere, mi Socrates, non poſſunt tum parentes ſi cum liberis, tum liberi ſi cum parentibus miſceantur? Maximam profecto, ait: nam quid hominibus liberos procreantibus accidere majus poſſit, quam ſi male procreent?

23. Quo

κγ'. Πῶς οὖν (ἔφη) κακῶς οὗτοι τεκνοποιοῦνται, οὕς γε οὐδὲν κωλύει ἀγαθοὺς αὐτοὺς ὄντας ἐξ ἀγαθῶν παιδοποιεῖσθαι; ὅτι νὴ Δί' (ἔφη) οὐ μόνον ἀγαθοὺς δεῖ τοὺς ἐξ ἀλλήλων παιδοποιουμένους εἶναι, ἀλλὰ καὶ ἀκμάζοντας τοῖς σώμασιν. ἢ δοκεῖ σοι ὅμοια τὰ σπέρματα εἶναι τὰ τῶν ἀκμαζόντων τοῖς τῶν μήπω ἀκμαζόντων, ἢ τῶν παρηκμακότων; ἀλλὰ μὰ Δί' (ἔφη) οὐκ εἰκὸς ὅμοια εἶναι. πότερα οὖν (ἔφη) βελτίω; δῆλον, ὅτι (ἔφη) τὰ τῶν ἀκμαζόντων. τὰ τῶν μὴ ἀκμαζόντων ἄρα οὐ σπουδαῖα; οὐκ εἰκὸς μὰ Δί', ἔφη. οὐκοῦν οὕτω γε οὐ δεῖ παιδοποιεῖσθαι. οὐ γὰρ οὖν, ἔφη. οὐκοῦν οἵγε παιδοποιούμενοι, ὡς οὐ δεῖ παιδοποιοῦνται. ἔμοιγε δοκεῖ, ἔφη. τίνες οὖν ἄλλοι (ἔφη) κακῶς ἂν παιδοποιοῖντο, εἴγε μὴ οὗτοι; ὁμογνωμονῶ σοι (ἔφη) καὶ τοῦτο.

κδ'. Τί δαί; τοὺς εὖ ποιοῦντας ἀντευεργετεῖν οὐ πανταχοῦ νόμιμόν ἐστι; νόμιμον, ἔφη. παραβαίνεται δὲ καὶ τοῦτο.

23. Quo vero pacto (inquit) male procreant hi, quos nihil vetat, bonos ipsos ex bonis liberos suscipere? Quia non tantum (ait) bonos esse necesse est, qui ex se invicem procreant; sed etiam corporibus vegetis. Num tibi videntur semina illorum qui ætate sunt vegeta, seminibus eorum esse similia, qui ad ætatem vegetam necdum accesserunt, vel jam prætergressi sunt eam? Nequaquam (ait) esse similia videntur. Utra igitur sunt meliora? Patet (inquit) illorum meliora esse, qui sint ætate vegeta. Ergo illorum qui hac ætate non sunt, semina minime probantur? Non consentaneum est, inquit. Ergo sic procreandum non est. Nequaquam, ait. Ergo hi dum liberos procreant, ita procreant, ut minime decet. Mihi quidem videtur, inquit. Quinam igitur alii male procreabunt, si non hi? Sentio (inquit) tecum hac etiam in parte.

24. Quid autem? bene facientibus vicissim benefacere, annon ubique legibus sancitum est? Est, inquit. Et committitur etiam adversus

το. οὐκοῦν καὶ οἱ τοῦτο παραβαίνοντες δίκην διδόασι, φίλων μὲν ἀγαθῶν ἔρημοι γιγνόμενοι, τοὺς δὲ μισοῦντας ἑαυτοὺς ἀναγκαζόμενοι διώκειν. ἢ οὐχ οἱ μὲν εὖ ποιοῦντες τοὺς χρωμένους ἑαυτοῖς, ἀγαθοὶ φίλοι εἰσίν· οἱ δὲ μὴ ἀντευεργετοῦντες τοὺς τοιούτους, διὰ μὲν τὴν ἀχαριστίαν μισοῦνται ὑπ' αὐτῶν, διὰ δὲ τὸ μάλιστα λυσιτελεῖν τοῖς τοιούτοις χρῆσθαι, τούτους μάλιστα διώκουσι; νὴ τὸν Δία, ὦ Σώκρατες, (ἔφη) * θεοῖς ταῦτα πάντα ἔοικε· τὸ γὰρ τοὺς νόμους αὐτοὺς τοῖς παραβαίνουσι τὰς τιμωρίας ἔχειν, βελτίονος ἢ κατ' ἄνθρωπον νομοθέτου δοκεῖ μοι εἶναι.

κε'. Πότερον οὖν, ὦ Ἱππία, τοὺς Θεοὺς ἡγῇ τὰ δίκαια νομοθετεῖν, ἢ ἄλλα τῶν δικαίων; Οὐκ ἄλλα μὰ Δί' (ἔφη) σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν, εἰ μὴ Θεός. καὶ τοῖς Θεοῖς ἄρα, ὦ Ἱππία, τὸ αὐτὸ δίκαιόν τε καὶ νόμιμον εἶναι ἀρέσκει. Τοιαῦτα λέγων τε καὶ πράττων δικαιοτέρους ἐποίει τοὺς πλησιάζοντας.

ΚΕΦ.

versus hoc. Quo fit ut & illi qui in hoc delinquunt, pœnas dent, ab amicis bonis deserti, & coacti eos quærere, quibus odio sunt. An non qui benefaciunt illis qui ipsorum opera utuntur, amici boni sunt: at qui vicissim illis bene non faciunt, licet ob ingratitudinem suam eis odio sint, tamen, quod horum opera inprimis sibi utilis sit, eosdem studiose quæritant. Profecto, (inquit) mi Socrates, hæc omnia divina esse videntur. Nam leges ipsas delinquentum pœnas continere, id mihi cujusdam esse præstantioris legislatoris videtur, quam humani.

25. Num igitur existimas, mi Hippia, Deos justa præscribere legibus, an vero à justis aliena? Minime aliena: (inquit) nec enim facile quis alius extra Deum justa sancire potest. Ergo etiam Diis, mi Hippia, placet idem & justum esse & legitimum. Hujusmodi quædam quum & diceret & faceret, reddebat illos qui conveniebant ipsum, justiores.

CAP.

ΚΕΦ. έ.

Ως δὲ καὶ πρακτικωτέρους ἐποίει τοὺς συνόντας ἑαυτῷ, νῦν αὖ τοῦτο λέξω. νομίζων γὰρ ἐγκράτειαν ἀγαθὸν εἶναι τῷ μέλλοντι καλόν τι πράξειν, πρῶτον μὲν αὐτὸς φανερὸς ἦν τοῖς συνοῦσιν ἠσκηκὼς αὐτὸν μάλιστα πάντων ἀνθρώπων· ἔπειτα διαλεγόμενος προετρέπετο πάντων μάλιστα τοὺς συνόντας πρὸς ἐγκράτειαν. ἀεὶ μὲν οὖν περὶ τῶν πρὸς ἀρετὴν χρησίμων αὐτός τε διετέλει μεμνημένος, καὶ τοὺς συνόντας πάντας ὑπομιμνήσκων.

β'. Οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς Εὐθύδημον περὶ ἐγκρατείας τοιάδε διαλεχθέντα· Εἰπέ μοι (ἔφη) ὦ Εὐθύδημε, ἆρα καλὸν καὶ μεγαλεῖον νομίζεις εἶναι καὶ ἀνδρὶ καὶ πόλει κτῆμα ἐλευθερίαν; ὡς οἷόν τέ γε μάλιστα, ἔφη.

γ'. Ὅστις οὖν ἄρχεται ὑπὸ τῶν διὰ τοῦ σώματος ἡδονῶν, καὶ διὰ ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα, νομίζεις τοῦτον

CAP. V.

CÆterum quo pacto familiares suos magis ad agendum idoneos efficiebat, nunc dicam. Nam quum existimaret, temperantiam esse bonum ei qui præclarum aliquid gesturus esset: primum ipse familiaribus suis hominum omnium maxime in hoc exercitatus apparebat: deinde differendo omnium maxime familiares suos ad temperantiam impellebat. Itaque semper & ipse meminerat illorum, quæ ad virtutem conducerent, & familiares suos omnes commonefaciebat.

2. Scio ipsum aliquando ad Euthydemum de temperantia hujusmodi quædam disseruisse: Dic mihi, Euthydeme, (ait) num pulcram & amplam tum viro tum reipublicæ possessionem esse putas libertatem? Maximam, inquit.

3. Qui ergo à voluptatibus, quæ corpore percipiuntur, vincitur; ac per eas, quæ optima sunt, facere nequit; eumne tu hominem esse

τοῦτον ἐλεύθερον εἶναι; ἥκιστα, ἔφη. ἴσως γὰρ ἐλεύθερον φαίνεταί σοι τὸ πράττειν τὰ βέλτιστα· εἶτα τὸ ἔχειν τοὺς κωλύσοντας τὰ τοιαῦτα ποιεῖν, ἀνελεύθερον νομίζεις; παντάπασί γε, ἔφη.

δ'. Παντάπασιν ἄρα σοι δοκοῦσιν οἱ ἀκρατεῖς ἀνελεύθεροι εἶναι; νὴ τὸν Δία (ἔφη) εἰκότως. πότερον δέ σοι δοκοῦσιν οἱ ἀκρατεῖς κωλύεσθαι μόνον τὰ κάλλιστα πράττειν, ἢ καὶ ἀναγκάζεσθαι τὰ αἴσχιστα ποιεῖν; οὐδὲν ἧττον ἔμοιγ' (ἔφη) δοκοῦσι ταῦτα ἀναγκάζεσθαι, ἢ ἐκεῖνα κωλύεσθαι.

ε'. Ποίους δέ τινας δεσπότας ἡγῇ τοὺς τὰ μὲν ἄριστα κωλύοντας, τὰ δὲ κάκιστα ἀναγκάζοντας; ὡς δυνατὸν νὴ Δί' (ἔφη) κακίστους. δουλείαν δὲ ποίαν κακίστην νομίζεις εἶναι; ἐγὼ μὲν (ἔφη) τὴν παρὰ τοῖς κακίστοις δεσπόταις. τὴν κακίστην ἄρα δουλείαν οἱ ἀκρατεῖς δουλεύουσιν; ἔμοιγε δοκεῖ, ἔφη.

ϛ'. Σοφίαν δὲ (τὸ μέγιστον ἀγαθὸν) οὐ δοκεῖ σοι ἀπείργουσα τῶν ἀνθρώπων ἡ ἀκρασία, εἰς τοὐναντίον αὐτοὺς ἐμβάλλειν;

ἢ

esse liberum putas? Minime, ait. Fortassis enim hoc tibi videtur esse liberale, facere nimirum optima. Ergo quosdam habere qui vetent, quominus agas talia, putas esse illiberale. Omnino, ait.

4. Igitur intemperantes tibi omnino esse videntur illiberales? Profecto (inquit) & merito. Utrum vero tibi videntur intemperantes tantum impediri, quo minus pulcerrima perficiant, an etiam cogi ad designandum turpissima? Nihilo mihi minus (inquit) ad hæc cogi videntur, quam in illis impediri.

5. At quosnam illos esse putas dominos, qui optima quidem impediunt, ad pessima vero cogunt? Longe pessimos, ait. Et quam esse pessimam servitutem arbitraris? Eam (ait) quæ apud pessimos dominos serviatur. Ergone intemperantes servitutem pessimam serviunt? Ita mihi videtur, inquit.

6. An non sapientiam (bonum longe maximum) ab hominibus arcere videtur tibi intemperantia, & in contrarium eos conjicere?

Non

ἢ οὐ δοκεῖ σοι προσέχειν τε τοῖς ὠφελοῦσι καὶ καταμανθάνειν αὐτὰ κωλύειν, ἀφελκοῦσα ἐπὶ τὰ ἡδέα; καὶ πολλάκις αἰσθανομένους τῶν ἀγαθῶν τε καὶ τῶν κακῶν ἐκπλήξασα, ποιεῖν τὸ χεῖρον ἀντὶ τοῦ βελτίονος αἱρεῖσθαι; γίγνεται τοῦτ᾽, ἔφη.

ζ΄. Σωφροσύνης δέ, ὦ Εὐθύδημε, τίνι ἂν φαίημεν ἧττον ἢ τῷ ἀκρατεῖ προσήκειν; αὐτὰ γὰρ δήπου τὰ ἐναντία, σωφροσύνης καὶ ἀκρασίας ἔργα ἐστίν. ὁμολογῶ καὶ τοῦτ᾽, ἔφη. τοῦ δ᾽ ἐπιμελεῖσθαι ὧν προσήκει, οἴει τι κωλυτικώτερον ἀκρασίας εἶναι; οὔκουν ἔγωγ᾽, ἔφη. τοῦ δ᾽ ἀντὶ τῶν ὠφελούντων τὰ βλάπτοντα προαιρεῖσθαι ποιοῦντος, καὶ τούτων μὲν ἐπιμελεῖσθαι, ἐκείνων δὲ ἀμελεῖν πείθοντος, καὶ τοῖς σωφρονοῦσι τὰ ἐναντία ποιεῖν ἀναγκάζοντος, οἴει τι ἀνθρώπῳ κάκιον εἶναι; οὐδέν, ἔφη.

η΄. Οὐκοῦν τὴν ἐγκράτειαν τῶν ἐναντίων ἢ τὴν ἀκρασίαν εἰκὸς τοῖς ἀνθρώποις αἰτίαν εἶναι; πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν καὶ τὸ τῶν ἐναντίων τὸ αἴτιον εἰκὸς ἄριστον εἶναι; εἰκὸς γάρ, ἔφη.

ἔοικεν

Non videtur tibi prohibere, quo minus aliquis rebus ex uſu futuris attendat, eaſque diſcat; dum pertrahit nos ad res voluptuarias, ac ſæpe bona malaque ſentientes percellens facit, ut pejus melioris loco eligamus? Fit hoc, inquit.

7. Cæterum prudentiam, mi Euthydeme, cui minus convenire dicemus quam intemperanti? Nam prudentiæ ac intemperantiæ opera ſibimet adverſantur. Id etiam fateor, ait. Putaſne quid à ſtudiis eorum quæ conveniunt magis prohibere, quam intemperantiam? Minime, inquit. An quid homini putas eſſe nocentius, quam quod efficiat, ut noxia præferat utilibus; ac illis quidem operam impendere, hæc vero negligere ſuadeat; denique cogat illis nos contraria facere, quæ ſolent prudentes? Nihil, ait.

8. Ergo temperantiam conſentaneum eſt hominibus eſſe cauſam contrariorum, quam intemperantiam? Omnino, ait. Igitur etiam cauſam hanc contrariorum conſentaneum eſt optimam eſſe? Conſentaneum, inquit.

Ergo

ἔοικεν ἄρ', (ἔφη) ὦ Εὐθύδημε, ἄριστον ἀνθρώπῳ ἡ ἐγκράτεια εἶναι. εἰκότως γὰρ, (ἔφη) ὦ Σώκρατες.

θ'. Ἐκεῖνο δὲ, ὦ Εὐθύδημε, ἤδη πώποτε ἐνεθυμήθης; ποῖον; ἔφη. ὅτι καὶ ἐπὶ τὰ ἡδέα, ἐφ' ἅπερ μόνα δοκεῖ ἡ ἀκρασία τοὺς ἀνθρώπους ἄγειν, αὐτὴ μὲν οὐ δύναται ἄγειν· ἡ δ' ἐγκράτεια πάντων μάλιστα ἥδεσθαι ποιεῖ. πῶς; ἔφη. * ὥσπερ ἡ μὲν ἀκρασία οὐκ ἐῶσα καρτερεῖν οὔτε λιμὸν, οὔτε δίψαν, οὔτε ἀφροδισίων ἐπιθυμίαν, οὔτε ἀγρυπνίαν, (δι' ὧν μόνον ἐστὶν ἡδέως μὲν φαγεῖν τε καὶ πιεῖν, καὶ ἀφροδισιάσαι, ἡδέως δ' ἀναπαύσασθαί τε καὶ κοιμηθῆναι, καὶ περιμείναντας καὶ ἀνασχομένους, ἕως ἂν ταῦτα ὡς ἔνι ἥδιστα γένηται) κωλύει τοῖς ἀναγκαιοτάτοις τε καὶ συνεχεστάτοις ἀξιολόγως ἥδεσθαι· ἡ δ' ἐγκράτεια μόνη ποιοῦσα καρτερεῖν τὰ εἰρημένα, μόνη καὶ ἥδεσθαι ποιεῖ ἀξίως μνήμης ἐπὶ τοῖς εἰρημένοις. παντάπασιν (ἔφη) ἀληθῆ λέγεις.

ι'. Ἀλλὰ μὴν τοῦ μαθεῖν τι καλὸν καὶ ἀγαθὸν, καὶ

οὐ

Ergo videtur, mi Euthydeme, temperantia quiddam esse homini optimum. Et merito quidem, (ait) ô Socrates.

9. Illud autem, mi Euthydeme, considerastine unquam? Qualenam? inquit. Quod ad voluptates, ad quas quidem solas nos ducere videtur intemperantia, minime illa possit perducere: sed quod ipsa temperantia longe maxima voluptatis sit causa. Qui? ait. Quoniam intemperantia non ferens, ut tolerentur fames, sitis, rei venereæ cupiditas, vigiliæ, (per quæ tantum suaviter comedere, bibere, venerem exercere possumus; suaviter quiescere ac dormire, expectantes ac sustinentes, donec illa quam jucundissime fiant) quominus maxime necessariis & continuis voluptatibus egregie fruamur, impedit: temperantia vero, dum sola facit, ut quæ diximus, toleremus; etiam sola voluptatem memoratu dignam excitat in iis quæ recensuimus. Omnino vera dicis, ait.

10. Quinetiam à disciplina rerum honestarum & egregiarum, &

à

τοῦ ἐπιμεληθῆναι τῶν τοιούτων τινὸς, δι' ὧν ἄν τις καὶ τὸ ἑαυτοῦ σῶμα καλῶς διοικήσειε, καὶ τὸν ἑαυτοῦ οἶκον καλῶς οἰκονομήσειε, καὶ φίλοις καὶ πόλει ὠφέλιμος γένοιτο, καὶ ἐχθρῶν κρατήσειεν, ἀφ' ὧν οὐ μόνον ὠφέλειαι, ἀλλὰ καὶ ἡδοναὶ μέγισται γίγνονται. ὧν οἱ μὲν γὰρ ἐγκρατεῖς ἀπολαύουσι, πράττοντες αὐτὰ, οἱ δ' ἀκρατεῖς οὐδενὸς μετέχουσι. τῷ γὰρ ἂν ἧττον φήσαιμεν τῶν τοιούτων προσήκειν, ἢ ᾧ ἥκιστα ἔξεστι ταῦτα πράττειν, κατεχομένῳ ἐπὶ τῷ σπουδάζειν περὶ τὰς ἐγγυτάτω ἡδονάς;

ια'. Καὶ ὁ Εὐθύδημος, δοκεῖς μοι, ἔφη, ὦ Σώκρατες, λέγειν, ὡς ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν οὐδεμιᾶς ἀρετῆς προσήκει. τί γὰρ διαφέρει, (ἔφη) ὦ Εὐθύδημε, ἄνθρωπος ἀκρατὴς θηρίου τοῦ * ἀμαθεστάτου; ὅστις γὰρ τὰ μὲν κράτιστα μὴ σκοπεῖ, τὰ ἥδιστα δ' ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων; ἀλλὰ τοῖς ἐγκρατέσι μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγμάτων, καὶ λόγῳ καὶ ἔργῳ διαλέγοντας κατὰ γένη, τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι.

ιβ'. Καὶ

à ſtudiis eorum impedit, quibus quis recte corpus ſuum regat, & familiam recte adminiſtret, & amicis patriæque proſit, & hoſtes ſuperet, de quibus maximæ non utilitates modo, ſed etiam voluptates exiſtunt. Ex his enim fructum percipiunt temperantes, dum ea faciunt; quum intemperantes nullius horum participes fiant. Nam cui dicere poſſimus hæc minus convenire, quam qui ea minime facit, occupatus quærendis voluptatibus maxime obviis?

11. Tum Euthydemus, Dicere mihi, ait, videris, mi Socrates, omnino virtutem ad eum qui à corporeis voluptatibus ſuperetur, non pertinere. Nam quid intereſt, mi Euthydeme, (inquit) inter hominem intemperantem & rudiſſimam belluam? Nam qui non conſiderat optima, & omnino facere quærit ea quæ jucundiſſima ſunt, quid ille differt ab inſipientiſſimis pecudibus? Soli temperantes res optimas conſiderare poſſunt, eaſq; tum verbis tum reipſa ſecundum genera ſecernere, ac bonas quidem eligere, à malis autem abſtinere.

12. Atque

ιβ'. Καὶ οὕτως ἔφη ἀρίστοις τε καὶ εὐδαιμονεστάτους ἄνδρας γίγνεσθαι, καὶ διαλέγεσθαι δυνατωτάτοις. ἔφη δὲ καὶ τὸ [διαλέγεσθαι] ὀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι, διαλέγοντας κατὰ γένη τὰ πράγματα. δεῖ οὖν πειρᾶσθαι ὅτι μάλιστα πρὸς τοῦτο ἑαυτὸν ἕτοιμον παρασκευάζειν, καὶ τούτου μάλιστα ἐπιμελεῖσθαι. ἐκ τούτου γὰρ γίνεσθαι ἄνδρας ἀρίστοις τε καὶ ἡγεμονικωτάτους καὶ διαλεκτικωτάτοις.

ΚΕΦ. ς'.

Ὡς δὲ καὶ διαλεκτικωτέρους ἐποίει τοὺς συνόντας, πειράσομαι καὶ τοῦτο λέγειν. Σωκράτης γὰρ τοὺς μὲν εἰδότας, τί ἕκαστον εἴη τῶν ὄντων, ἐνόμιζε καὶ τοῖς ἄλλοις ἂν ἐξηγεῖσθαι δύνασθαι· τοὺς δὲ μὴ εἰδότας οὐδὲν ἔφη θαυμαστὸν εἶναι αὐτούς τε σφάλλεσθαι καὶ ἄλλους σφάλλειν. ὧν ἕνεκα σκοπῶν σὺν τοῖς συνοῦσι, τί ἕκαστον εἴη τῶν ὄντων, οὐδεπώποτε ἔληγε. πάντα μὲν οὖν ᾗ διωρίζετο, πολὺ

12. Atque hoc modo dicebat viros præstantiſſimos ac feliciſſimos effici, maximeque ad diſſerendum idoneos. Aiebat etiam [διαλέγεσθαι] ex eo dictum eſſe, quod convenientes communiter conſultent, dum res ſecundum genera diſcernunt. Itaque enitendum eſſe, ut ad hoc ſe quam paratiſſimum quiſque reddat, eique rei maxime ſtudeat. Nam ex eo fieri homines præſtantiſſimos, & imperio digniſſimos & diſſerendi peritiſſimos.

CAP. VI.

QUO autem modo familiares ſuos etiam diſſerendi peritiores effecerit, jam exponere conabor. Etenim putabat Socrates, eos qui ſcirent quid eſſent res ſingulæ, poſſe aliis etiam eas explicare: qui vero neſcirent, eos & falli & alios quoque fallere, non mirum eſſe dicebat. Ideoque nunquam ſuis cum familiaribus conſiderare deſinebat, quid res quælibet eſſet. At omnia quomodo definiret, operoſum

πολὺ ἔργον ἂν εἴη διεξελθεῖν· ἐν ὅσοις δὲ καὶ τρόπον τῆς ἐπισκέψεως δηλώσειν οἶμαι, τοσαῦτα λέξω.

β'. Πρῶτον δὲ περὶ εὐσεβείας ὧδέ πως ἐσκόπει. Εἰπέ μοι, (ἔφη) ὦ Εὐθύδημε, ποῖόν τι νομίζεις εὐσέβειαν εἶναι; καὶ ὅς, κάλλιστον νὴ Δί', ἔφη. ἔχεις οὖν εἰπεῖν, ὁποῖός τις ὁ εὐσεβής ἐστιν; ἐμοὶ μὲν δοκεῖ (ἔφη) ὁ τοὺς Θεοὺς τιμῶν. ἔξεστι δὲ ὃν ἄν τις βούληται τρόπον τοὺς Θεοὺς τιμᾶν; οὐκ· ἀλλὰ νόμοι εἰσί, καθ' οὓς δεῖ τοῦτο ποιεῖν.

γ'. Οὐκοῦν ὁ τοὺς νόμους τούτους ποιῶν, εἰδείη ἄν, ὡς δεῖ τοὺς Θεοὺς τιμᾶν; οἶμαι ἔγωγ', ἔφη. ἆρ' οὖν ὁ εἰδὼς τοὺς Θεοὺς τιμᾶν, οὐκ ἄλλως οἴεται δεῖν τοῦτο ποιεῖν, ἢ ὡς οἶδεν; οὐ γὰρ οὖν, ἔφη. ἄλλως δέ τις Θεοὺς τιμᾷ, ἢ ὡς οἴεται δεῖν; οὐκ οἶμαι, ἔφη.

δ'. Ὁ ἄρα τὰ περὶ τοὺς Θεοὺς νόμιμα εἰδώς, νομίμως ἂν τοὺς Θεοὺς τιμῴη. πάνυ μὲν οὖν. οὐκοῦν ὅγε νομίμως τιμῶν, ὡς δεῖ, τιμᾷ; πῶς γὰρ οὔ; ὁ δέ γε ὡς δεῖ τιμῶν, εὐσεβής ἐστι; πάνυ μὲν οὖν, ἔφη.

ὁ

operoſum fuerit percenſere. Quæ igitur modum conſiderationis hujus indicatura puto, illa dicam.

2. Primum de pietate hoc modo conſiderabat. Dic mihi, mi Euthydeme, (inquit) quale quiddam eſſe putas pietatem? Et ille, Pulcerrimum profecto, ait. Poteſne igitur dicere, qualis ſit homo pius? Is (ait) mihi videtur, qui Deos honore afficit. Licetne vero Deos eo modo honorare, quo quiſque vult? Non; ſed leges quædam ſunt, ſecundum quas id faciundum eſt.

3. Ergo qui leges has obſervat, is ſcire poſſit, quo pacto Dii ſint honorandi? Arbitror, ait. Ergo qui Deos novit honorare, non aliter id faciendum putat, quam uti ſcit? Non aliter, inquit. Eſtne quiſquam qui Deos honoret aliter, quam putet oportere? Non arbitror, ait.

4. Ergo qui novit ea quæ legitima ſunt erga Deos, is legitime Deos honorat. Omnino, ait. Qui igitur legitime ipſos honorat, is honorat, ut oportet? Qui non? Qui vero ſic, ut oportet, honorat, an pius eſt? Omnino, inquit.

ὁ ἄρα τὰ περὶ τοὺς Θεοὺς νόμιμα εἰδὼς, ὀρθῶς ἂν ἡμῖν εὐσεβὴς ὡρισμένος εἴη. ἐμοὶ γοῦν (ἔφη) δοκεῖ.

ε'. Ἀνθρώποις τε ἄρα ἔξεστιν ὃν ἄν τις τρόπον βούληται χρῆσθαι; οὔκ· ἀλλὰ καὶ περὶ τούτοις ὁ εἰδὼς ἃ ἐστὶ νόμιμα, καθ᾽ ἃ δεῖ πρὸς ἀλλήλους χρῆσθαι, νόμιμος ἂν εἴη. οὐκοῦν οἱ κατὰ ταῦτα χρώμενοι ἀλλήλοις, ὡς δεῖ χρῶνται; πῶς γὰρ οὔ; οὐκοῦν οἵγε ὡς δεῖ χρώμενοι, καλῶς χρῶνται; πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν οἵγε τοῖς ἀνθρώποις καλῶς χρώμενοι, καλῶς πράττουσι τἀνθρώπεια πράγματα; εἰκός γ', ἔφη.

ς'. Οὐκοῦν οἱ τοῖς νόμοις πειθόμενοι, δίκαια οὗτοι ποιοῦσι; πάνυ μὲν οὖν, ἔφη. δίκαια δὲ οἶσθα (ἔφη) ὁποῖα καλεῖται; ἃ οἱ νόμοι κελεύουσιν, ἔφη. οἱ ἄρα ποιοῦντες ἃ οἱ νόμοι κελεύουσι, δίκαιά τε ποιοῦσι, καὶ ἃ δεῖ. πῶς γὰρ οὔ; οὐκοῦν οἵγε τὰ δίκαια ποιοῦντες, δίκαιοί εἰσιν; οἶμαι ἔγωγ', ἔφη. οἴει οὖν τινας πείθεσθαι τοῖς νόμοις, μὴ εἰδότας ἃ οἱ νόμοι κελεύουσιν; οὐκ ἔγωγ', ἔφη. εἰδότας δὲ ἃ δεῖ ποιεῖν, οἴει τινὰς οἴεσθαι δεῖν μὴ ποιεῖν ταῦτα; οὐκ οἴομαι, ἔφη. οἶδας δέ τινας ἄλλα ποιοῦντας, ἢ

ἃ

Ergo qui legitima novit erga Deos, eum recte pium definiverimus. Ita mihi videtur, ait.

5. An vero licet hominibus sic uti, quemadmodum aliquis vult? Non: sed apud hos etiam qui novit legitima, secundum quæ alter altero uti debet, legitimus scilicet erit. Ergo qui secundum hæc se invicem utuntur, ut decet utuntur? Qui non? Num vero qui utuntur ut decet, recte utuntur? Omnino, ait. Ergo qui recte utuntur hominibus, illi etiam res humanas recte agunt? Consentaneum, inquit.

6. Num qui legibus parent, justa faciunt? Omnino, inquit. Scis autem qualianam justa dicantur? Quæ leges jubent, ait. Ergo qui ea faciunt quæ leges jubent, tum justa faciunt, tum quæ fieri debent. Qui non? An vero justi sunt, qui justa faciunt? Arbitror equidem, ait. Ergone putas legibus aliquos parere, qui nesciant quæ leges jubent? Non equidem, ait. At qui sciunt quid faciendum sit, eosne putas arbitrari, faciendum id non esse? Non puto, ait. An aliquos nosti, qui alia faciunt quam quæ

fieri

ἃ οἴονται δεῖν; οὐκ ἔγωγ', ἔφη. οἱ ἄρα τὰ περὶ τοὺς ἀνθρώπους νόμιμα εἰδότες, τὰ δίκαια οὗτοι ποιοῦσι; πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες, δίκαιοί εἰσι; τίνες γὰρ ἄλλοι; ἔφη. ὀρθῶς ἂν ποτε ἄρα ὁρισοίμεθα, ὁριζόμενοι δικαίους εἶναι τοὺς εἰδότας τὰ περὶ ἀνθρώπους νόμιμα; ἔμοιγε δοκεῖ, ἔφη.

ζ'. Σοφίαν δὲ τί ἂν φήσαιμεν εἶναι; εἰπέ μοι, πότερά σοι δοκοῦσιν οἱ σοφοὶ, ἃ ἐπίστανται, ταῦτα σοφοὶ εἶναι· ἢ εἰσί τινες, ἃ μὴ ἐπίστανται, σοφοί; ἃ ἐπίστανται δηλονότι, ἔφη· πῶς γὰρ ἄν τις ἅ γε μὴ ἐπίσταιτο, ταῦτα σοφὸς εἴη. ἆρ' οὖν οἱ σοφοὶ, ἐπιστήμῃ σοφοί εἰσι; τίνι γὰρ (ἔφη) ἄλλῳ τις ἂν εἴη σοφὸς, εἴγε μὴ ἐπιστήμῃ; ἄλλο δέ τι σοφίαν οἴει εἶναι, ἢ ᾧ σοφοί εἰσιν; οὐκ ἔγωγε. ἐπιστήμη ἄρα σοφία ἐστίν; ἔμοιγε δοκεῖ. ἆρ' οὖν δοκεῖ σοι ἀνθρώπῳ δυνατὸν εἶναι τὰ ὄντα πάντα ἐπίστασθαι; οὐδὲ μὰ Δί' ἔμοιγε πολλοστὸν μέρος αὐτῶν. πάντα μὲν ἄρα σοφὸν οὐχ οἷόν τε ἄνθρωπον εἶναι; μὰ Δί' οὐ δῆτα, ἔφη.

ὁ

fieri debere putant? Minime, inquit. Ergo qui sciunt, quæ legitima sunt erga homines, justa faciunt? Omnino, ait. Qui igitur justa faciunt, justi sunt? Qui tandem alii? ait. Ergo recte definiemus, si eos esse justos definiverimus, qui sciunt quæ legitima sint erga homines? Sic mihi videtur, ait.

7. Quid vero dicere possimus sapientiam esse? Dic mihi; utrum tibi sapientes, in iis quæ norunt, sapientes esse videantur, an aliqui sint in iis sapientes, quæ nesciunt? Nimirum in illis sapientes sunt, quæ sciunt. Nam qui possit aliquis esse sapiens in illis, quæ nescit? Num igitur sapientes, scientia sunt sapientes? Quanam alia re sapiens aliquis fuerit, si non scientia? Num vero putas quiddam aliud esse sapientiam, quam quo homines sapientes sunt? Non equidem. Ergo sapientia est scientia? Mihi quidem videtur. Ergone tibi videtur, hominem res omnes scire posse? Immo nec partem profecto rerum aliquantulam. Homo igitur in omnibus nequit esse sapiens? Minime profecto, ait.

Ergo

ὃ ἄρα ἐπίσταται ἕκαστος, τοῦτο καὶ σοφός ἐστιν; ἔμοιγε δοκεῖ.

η'. Ἆρ' οὖν, ὦ Εὐθύδημε, καὶ τἀγαθὸν οὕτω ζητητέον ἐστί; πῶς; ἔφη. δοκεῖ σοι τὸ αὐτὸ πᾶσιν ὠφέλιμον εἶναι; οὐκ ἔμοιγε. τί δέ; τὸ ἄλλῳ ὠφέλιμον οὐ δοκεῖ σοι ἐνίοτε ἄλλῳ βλαβερὸν εἶναι; καὶ μάλα, ἔφη. ἄλλο δ' ἄν τι φαίης ἀγαθὸν εἶναι, ἢ τὸ ὠφέλιμον; οὐκ ἔγωγ', ἔφη. τὸ ἄρα ὠφέλιμον, ἀγαθόν ἐστιν, ὅτῳ ἂν ὠφέλιμον ᾖ; δοκεῖ μοι, ἔφη.

θ'. Τὸ δὲ καλὸν ἔχοιμεν ἄν πως ἄλλως εἰπεῖν, ἢ ἔνεστιν ὀνομάζειν καλὸν ἢ σῶμα, ἢ σκεῦος, ἢ ἄλλ' ὁτιοῦν, ὃ οἶσθα πρὸς πάντα καλὸν ὄν; μὰ Δί' οὐχ ἔγωγ', ἔφη. ἆρ' οὖν πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ, πρὸς τοῦτο ἑκάστῳ καλῶς ἔχει χρῆσθαι; πάνυ μὲν οὖν, ἔφη. καλὸν δὲ πρὸς ἄλλο τι ἐστὶν ἕκαστον, ἢ πρὸς ὃ ἑκάστῳ καλῶς ἔχει χρῆσθαι; οὐδὲ πρὸς ἓν ἄλλο, ἔφη. τὸ χρήσιμον ἄρα καλόν ἐστι, πρὸς ὃ ἂν ᾖ χρήσιμον; ἔμοιγε δοκεῖ, ἔφη.

ι'. Ἀνδρείαν δέ, ὦ Εὐθύδημε, ἆρα τῶν καλῶν νομίζεις εἶναι;

κάλλιστον

Ergo in eo quis eſt ſapiens, quod ſcit? Mihi quidem videtur.

8. Num & de bono, Euthydeme, ſic quærendum erit? Quomodo? ait. Num idem tibi videtur omnibus eſſe utile? Non mihi quidem. Quid? An quod utile eſt alteri, non tibi videtur eſſe nonnunquam alteri noxium? Omnino, ait. Num quid aliud potes dicere bonum eſſe, quam quod ſit utile? Non equidem, ait. Ergo quod eſt utile, bonum eſt illi, cui utile fuerit? Videtur, inquit.

9. An vero pulcrum aliter appellare poſſimus, quam uti dicimus aut pulcrum corpus, aut vas, aut aliud quiddam, quod ſcis eſſe ad omnia pulcrum. Non equidem profectò, inquit. Ergo ad quod utile quidque fuerit, ad id cuique pulcrum eſt eo uti? Omnino, ait. Num autem quævis res ad aliud quiddam pulcra eſt, quam cujus uſui ſingula pulcre applicentur? Ad nihil aliud, inquit. Ergo quod eſt utile, pulcrum eſt ad quod utile fuerit? Ita mihi videtur, inquit.

10. Fortitudinem, mi Euthydeme, num inter pulcra eſſe cenſes? Immo

κάλλιστον μὲν οὖν ἔγωγ', ἔφη. χρήσιμον ἄρα οὐ πρὸς τὰ ἐλάχιστα νομίζεις τὴν ἀνδρείαν; μὰ Δί', (ἔφη) πρὸς τὰ μέγιστα μὲν οὖν. ἆρ' οὖν δοκεῖ σοι πρὸς τὰ δεινά τε καὶ ἐπικίνδυνα χρήσιμον εἶναι τὸ ἀγνοεῖν αὐτά; ἥκιστά γ', ἔφη. οἱ ἄρα μὴ φοβούμενοι τὰ τοιαῦτα, διὰ τὸ μὴ εἰδέναι τί ἐστιν, οὐκ ἀνδρεῖοί εἰσι; νὴ Δί' (ἔφη) πολλοὶ γὰρ ἂν οὕτω γε τῶν γε μαινομένων καὶ τῶν δειλῶν ἀνδρεῖοι εἶεν. τί δὲ οἱ καὶ τὰ μὴ δεινὰ δεδοικότες; ἔτι γε νὴ Δία ἧττον, ἔφη. ἆρ' οὖν τοὺς μὲν ἀγαθοὺς πρὸς τὰ δεινὰ καὶ ἐπικίνδυνα ὄντας, ἀνδρείους ἡγῇ εἶναι, τοὺς δὲ κακούς, δειλούς; πάνυ μὲν οὖν, ἔφη.

ια'. Ἀγαθοὺς δὲ πρὸς τὰ τοιαῦτα νομίζεις ἄλλους τινάς, ἢ τοὺς δυναμένους αὐτοῖς καλῶς χρῆσθαι; οὐκ· ἀλλὰ τούτους, ἔφη. κακοὺς δὲ ἄρα τοὺς οἵους τούτοις κακῶς χρῆσθαι; τίνας γὰρ ἄλλους, ἔφη. ἆρ' οὖν ἕκαστοι χρῶνται, ὡς οἴονται δεῖν; πῶς γὰρ ἄλλως; [illegible] ἄρα οὖν οἱ μὴ δυνάμενοι καλῶς χρῆσθαι, ἴσασιν ὡς δεῖ χρῆσθαι; οὐ δήπου γε, ἔφη. οἱ ἄρα εἰδότες ὡς δεῖ χρῆσθαι, οὗτοι καὶ δύνανται; μόνοι γε, ἔφη. τί δέ;

Οἱ

Immo pulcerrimum quid, ait. Ergo tu fortitudinem non ad minima utilem esse statuis? Certe (inquit) ad maxima. Num igitur tibi utile esse ad terribilia & periculosa videtur, ea ipsa ignorare? Minime, inquit. Ergo qui ejusmodi non metuunt, propterea quod nesciant quid sint, non sunt fortes? Profecto: (inquit) nam cæteroqui multi homines insani & timidi, fortes essent. Quid autem illi, qui non terribilia metuunt? Multo minus, inquit. Qui ergo boni sunt ad terribilia & periculosa, hos fortes esse putas? qui vero mali, timidos. Omnino, inquit.

11. An vero putas ad talia quosdam alios etiam bonos esse, quam qui eis uti recte possint? Non, (ait) sed hos ipsos. Malos autem, qui his male utantur? Quosnam alios? inquit. Ergone utuntur singuli, ut oportere se arbitrantur? Qui aliter? inquit. Sciuntne qui non possunt recte uti, quo pacto utendum sit? Nequaquam, inquit. Igitur qui norunt ut sit utendum, illi etiam possunt? Immo soli, inquit. Quid?

Siqui

οἱ μὴ διημαρτηκότες ἆρα κακῶς χρῶνται τοῖς τοιούτοις; οὐκ οἴομαι, ἔφη. οἱ ἄρα κακῶς χρώμενοι διημαρτήκασι; εἰκός γε, ἔφη. οἱ μὲν ἄρα ἐπιστάμενοι τοῖς δεινοῖς τε καὶ ἐπικινδύνοις καλῶς χρῆσθαι, ἀνδρεῖοί εἰσιν· οἱ δὲ διαμαρτάνοντες τούτου, δειλοί. ἔμοιγε δοκοῦσιν, ἔφη.

ιβ'. Βασιλείαν δὲ καὶ τυραννίδας ἀρχὰς μὲν ἀμφοτέρας ἡγεῖτο εἶναι, διαφέρειν δὲ ἀλλήλων ἐνόμιζε. τὴν μὲν γὰρ ἑκόντων τε τῶν ἀνθρώπων καὶ κατὰ νόμους τῶν πολέων ἀρχὴν, βασιλείαν ἡγεῖτο· τὴν δὲ ἀκόντων τε καὶ μὴ κατὰ νόμους, ἀλλ' ὅπως ὁ ἄρχων βούλοιτο, τυραννίδα. καὶ ὅπου μὲν ἐκ τῶν τὰ νόμιμα ἐπιτελούντων αἱ ἀρχαὶ καθίστανται, ταύτην τὴν πολιτείαν ἀριστοκρατίαν ἐνόμιζεν εἶναι· ὅπου δ' ἐκ τιμημάτων, πλουτοκρατίαν· ὅπου δ' ἐκ πάντων, δημοκρατίαν.

ιγ'. Εἰ δέ τις αὐτῷ περί του ἀντιλέγοι, μηδὲν ἔχων σαφὲς λέγειν, ἀλλ' ἄνευ ἀποδείξεως, ἤτοι σοφώτερον φάσκων εἶναι ὃν αὐτὸς λέγοι, ἢ πολιτικώτερον, ἢ ἀνδρειότερον, ἢ

Siqui non aberraverunt ab eorum uſu, num male his utuntur? Non arbitror, inquit. Ergo qui male utuntur, aberrant? Conſentaneum, ait. Qui igitur terribilibus & periculoſis recte uti ſciunt, ſunt fortes; qui vero ab hoc aberrant, timidi ſunt. Mihi quidem videtur, inquit.

12. Cæterum & regnum & tyrannidem, utrumque judicabat eſſe quidem imperium, verum inter ſe differre ſtatuebat. Nam regnum eſſe putabat, in homines volentes ſecundum civitatū leges imperium; at in homines nolentes, nec ſecundum leges, ſed ex arbitrio principis imperium, eſſe tyrannidē. Atq; ubi magiſtratus ex iis conſtituerentur, qui legitima perficiunt, eam rei publicæ formā exiſtimabat eſſe, in qua optimates dominantur; ubi ex cenſibus, locupletum imperium; ubi ex univerſis, ſtatum popularem.

13. Quod ſiquis ipſi aliqua in re adverſaretur, qui nihil certi, quod diceret, haberet; ac ſine demonſtratione, vel ſapientiorē eſſe prædicaret illum, cujus ipſe mentionem faceret, vel civilis adminiſtrationis peritiorem, vel fortiorem, vel

ἢ ἄλλό τι τῶν τοιούτων, ἐπὶ τὴν ὑπόθεσιν ἐπανῆγεν ἂν πάντα τὸν λόγον ὧδέ πως.

ιδ'. Φῂς σὺ ἀμείνω πολίτην εἶναι, ὃν σὺ ἐπαινεῖς, ἢ ὃν ἐγώ; φημὶ γὰρ οὖν. τί οὖν; οὐκ ἐκεῖνο πρῶτον ἐπισκεψώμεθα, τί ἐστιν ἔργον ἀγαθοῦ πολίτου; ποιῶμεν τοῦτο. οὐκοῦν ἐν μὲν χρημάτων διοικήσει κρατοίη ἂν ὁ χρήμασιν εὐπορωτέραν τὴν πόλιν ποιῶν; πάνυ μὲν οὖν, ἔφη. ἐν δέ γε πολέμῳ, ὁ καθυπερτέραν τῶν ἀντιπάλων; πῶς γὰρ οὔ; ἐν δὲ πρεσβείᾳ ἆρα, ὃς ἂν φίλους ἀντὶ πολεμίων παρασκευάζῃ; εἰκότως γε. οὐκοῦν καὶ ἐν δημηγορίᾳ, ὁ στάσεις τε παύων καὶ ὁμόνοιαν ἐμποιῶν; ἔμοιγε δοκεῖ. οὕτω δὲ τῶν λόγων ἐπαναγομένων, καὶ τοῖς ἀντιλέγουσιν αὐτοῖς φανερὸν ἐγίγνετο τἀληθές.

ιε'. Ὁπότε δὲ αὐτός τι τῷ λόγῳ διεξίοι, διὰ τῶν μάλιστα ὁμολογουμένων ἐπορεύετο, νομίζων ταύτην τὴν ἀσφάλειαν εἶναι λόγου. τοιγαροῦν πολὺ μάλιστα ὧν ἐγὼ οἶδα, ὅτι λέγοι, τοὺς ἀκούοντας ὁμολογοῦντας παρεῖχε. ἔφη δὲ καὶ Ομηρον τῷ

vel quid aliud ejusmodi: hoc quodam modo orationem omnem ad rem propositam reducebat.

14. Tune civem esse meliorem ais, quem ipse prædicas, quam quem ego? Aio. Quid ergo? annon id primum considerabimus, quod boni civis sit officium? Faciamus id sane. Ergo in opum administratione potior illius erit ratio, qui rempublicam opulentiorẽ reddit? Omnino, ait. At in bello, qui hostium victricem efficit? Qui non? At in legatione, qui amicos ex hostibus efficit? Merito. Ergo etiam in concionibus ad plebem, qui seditiones compescuerit, & autor concordiæ fuerit? Ita mihi videtur. Hoc modo quum sermo reduceretur, etiam illis ipsis, qui contradicebat, veritas elucescebat.

15. Cæterum quum ipse aliquid oratione percurrebat, per ea progrediebatur, quæ maxime essent in confesso; quod esse hanc orationis certitudinem arbitraretur. Itaque quum aliquid dicebat, longe omnium maxime, quos ego novi, auditores suos, ut idem faterentur, adduceret. Aiebat & Homerum id

τῷ Ὀδυσσεῖ ἀναθεῖναι τὸ ἀσφαλῆ ῥήτορα εἶναι, ὡς ἱκανὸν αὐτὸν ὄντα διὰ τῶν δοκούντων τοῖς ἀνθρώποις ἄγειν τοὺς λόγους. ὅτι μὲν οὖν ἁπλῶς τὴν ἑαυτοῦ γνώμην ἀπεφαίνετο Σωκράτης πρὸς τοὺς ὁμιλοῦντας αὐτῷ, δοκεῖ μοι δῆλον ἐκ τῶν εἰρημένων εἶναι.

ΚΕΦ. ζ'.

Ὅτι δὲ καὶ αὐτάρκεις ἐν ταῖς προσηκούσαις πράξεσιν αὐτοὺς εἶναι ἐπεμελεῖτο, νῦν τότε λέξω. πάντων μὲν γὰρ, ὧν ἐγὼ οἶδα, μάλιστα ἔμελεν αὐτῷ εἰδέναι, ὅτου τις ἐπιστήμων εἴη τῶν συνόντων αὐτῷ. ὧν δὲ προσήκει ἀνδρὶ καλῷ κἀγαθῷ εἰδέναι, ὅ,τι μὲν αὐτὸς εἰδείη, πάντων προθυμότατα ἐδίδασκεν. ὅτου δὲ αὐτὸς ἀπειρότερος εἴη, πρὸς τοὺς ἐπισταμένους ἦγεν αὐτούς.

β'. Ἐδίδασκε δὲ καὶ μέχρι ὅτου δέοι ἔμπειρον εἶναι ἑκάστου πράγματος τὸν ὀρθῶς πεπαιδευμένον. αὐτίκα γεωμετρίαν μέχρι μὲν τούτου ἔφη δεῖν μανθάνειν, ἕως ἱκανός τις γένοιτο, εἴποτε δεήσαι, γῆν μέτρῳ ὀρθῶς ἢ παραλαβεῖν, ἢ παραδοῦναι,

id Ulyssi tribuisse, quod esset orator cautus, quia per ea quæ hominibus viderentur, orationes suas deducere posset. Itaque perspicuum esse ex iis quæ diximus, arbitror, Socratem ad colloquentes secum sententiam suam simpliciter protulisse.

CAP. VII.

Quod etiam operam dederit, ut ipsi in agendis iis, quæ sibi convenirent, satis essent idonei; id nunc exponam. Etenim maxime Socrati omnium, quos equidem novi, curæ erat, ut sciret, qua in re suorum familiarium quisque peritus esset. Quæ vero virum honestum & egregium scire convenirent, eorum nihil non, quod quidem esset ipsi cognitum, cupidissime docebat. Qua vero in re esset minus ipse peritus, ad peritos eos deducebat.

2. Præterea docebat, quousque hominem recte institutum cujusq; rei peritum esse conveniat. Statim ab ineunte ætate geometriam eo usq; discendam aiebat, donec quis posset, si opus fuerit, terram vel recta metiendi ratione accipere, vel tradere,

παραδοῦναι, ἢ διανεῖμαι, ἢ ἔργον ἀποδείξασθαι. οὕτω δὲ τοῦτο ῥᾴδιον εἶναι μαθεῖν, ὥστε τὸν προσέχοντα τὸν νοῦν τῇ μετρήσει, ἅμα τήν τε γῆν ὁπόση ἐστὶν εἰδέναι, καὶ ὡς μετρεῖται ἐπιστάμενον ἀπιέναι.

γʹ. Τὸ δὲ μέχρι τῶν δυσξυνέτων διαγραμμάτων γεωμετρίαν μανθάνειν ἀπεδοκίμαζεν. ὅ,τι μὲν γὰρ ὠφελοίη ταῦτα, οὐκ ἔφη ὁρᾶν· (καίτοι οὐκ ἄπειρός γε αὐτῶν ἦν) ἔφη δὲ ταῦτα ἱκανὰ εἶναι ἀνθρώπου βίον κατατρίβειν, καὶ ἄλλων πολλῶν τε καὶ ὠφελίμων μαθημάτων ἀποκωλύειν.

δʹ. Ἐκέλευε δὲ καὶ ἀστρονομίας ἐμπείρους γίγνεσθαι, καὶ ταύτης μέντοι μέχρι τοῦ νυκτός τε ὥραν καὶ μηνὸς καὶ ἐνιαυτοῦ δύνασθαι γιγνώσκειν, ἕνεκα πορείας τε καὶ πλοῦ καὶ φυλακῆς· καὶ ὅσα ἄλλα ἢ νυκτὸς ἢ μηνὸς, ἢ ἐνιαυτοῦ πράττεται, πρὸς ταῦτ' ἔχειν τεκμηρίοις χρῆσθαι, τὰς ὥρας τῶν εἰρημένων διαγιγνώσκοντας· καὶ ταῦτα δὲ ῥᾴδια εἶναι μαθεῖν παρά τε τῶν * νυκτοθηρῶν, καὶ κυβερνητῶν, καὶ ἄλλων πολλῶν, οἷς ἐπιμελὲς ταῦτα εἰδέναι.

εʹ. Τὸ

tradere, vel distribuere, vel opus designare. Atque hoc tam facile disci posse, ut qui animum ad dimensionem advertat, is & scire possit, quanta sit ipsa terra, & cognita metiendi ratione discedat.

3. Verum in geometria discenda progressum ad descriptiones usque intellectu difficiles, improbabat. Nec enim, quid eæ res usus haberent, videre se dicebat; (licet illarum minime rudis esset) posse vero aiebat eas omnem hominis vitam absumere, ac ab aliis multis utilibusque disciplinis avocare.

4. Hortabatur etiam, ut astrorum doctrinæ adeo periti essent, ut & noctis & mensis & anni tempora cognoscere possent, tum itineris ac navigationis causa, tum excubiarum, aliarumque rerum, quæcunque vel per noctem, vel in mense, vel in anno geruntur; ut ad ea certis indiciis uti possent, quibus illorum, quæ diximus, tempora dignoscerent. Atque hæc disci facile ab iis posse, qui noctu feras venantur, & à navium gubernatoribus, aliisque multis, quibus est curæ, ut hæc sciant.

 5. At

ε'. Τὸ δὲ μέχρι τούτου ἀστρονομίαν μανθάνειν, μέχρι τοῦ καὶ τὰ μὴ ἐν τῇ αὐτῇ περιφορᾷ ὄντα, καὶ τοὺς πλανήτας τε καὶ ἀσταθμήτους ἀστέρας γνῶναι, καὶ τὰς ἀποστάσεις αὐτῶν ἀπὸ τῆς γῆς, καὶ τὰς περιόδους, καὶ τὰς αἰτίας αὐτῶν ζητοῦντας κατατρίβεσθαι, ἰσχυρῶς ἀπέτρεπεν. ὠφέλειαν μὲν γὰρ οὐδεμίαν οὐδ' ἐν τούτοις ἔφη ὁρᾶν (καίτοι οὐδὲ τούτων γε ἀνήκοος ἦν) ἔφη δὲ καὶ ταῦτα ἱκανὰ εἶναι κατατρίβειν ἀνθρώπου βίον, καὶ πολλῶν καὶ ὠφελίμων ἀποκωλύειν.

ϛ'. Ὅλως δὲ τῶν οὐρανίων, ᾗ ἕκαστα ὁ Θεὸς μηχανᾶται, φροντιστὴν γίγνεσθαι ἀπέτρεπεν. οὔτε γὰρ εὑρετὰ ἀνθρώποις αὐτὰ ἐνόμιζεν εἶναι, οὔτε χαρίζεσθαι Θεοῖς ἂν ἡγεῖτο τὸν ζητοῦντα, ἃ ἐκεῖνοι σαφηνίσαι οὐκ ἐβουλήθησαν. κινδυνεῦσαι δ' ἂν ἔφη καὶ παραφρονῆσαι τὸν ταῦτα μεριμνῶντα, οὐδὲν ἧττον ἢ Ἀναξαγόρας παρεφρόνησεν, ὁ μέγιστον φρονήσας ἐπὶ τῷ τὰς τῶν Θεῶν μηχανὰς ἐξηγεῖσθαι.

ζ'. (Ἐκεῖνος γὰρ λέγων μὲν, τὸ αὐτὸ εἶναι πῦρ τε καὶ ἥλιον, ἠγνόει ὡς τὸ μὲν πῦρ οἱ ἄνθρωποι ῥᾳδίως καθορῶσιν,

5. At vero in astronomia discenda eo progredi, donec & illa cognoscantur quæ in eodem non sunt ambitu, & errantia vagaque sidera, & ipsorum à terra intervalla, & circuitus; eorumque causas inquirendo confici, vehementer dehortabatur. Quippe nec in his quidem ullam se utilitatem videre dicebat; (quanquam eorum rudis non esset) aiebat vero, etiam hæc absumere posse vitam hominis, at à multis ac utilibus eum prohibere.

6. Denique in universum dehortabatur, nequis studium in res cœlestes impenderet, quo scilicet artificio Deus omnia moliatur. Nec enim illa posse ab hominibus inveniri putabat, nec Diis eum rem facere gratam arbitrabatur, qui quæ illi manifesta esse noluissent, inquireret. Addebat esse periculum, ne qui de rebus hisce sollicitus esset, insaniret tandem nihilo minus quam Anaxagoras, qui maxime fuisset elatus, propterea quod Deorum machinas enarrasset.

7. (Nimirum ille, dum ait ignem ac solem idem esse, ignorabat ab hominibus ignem cerni facile posse,

σιν, εἰς δὲ τὸν ἥλιον οὐ δύνανται ἀντιβλέπειν· καὶ ὑπὸ μὲν τοῦ ἡλίου καταλαμπόμενοι, τὰ χρώματα μελάντερα ἔχουσιν, ὑπὸ δὲ τοῦ πυρὸς, οὔ. ἠγνόει δὲ ὅτι καὶ τῶν ἐκ τῆς γῆς φυομένων ἄνευ μὲν ἡλίου αὐγῆς οὐδὲν δύναται καλῶς αὔξεσθαι, ὑπὸ δὲ τοῦ πυρὸς θερμαινόμενα πάντα ἀπόλλυται. φάσκων δὲ τὸν ἥλιον λίθον διάπυρον εἶναι, καὶ τοῦτο ἠγνόει, ὅτι λίθος μὲν ἐν πυρὶ ὢν οὔτε λάμπει, οὔτε πολὺν χρόνον ἀντέχει· ὁ δὲ ἥλιος τὸν πάντα χρόνον πάντων λαμπρότερος ὢν διαμένει.)

η΄. Ἐκέλευε δὲ καὶ λογισμοὺς μανθάνειν, καὶ τούτων δὲ ὁμοίως τοῖς ἄλλοις ἐκέλευε φυλάττεσθαι τὴν μάταιον πραγματείαν, μέχρι δὲ τοῦ ὠφελίμου πάντα καὶ αὐτὸς συνεπεσκόπει, καὶ συνδιεξῄει τοῖς συνοῦσι.

θ΄. Προέτρεπε δὲ σφόδρα καὶ ὑγιείας ἐπιμελεῖσθαι τοὺς συνόντας, παρά τε τῶν εἰδότων μανθάνοντας ὅσα ἐνδέχοιτο, καὶ ἑαυτῷ ἕκαστον προσέχοντα διὰ παντὸς τοῦ βίου, τί βρῶμα, ἢ τί πόμα, ἢ ποῖος πόνος συμ-

φέρει

se, quum solem adversum intueri non possint: quodque illi, qui à sole collustrantur, colore reddantur nigriores, qui vero ab igne, non ita. Ignorabat etiam, quod nihil eorum, quæ terra nascuntur, absque solis splendore possit augescere; quum omnia, quæ ab igne calefiunt, pereant. Idem quum solem esse lapidem ignitum diceret, etiam ignorabat, lapidem qui sit in igne, neque lucere, neque diu perdurare; quum sol per omne tempus splendidior rebus omnibus manet.)

8. Hortabatur etiam, ut numerandi rationem discerent, & in hac perinde atque in aliis monebat, ut ab inani occupatione sibi caverent: atque adeo tum ipse omnia eatenus pervestigabat, quatenus essent utilia, tum una cum familiaribus perquirebat.

9. Vehementer etiam familiares suos hortabatur, ut valetudinis curam haberent; ac partim à peritis, quæ possent, discerent; partim singuli per omnem vitam seipsos observarent, quinam cibus, qui potus, qui labor eis conduceret,

φέροι αὐτῷ, καὶ πῶς τούτοις χρώμενος ὑγιεινότατ᾽ ἂν διάγοι. τοῦ γὰρ οὕτω προσέχοντος ἑαυτῷ, ἔργον ἔφη εἶναι, εὑρεῖν ἰατρὸν τὰ πρὸς ὑγίειαν συμφέροντα αὐτῷ μᾶλλον διαγιγνώσκοντα ἑαυτοῦ.

ι'. Εἰ δέ τις μᾶλλον, ἢ κατὰ τὴν ἀνθρωπίνην σοφίαν, ὠφελεῖσθαι βούλοιτο, συνεβούλευε μαντικῆς ἐπιμελεῖσθαι. τὸν γὰρ εἰδότα δι᾽ ὧν οἱ Θεοὶ τοῖς ἀνθρώποις περὶ τῶν πραγμάτων σημαίνουσιν, οὐδέποτ᾽ ἔρημον ἔφη γίγνεσθαι συμβουλῆς θεῶν.

ΚΕΦ. η'.

Εἰ δέ τις, ὅτι φάσκοντος αὐτοῦ τὸ δαιμόνιον ἑαυτῷ προσημαίνειν ἅ τε δέοι καὶ ἃ μὴ δέοι ποιεῖν, ὑπὸ τῶν δικαστῶν κατεγνώσθη θάνατος, οἴεται αὐτὸν ἐλέγχεσθαι περὶ τοῦ δαιμονίου ψευδόμενον, ἐννοησάτω πρῶτον μὲν, ὅτι οὕτως ἤδη τότε πόῤῥω τῆς ἡλικίας ἦν, ὥστ᾽ εἰ καὶ μὴ τότε, οὐκ ἂν πολλῷ ὕστερον τελευτῆσαι τὸν βίον· εἶτα, ὅτι τὸ μὲν ἀχθεινότατον τοῦ βίου, καὶ ἐν ᾧ πάντες τὴν διά-

νοιαν

duceret, & quo pacto his utendo quam optime valetudine frui possent. Nam siquis ita se observarent, difficile aiebat esse, ut medicum aliquis inveniret, qui ad valetudinem conducentia magis ipso dijudicaret.

10. Siquis autem majora, quam pro sapientia humana, vellet assequi, consuluit ut divinationi operam daret. Etenim aiebat, eum qui sciret, quibus indiciis Dii hominibus aliquid significent, nunquam à consilio divino destitui posse.

CAP. VIII.

Quod siquis ipsum mendacii de numine convictum fuisse propterea existimat, quod à judicibus morte multatus sit, dicens à numine sibi denuntiari, quæ facienda essent, quæ non: primum velim consideret, illum jam tum eo ætatis provectum fuisse, ut si non id temporis, certe non multo post vita excessurus fuerit: deinde quod partem vitæ molestissimam, & in qua omnibus

sit

νοια μειοῦται, ἀπέλειπεν· ἀντὶ δὲ τούτου τῆς ψυχῆς τὴν ῥώμην ἐπιδειξάμενος, εὔκλειαν προσεκτήσατο, τήν τε δίκην πάντων ἀνθρώπων ἀληθέστατα, καὶ ἐλευθεριώτατα, καὶ δικαιότατα εἰπὼν, καὶ τὴν κατάγνωσιν τοῦ θανάτου πρᾳότατα καὶ ἀνδρωδέστατα ἐνέγκων.

β'. Ὁμολογεῖται γὰρ, οὐδένα πω τῶν μνημονευομένων ἀνθρώπων κάλλιον θάνατον ἐνεγκεῖν. ἀνάγκη μὲν γὰρ ἐγένετο αὐτῷ μετὰ τὴν κρίσιν τριάκοντα ἡμέρας βιῶναι, διὰ τὸ Δήλια μὲν ἐκείνου τοῦ μηνὸς εἶναι, τὸν δὲ νόμον μηδένα ἐᾶν δημοσίᾳ ἀποθνήσκειν, ἕως ἂν ἡ * Θεωρία ἐκ Δήλου ἐπανέλθῃ. καὶ τὸν χρόνον τοῦτον ἅπασι τοῖς συνήθεσι φανερὸς ἐγένετο οὐδὲν ἀλλοιότερον διαβιοὺς, ἢ τὸν ἔμπροσθεν χρόνον.

γ'. Καίτοι τὸν ἔμπροσθέν γε πάντων ἀνθρώπων μάλιστα ἐθαυμάζετο, ἐπὶ τῷ εὐθύμως τε καὶ εὐκόλως ζῆν. καὶ πῶς ἄν τις κάλλιον, ἢ οὕτως ἀποθάνοι; ἢ

sit mentis quædam imminutio, rejecerit; ac illius loco demonstrata fortitudine animi gloriam consecutus sit, quum quidem caussam suam supra mortales cæteros longe verissime, ac inprimis ingenue justissimeque dixisset, & condemnationem ad mortem mitissime maximeque viriliter tulisset.

2. Etenim in confesso est, neminem hominum unquam, de quibus nos acceperimus, mortem pertulisse præclarius. Nam cogebatur à condemnatione dies adhuc triginta vivere, quod in illum mensem Delia incidissent, ac lex vetaret, quenquam publice prius interfici, quam Theororum cœtus ex Delo rediisset. Hoc toto tempore familiaribus ipsius universis compertum fuit, nihil eum de vivendi ratione pristina immutasse.

3. Atqui maximæ admirationi fuerat supra cæteros superiorũ temporum mortales universos, quod magna cum animi tranquillitate facilitateque viveret. Et qui possit aliquis honestius, quam sic mori?

ἢ ποῖος ἂν εἴη θάνατος καλλίων, ἢ ὃν ἂν κάλλιστά τις ἀποθάνοι; ποῖος δ' ἂν γένοιτο θάνατος εὐδαιμονέστερος τοῦ καλλίστου; ἢ ποῖος θεοφιλέστερος τοῦ εὐδαιμονεστάτου;

δ'. Λέξω δὲ καὶ ἃ Ἑρμογένους τοῦ Ἱππονίκου ἤκουσα περὶ αὐτοῦ. ἔφη γὰρ, ἤδη Μελίτου γεγραμμένου αὐτὸν τὴν γραφὴν, αὐτὸς ἀκούων αὐτοῦ πάντα μᾶλλον, ἢ περὶ τῆς δίκης διαλεγομένου, λέγειν αὐτῷ, ὡς χρὴ σκοπεῖν ὅ,τι ἀπολογήσεται. τὸν δὲ τὸ μὲν πρῶτον εἰπεῖν· οὐ γὰρ δοκῶ σοι τοῦτο μελετῶν διαβεβιωκέναι; ἐπεὶ δὲ αὐτὸν ἤρετο, ὅπως; εἰπεῖν αὐτὸν, ὅτι οὐδὲν ἄλλο ποιῶν διαγεγένηται, ἢ διασκοπῶν μὲν τά τε δίκαια καὶ τὰ ἄδικα, πράττων δὲ τὰ δίκαια, καὶ τῶν ἀδίκων ἀπεχόμενος· ἥνπερ νομίζοι καλλίστην μελέτην ἀπολογίας εἶναι.

ε'. Αὐτὸν δὲ πάλιν εἰπεῖν· οὐχ ὁρᾷς, ὦ Σώκρατες, ὅτι οἱ Ἀθήνησι δικασταὶ πολλοὺς μὲν ἤδη μηδὲν ἀδικοῦντας, λόγῳ ἀχθεσθέντες ἀπέκτειναν, πολλοὺς δὲ ἀδικοῦντας ἀπέλυσαν; ἀλλὰ νὴ τὸν Δία, (φάναι αὐτὸν)

ὦ

Quæ mors esse possit pulcrior, quā quæ ab aliquo pulcerrime obitur? quæ mors possit esse felicior, quam quæ pulcerrima sit? quæ Diis acceptior, quam felicissima?

4. Dicam & quæ ex Hermogene, Hipponici filio, de ipso accepi. Nam aiebat, se, ubi audivisset illum à Melito jam accusatum, quidvis potius dicere quam quæ ad causam pertinerent, monuisse, quod considerandum ipsi esset, quidnam sui defendendi causa proferre vellet. Illum primo respondisse; Annon tibi videor in hac meditatione pervixisse? Ipso vero quærente, Quo pacto? dixisse illum, nihil aliud perpetuo se egisse, quam justa injustaque considerasse; ac justa quidem egisse, ab injustis autem abstinuisse; quam sane meditationem purgandi sui pulcerrimam duceret.

5. Tum rursus dixisse. Non vides, mi Socrates, quod Judices Athenis multos, qui nihil injuste perpetrassent, duntaxat oratione offensi interfecerint; multosque scelerum reos absolverint? At profecto (respondisse illum) quum

ὦ Ἑρμόγενες, ἤδη μου ἐπιχειροῦντος φροντίσαι τῆς πρὸς τοὺς δικαστὰς ἀπολογίας, ἠναντιώθη τὸ δαιμόνιον.

ϛʹ. Καὶ αὐτὸν εἰπεῖν· θαυμαστὰ λέγεις. τὸν δὲ, θαυμάζεις, φάναι, εἰ τῷ Θεῷ δοκεῖ βέλτιον εἶναι, ἐμὲ τελευτᾷν τὸν βίον ἤδη; οὐκ οἶσθ' ὅτι μέχρι μὲν τοῦδε τοῦ χρόνου ἐγὼ οὐδενὶ ἀνθρώπων ὑφείμην ἂν, οὔτε βέλτιον οὔθ' ἥδιον ἐμοῦ βεβιωκέναι; ἄριστα μὲν γὰρ οἶμαι ζῆν τοὺς ἄριστα ἐπιμελομένους τοῦ ὡς βελτίστους γίγνεσθαι, ἥδιστα δὲ τοὺς μάλιστα αἰσθανομένους ὅτι βελτίους γίγνονται.

ζʹ. Ἃ ἐγὼ μέχρι τοῦδε τοῦ χρόνου ᾐσθανόμην ἐμαυτῷ συμβαίνοντα, καὶ τοῖς ἄλλοις ἀνθρώποις ἐντυγχάνων, καὶ πρὸς τοὺς ἄλλους παραθεωρῶν ἐμαυτὸν, οὕτω διατετέλεκα περὶ ἐμαυτοῦ γιγνώσκων. καὶ οὐ μόνον ἐγὼ, ἀλλὰ καὶ οἱ ἐμοὶ φίλοι οὕτως ἔχοντες περὶ ἐμοῦ διατελοῦσιν· οὐ διὰ τὸ φιλεῖν ἐμὲ, (καὶ γὰρ οἱ τοὺς ἄλλους φιλοῦντες οὕτως ἂν εἶχον πρὸς τοὺς ἑαυτῶν φίλους) ἀλλὰ διότι καὶ αὐτοὶ ἂν οἴονται ἐμοὶ συνόντες βέλτιστοι γίγνεσθαι.

ηʹ. Εἰ

quum modo conarer, mi Hermogenes, meditari defenſionem ad judices, numen adverſatum eſt mihi.

6. Tum ſe dixiſſe: Mira refers. Illum autem, Miraris, ſubjeciſſe, Deo videri potius eſſe, hoc me tempore vivendi finem facere? An neſcis me ad hoc uſque tempus nemini hominum conceſſiſſe, quod vel melius vel jucundius me vixiſſet? nam optime quidem arbitror illos vivere, qui maxime dant operam, ut quam optimi fiant: jucundiſſime vero, qui maxime fieri ſe meliores ſentiunt.

7. Quæ ego hactenus evenire mihi animadverti; ac partim alios homines conveniens, partim meipſum ad alios collatum inſpiciens, ſic de me ſemper ſtatui. Neque tantum ego, ſed amici etiam mihi de me conſtanter ita judicant; non quod me ament, (nam & qui alios amant, ita ſuos in amicos affecti eſſent) ſed quod ſeipſos etiam ex conſuetudine mea quam optimos exiſtiment evadere.

8. Quod

η'. Εἰ δὲ βιώσομαι πλείω χρόνον, ἴσως ἀναγκαῖον ἔσται τὰ τοῦ γήρως ἐπιτελεῖσθαι, καὶ ὁρᾶν τε καὶ ἀκούειν ἧττον, καὶ διανοεῖσθαι χεῖρον, καὶ δυσμαθέστερον καὶ ἐπιλησμονέστερον ἀποβαίνειν, καὶ ὧν πρότερον βελτίων ἦν, τούτων χείρω γίγνεσθαι. ἀλλὰ μὴν ταῦτά γε μὴ αἰσθανομένῳ μὲν ἀβίωτος ἂν εἴη ὁ βίος, αἰσθανόμενον δὲ πῶς οὐκ ἀνάγκη χεῖρόν τε καὶ ἀηδέστερον ζῆν;

θ'. Ἀλλὰ μὴν εἴγε ἀδίκως ἀποθανοῦμαι, τοῖς μὲν ἀδίκως ἐμὲ ἀποκτείνασιν αἰσχρὸν ἂν εἴη τοῦτο. εἰ γὰρ τὸ ἀδικεῖν αἰσχρόν ἐστι, πῶς οὐκ αἰσχρὸν καὶ τὸ ἀδίκως ὁτιοῦν ποιεῖν; ἐμοὶ δὲ τί αἰσχρὸν, τὸ ἑτέρους μὴ δύνασθαι περὶ ἐμοῦ τὰ δίκαια μήτε γνῶναι μήτε ποιῆσαι;

ι'. Ὁρῶ δ' ἔγωγε καὶ τὴν δόξαν τῶν προγεγονότων ἀνθρώπων ἐν τοῖς ἐπιγιγνομένοις οὐχ ὁμοίαν καταλειπομένην τῶν τε ἀδικησάντων καὶ τῶν ἀδικηθέντων. οἶδα δὲ, ὅτι καὶ ἐγὼ ἐπιμελείας τεύξομαι ὑπ' ἀνθρώπων, καὶ ἐὰν νῦν ἀποθάνω, οὐχ ὁμοίως τοῖς ἐμὲ ἀποκτείνασιν.

οἶδα

8. Quod ſi diutius vivam, fortaſſe neceſſarium erit ea confieri, quæ in ſenectutem cadunt, & me minus audire, minus cernere, minus intelligentia valere, ineptiorem ad diſcendum reddi, magiſque oblivioſum, in iis denique deteriorem, in quibus antehac præſtiterim. Atqui hæc ſiquis non ſentiat, eſſet illi ipſa vita minime vitalis; ſin ſentiat, qui fieri poteſt, ut non & pejus & injucundius vivat.

9. Enimvero ſi interficiar injuſte, turpitudo ea in auctores mortis meæ redundabit. Nam ſi turpis ſit injuria, quomodo non turpe ſit injuſte quicquam facere? Qui vero mihi eſſe turpe poſſit, quod alii de me neque cognoſcere neque facere ea poſſint, quæ quidem juſta ſint.

10. Video vero ſuperiorum temporum homines, non eandem poſteris opinionem de ſe reliquiſſe, & qui injuriam fecerunt, & quibus facta fuit injuria. Studia quoque hominum, tametſi jam neci tradar, erga me futura ſcio plane alia, quam erga interfectores meos.

Semper

οἶδα γὰρ ἀεὶ μαρτυρήσεσθαί μοι, ὅτι ἐγὼ ἠδίκησα μὲν οὐδένα πώποτε ἀνθρώπων, οὐδὲ χείρω ἐποίησα, βελτίους δὲ ποιεῖν ἐπειρώμην ἀεὶ τοὺς ἐμοὶ συνόντας. τοιαῦτα μὲν πρὸς Ἑρμογένην τε διελέχθη, καὶ πρὸς τοὺς ἄλλους.

ια΄. Τῶν δὲ Σωκράτην γιγνωσκόντων οἷος ἦν, οἱ ἀρετῆς ἐφιέμενοι πάντες ἔτι καὶ νῦν διατελοῦσι πάντων μάλιστα ποθοῦντες ἐκεῖνον, ὡς ὠφελιμώτατον ὄντα πρὸς ἀρετῆς ἐπιμέλειαν. ἐμοὶ μὲν δὴ (τοιοῦτος ὤν, οἷον ἐγὼ διήγημαι, εὐσεβὴς μὲν οὕτως, ὥστε μηδὲν ἄνευ τῆς τῶν Θεῶν γνώμης ποιεῖν· δίκαιος δὲ, ὥστε βλάπτειν μὲν μηδὲ μικρὸν μηδένα, ὠφελεῖν δὲ τὰ μέγιστα τοὺς χρωμένους ἑαυτῷ· ἐγκρατὴς δὲ, ὥστε μηδέ ποτε προαιρεῖσθαι τὸ ἥδιον ἀντὶ τοῦ βελτίονος· φρόνιμος δὲ, ὥστε μὴ διαμαρτάνειν κρίνων τὰ βελτίω καὶ τὰ χείρω, μηδὲ ἄλλου προσδεῖσθαι, ἀλλὰ αὐτάρκης εἶ πρὸς τὴν τούτων γνῶσιν, ἱκανὸς δὲ καὶ λόγῳ εἰπεῖν τε καὶ διορίσασθαι τὰ

Semper enim teſtimonio mihi futuros ſcio, quod nullum unquam hominum læſerim neque deteriorem reddiderim; ſed potius operam perpetuo dederim, ut familiares meos meliores efficerem. Hujuſmodi tum ad Hermogenem tum ad alios diſſeruit.

11. Quotquot autem ex iis qui virtutis ſtudioſi ſunt, novere Socratem, etiam nunc eum cum maximo deſiderio expetant, ut qui ad virtutis ſtudium utiliſſimus fuerit. Mihi quidem (quum talis eſſet, qualem commemoravi, nimirum adeo religioſus, ut ſine Deorum conſilio nihil ageret; adeo juſtus, ut nemini ne quidem exigua in re noceret, prodeſſet autem iis maxime, qui eo uterentur; adeo temperans, ut nunquam id quod jucundius eſſet meliori anteponeret; adeo prudens, ut in melioribus ac pejoribus dijudicandis non erraret, neque alterius ad hoc opera egeret, ſed ipſe ſibi ad cognitionem horum ſufficeret, & oratione proferre ac definire

τὰ τοιαῦτα, ἱκανὸς δὲ καὶ ἄλλους δοκιμάσαι τε καὶ ἁμαρτάνοντας ἐξελέγξαι, καὶ προτρέψασθαι ἐπ' ἀρετὴν καὶ καλοκἀγαθίαν) ἐδόκει τοιοῦτος εἶναι, οἷος ἂν εἴη ἄριστός γε ἀνὴρ, καὶ εὐδαιμονέστατος. εἰ δέ τῳ μὴ ἀρέσκει ταῦτα, παραβάλλων τὸ ἄλλων ἦθος πρὸς ταῦτα, οὕτω κρινέτω.

ΞΕΝΟ-

hujuſmodi poſſet, atque etiam alios explorare, delinquentes arguere, ad virtutem ac honeſtatem hortari:) ejuſmodi vir eſſe viſus eſt, qualis eſſe poſſit optimus & feliciſſimus. Quod ſi hoc alicui non probatur, comparatis aliorum ad hæc moribus, ita deinde judicium faciat.

XENO-

ΞΕΝΟΦΩΝΤΟΣ

ΣΩΚΡΑΤΟΥΣ ΑΠΟΛΟΓΙΑ

ΠΡΟΣ ΤΟΥΣ ΔΙΚΑΣΤΑΣ.

Σωκράτους δὲ ἄξιόν μοι δοκεῖ εἶναι μεμνῆσθαι, καὶ ὡς, ἐπειδὴ ἐκλήθη εἰς τὴν δίκην, ἐβουλεύσατο περί τε τῆς ἀπολογίας καὶ τῆς τελευτῆς τοῦ βίου. γεγράφασι μὲν περὶ τούτου καὶ ἄλλοι, καὶ πάντες ἔτυχον τῆς μεγαληγορίας αὐτοῦ, ᾧ καὶ δῆλον, ὅτι τῷ ὄντι οὕτως ἐρρήθη ὑπὸ Σωκράτους. ἀλλ' ὅτι ἤδη ἑαυτῷ ἡγεῖτο αἱρετώτερον εἶναι τοῦ βίου θάνατον, τοῦτο οὐ διεσαφήνισαν· ὥστε ἀφρονεστέρα αὐτοῦ φαίνεται εἶναι ἡ μεγαληγορία.

β'. Ἑρμογένης μέντοι ὁ Ἱππονίκου, ἑταῖρός τε ἦν αὐτοῦ,

καὶ

XENOPHONTIS

SOCRATICA DEFENSIO

AD JUDICES.

Operæ pretium eſſe duco, mentionem à me fieri, etiam quo pacto Socrates, quum in judicium vocatus eſſet, tam de purgatione ſui, quam exitu vitæ conſultaverit. De quo quidem & alii perſcripſerunt, & omnes magniloquentiam ejus ſunt aſſecuti; unde patet, revera Socratem ſic fuiſſe locutum. Non tamen declararunt, quod mortem ſibi vitæ præferendã duxerit; quo fit, ut illa verborum magnificentia minus prudens fuiſſe videatur.

2. Hermogenes autem Hipponici filius, familiaris erat Socrati,

&

καὶ ἐξήγγελλε περὶ αὐτοῦ τοιαῦτα, ὥστε πρέπειν φαίνεσθαι τὴν μεγαληγορίαν αὐτοῦ τῇ διανοίᾳ. ἐκεῖνος γὰρ ἔφη, ὁρῶν αὐτὸν περὶ πάντων μᾶλλον διαλεγόμενον, ἢ περὶ τῆς δίκης, εἰπεῖν·

γʹ. Οὐκ ἐχρῆν μέντοι σκοπεῖν, ὦ Σώκρατες, καὶ ὅ,τι ἀπολογήσῃ; τὸν δὲ τοπρῶτον ἀποκρίνασθαι· οὐ δοκῶ σοι ἀπολογεῖσθαι μελετῶν διαβεβιωκέναι; ἔπειτα δ᾽ αὐτὸν ἐρέσθαι, πῶς; ὅτι οὐδὲν ἄδικον διαγεγένημαι ποιῶν, ἥπερ νομίζω μελέτην εἶναι καλλίστην ἀπολογίας.

δʹ. Ἐπεὶ δὲ αὐτὸν πάλιν λέγειν· οὐχ ὁρᾷς τὰ Ἀθηναίων δικαστήρια, ὡς πολλάκις μὲν οὐδὲν ἀδικοῦντας, λόγῳ παραχθέντες ἀπέκτειναν· πολλάκις δὲ ἀδικοῦντας, ἢ ἐκ τοῦ λόγου οἰκτίσαντας, ἢ ἐπιχαρίτως εἰπόντας ἀπέλυσαν; ἀλλὰ ναὶ μὰ Δία (φάναι αὐτὸν) καὶ δὶς ἤδη ἐπιχειρήσαντός μου σκοπεῖν περὶ τῆς ἀπολογίας, ἐναντιοῦταί μοι τὸ δαιμόνιον.

εʹ. Ὡς δὲ αὐτὸν εἰπεῖν, θαυμαστὰ λέγεις· τὸν δ᾽ αὖ ἀποκρί-

& de eo talia protulit; ut illa magniloquentia videatur ejus consilio recte convenisse. Nam is, quum videret ipsum de quavis alia re potius, quam de causa sua disserere, dixisse se ait:

3. Nonne par erat, mi Socrates, ut considerares, qua tibi utendum sit defensione? Tum illum primo respondisse: Non defendere tibi videor, quum me vitæ cursum peregisse meditor? Rogasse deinde se: Qui sic? Quod nihil iniqui unquam in vita perpetraverim, quam defensionis meditationem honestissimam esse arbitror.

4. Quumque ipse rursum dixisset: Annon vides in Atheniensium judiciis sæpe judices oratione commotos interfecisse insontes; sæpe vero sontes, quum vel oratione commiserationem movissent, vel magna cum gratia causam egissent, absolvisse? At mihi profecto, dixisse illum, bis jam conanti de purgatione considerare, numen adversatur.

5. Heic quum ipse diceret, mira quædam ab eo proferri: respondisse

ἀποκρίνασθαι, Ἢ θαυμαστὸν νομίζεις, εἰ καὶ τῷ Θεῷ δοκεῖ ἐμὲ βέλτιον εἶναι ἤδη τελευτᾶν; οὐκ οἶσθα, ὅτι μέχρι μὲν τοῦδε οὐδενὶ ἀνθρώπων ὑφείμην βέλτιον ἐμοῦ βεβιωκέναι; ὅπερ γὰρ ἥδιστόν ἐστιν ᾔδειν, ὁσίως μοι καὶ δικαίως ἅπαντα τὸν βίον βεβιωμένον· ὥστε ἰσχυρῶς ἀγάμενος ἐμαυτὸν, ταυτὰ εὕρισκον καὶ τοὺς ἐμοὶ συγγιγνομένους γιγνώσκοντας περὶ ἐμοῦ.

ς'. Νῦν δὲ εἰ ἔτι προβήσεται ἡ ἡλικία, οἶδ' ὅτι ἀνάγκη ἔσται τὰ τοῦ γήρως ἀποτελεῖσθαι, καὶ ὁρᾷν τε χεῖρον, καὶ ἀκούειν ἧττον, καὶ δυσμαθέστερον εἶναι, καὶ ὧν ἔμαθον ἐπιλησμονέστερον. Ἢν δὲ αἰσθάνωμαι χείρων γιγνόμενος, καὶ καταμέμφωμαι ἐμαυτὸν, πῶς ἂν εἴποιμι ἐγὼ ὅτι ἂν ἡδέως βιοτεύοιμι.

ζ'. Ἴσως δέ τοι (φάναι αὐτὸν) καὶ ὁ Θεὸς δι' εὐμένειαν προξενεῖ μοι, οὐ μόνον τὸ ἐν καιρῷ τῆς ἡλικίας καταλῦσαι τὸν βίον, ἀλλὰ καὶ τὸ ᾗ ῥᾷστα. Ἢν γὰρ νῦν * κατακριθῇ μοι, δῆλον ὅτι ἐξέσται μοι τῇ τελευτῇ χρῆσθαι, ἣ ῥᾴστη

μὲ

se illum, Tune mirandum putas, si etiam Deo videatur præstare, ut jam moriar? An nescis nulli me hominum ad hunc usque diem concessisse, quod melius me vixisset? nam quod jucundissimum est id sciebam, vitam à me omnem sancte ac juste transactam: adeo ut & valde meipsum admirarer, & animadverterem etiam familiares meos idem de me sentire.

6. At si nunc ætas mea progrediatur ulterius, scio necessarium esse, ut quæ senectutis sunt, eveniant; nimirum ut pejus videam, minus audiam, ad discendum minus idoneus sim, eorum vero, quæ didicerim, facilius obliviscar. Jam si animadvertam, deteriorem me fieri, & meipsum accusarem: qui dicere possim, me jucunde victurum?

7. Fortassis etiam (inquit) Deus ipse hoc mihi quadam ex benignitate præstat, ut non solum opportuno ætatis tempore vivendi finem faciam, sed etiam quam facillime. Nam si modo condemnatus fuero, patet, posse me uti mortis genere, quod lenissimum

esse

μὴ ὑπὸ τῶν τούτου ἐπιμεληθέντων κέκριται, ἀπραγμονεστάτη δὲ τοῖς φίλοις, πλεῖστον δὲ πόθον ἐμποιοῦσα τῷ τελευτῶντι. ὅταν γὰρ ἄσχημον μὲν μηδέν, μηδὲ δυσχερὲς ἐν ταῖς γνώμαις τῶν παρόντων καταλείπηται, ὑγιὲς δέ τις τὸ σῶμα ἔχων καὶ τὴν ψυχὴν δυναμένην φιλοφρονεῖσθαι ἀπομαραίνηται, πῶς οὐκ ἀνάγκη τοῦτο ποθεινὸν εἶναι;

η'. Ὀρθῶς δὲ οἱ Θεοὶ τότε μου ἐναντιοῦντο (φάναι αὐτὸν) τῇ τοῦ λόγου ἐπισκέψει, ὅτε ἐδόκει ἡμῖν ζητητέα εἶναι ἐκ παντὸς τρόπου τὰ ἀποφευκτικά. εἰ γὰρ τοῦτο διεπραξάμην, δῆλον ὅτι ἐτοιμασάμην ἂν ἀντὶ τοῦ ἤδη λῆξαι τοῦ βίου, ἢ νόσοις ἀλγυνόμενος τελευτῆσαι, ἢ γήρᾳ, εἰς ὃ πάντα τὰ χαλεπὰ συῤῥεῖ, καὶ μάλα ἔρημα τῶν εὐφροσυνῶν.

θ'. Μὰ Δί' (εἰπεῖν αὐτὸν) ὦ Ἑρμόγενες, ἐγὼ ταῦτα οὐδὲ προθυμήσομαι· ἀλλ' ὅσων νομίζω τετυχηκέναι καλῶν καὶ παρὰ Θεῶν καὶ παρ' ἀνθρώπων, καὶ ἣν ἐγὼ δόξαν ἔχω περὶ ἐμαυτοῦ, ταύτην ἀναφαίνων, εἰ βαρυνῶ τοὺς

esse judicatum sit ab iis, quibus hoc curæ fuit, minimumque negotii sit exhibiturum amicis, ac morienti maximum indat desiderium. Quippe quum nihil indecori, neque offensionis aliquid in animis eorum, qui adsunt, relinquitur; & ita quispiam extinguitur, ut & sanum habeat corpus, & animum benigne agere potentem: qui non necesse est, ut hoc sit optabile?

8. Recte autem Dii tunc adversabantur (inquit) cogitationibus meis, quum nobis viderentur omni modo effugiendi rationes esse quærendæ. Nam si hoc perfecissem, nimirum comparassem mihi, ut pro eo quod nunc è vita excedendum est, vel morbis excruciatus ipsam clauderem, vel senectute, ad quam omnia molesta, planeque à gaudiis secreta confluunt.

9. Equidem, mi Hermogenes, (inquit) hæc profecto non expetam: sed si ea commemorans, quæ consecutum me præclare tum à Diis tum ab hominibus puto, quæque mea sit de meipso opinio, gravis judicibus ero; mortem potius

τοὺς δικαστὰς, αἱρήσομαι τελευτᾶν μᾶλλον, ἢ ἀνελευθέρως τὸ ζῆν ἔτι προσαιτῶν, κερδᾶναι τὸ πολὺ χείρω βίον ἀντὶ θανάτου.

ι'. Οὕτως δὲ γνόντα αὐτὸν ἔφη εἰπεῖν, ἐπειδὴ κατηγόρησαν αὐτοῦ οἱ ἀντίδικοι, ὡς οὓς μὲν ἡ πόλις νομίζει θεοὺς, οὐ νομίζοι, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέροι, καὶ τοὺς νέους διαφθείροι, παρελθόντα εἰπεῖν·

ια'. Ἀλλ' ἐγὼ, ὦ ἄνδρες, τοῦτο μὲν πρῶτον θαυμάζω Μελίτου, ὅτῳ ποτὲ γνοὺς λέγει, ὡς ἐγὼ οὓς ἡ πόλις νομίζει θεοὺς, οὐ νομίζω· ἐπεὶ θύοντά γέ με ἐν ταῖς κοιναῖς ἑορταῖς, καὶ ἐπὶ τῶν δημοσίων βωμῶν, καὶ οἱ ἄλλοι οἱ παρατυγχάνοντες ἑώρων, καὶ αὐτὸς Μέλιτος, εἰ ἠβούλετο.

ιβ'. Καινά γε μὴν δαιμόνια πῶς ἂν ἐγὼ εἰσφέροιμι λέγων, ὅτι θεοῦ μοι φωνὴ φαίνεται σημαίνουσα, ὅ, τι χρὴ ποιεῖν; καὶ γὰρ οἱ φθόγγοις οἰωνῶν, καὶ οἱ φήμαις ἀνθρώπων χρώμενοι, φωναῖς δήπου τεκμαίρονται. βροντὰς μὲν ἀμφιλέξει τις, ἢ μὴ φωνεῖν, ἢ μὴ μέγιστον οἰωνιστήριον εἶναι;

ἢ

potius eligam, quam ut, parum ingenue vitam longiorem emendicando, pro morte vitam multo deteriorem lucrer.

10. At illum ita statuentem tradit dixisse, quum jam accusassent eum adversarii, quod quos civitas pro Diis haberet, ipse non haberet, aliosque Deos novos introduceret, ac juventutem corrumperet, tunc (inquam) accedentem dixisse:

11. Ego vero, O viri, primum hoc miror, unde unquam Melitus hoc animadverterit, quod ait me, quos Deos existimet civitas, non existimare. Nam sacrificantem me communibus festis, & in aris publicis, tum alii præsentes videbant, tum Melitus ipse, si quidem voluit.

12. Nova vero numina quo pacto ego introducerem, dum dico, Dei quidem vocem mihi obversari, denuntiantem quid sit agendum? Nam qui garritu avium, & hominum utuntur ominibus, ex vocibus conjecturas sumunt. De tonitruis an aliquis dubitet, num vocem edant, vel maximum sint augurium?

ἡ δὲ Πυθοῖ ἐν τῷ τρίποδι ἱέρεια, οὐ καὶ αὐτὴ φωνῇ τὰ παρὰ τοῦ Θεοῦ διαγγέλλει.

ιγ'. Ἀλλὰ μέντοι καὶ τὸ προειδέναι γε τὸν Θεὸν τὸ μέλλον, καὶ τὸ προσημαίνειν ᾧ βούλεται, καὶ τοῦτο ὥσπερ ἐγώ φημι, οὕτω πάντες καὶ λέγουσι καὶ νομίζουσιν. ἀλλ' οἱ μὲν οἰωνούς τε, καὶ φήμας, καὶ συμβόλους τε, καὶ μάντεις ὀνομάζουσι τοὺς ★ προσημαίνοντας εἶναι· ἐγὼ δὲ τοῦτο δαιμόνιον καλῶ, καὶ οἶμαι οὕτως ὀνομάζων, καὶ ἀληθέστερα καὶ ὁσιώτερα λέγειν τῶν τοῖς ὄρνισιν ἀνατιθέντων τὴν τῶν θεῶν δύναμιν. ὥς γε μὴν οὐ ψεύδομαι κατὰ τοῦ Θεοῦ, καὶ τοῦτ' ἔχω τεκμήριον. καὶ γὰρ τῶν φίλων πολλοῖς δὴ ἐξαγγείλας τὰ τοῦ Θεοῦ συμβουλεύματα, οὐδεπώποτε ψευσάμενος ἐφάνην.

ιδ'. Ἐπεὶ δὲ ταῦτα ἀκούοντες οἱ δικασταὶ ἐθορύβουν, οἱ μὲν ἀπιστοῦντες τοῖς λεγομένοις, οἱ δὲ καὶ φθονοῦντες, εἰ καὶ παρὰ Θεῶν μειζόνων ἢ αὐτοὶ τυγχάνοι, πάλιν εἰπεῖν τὸν Σωκράτην· ἄγε δή, ἀκούσατε καὶ ἄλλα, ἵνα ἔτι μᾶλλον οἱ βουλόμενοι ὑμῶν ἀπιστῶσι τῷ ἐμὲ τετιμῆσθαι ὑπὸ δαιμόνων. Χαιρε-

Sacerdos item in tripode Pythia, nonne & ipsa voce, quæ habet à Deo, enunciat.

13. Enimvero Deum futuri præscium esse, ac significare futura cui velit, omnes haud aliter atque ego, tum dicunt tum existimant. Sed alii auguria, & omina, & conjectores, & vates appellant eos, qui futura significant. Ego vero numen hoc appello, meque arbitror, dum sic voco, veriora magisque pia dicere, quam ii, qui avibus divinam potestatem attribuunt. At qui non mentiri me contra Deum, hoc etiam habeo argumentum. Nam licet amicis plerisque consulta numinis enunciaverim, nunquam tamen mendax evaderem.

14. Hæc ubi judices audientes tumultuarentur, quia partim dictis fidem non haberent, partim inviderent ei, quod consequeretur à Diis majora quam ipsi; rursum dixisse Socratem: Age vero, alia quoque audite, ut magis etiam ex vobis illi, qui volent, divinitus honorem mihi tributum non credant. Nam

Χαιρεφῶντος γάρ ποτε ἐπερωτῶντος ἐν Δελφοῖς περὶ ἐμοῦ, πολλῶν παρόντων, ἀνεῖλεν ὁ Ἀπόλλων, μηδένα εἶναι ἀνθρώπων, ἐμοῦ μήτε ἐλευθεριώτερον μήτε δικαιότερον μήτε σωφρονέστερον.

ιέ. Ὡς δ' αὖ ταῦτ' ἀκούσαντες οἱ δικασταὶ ἔτι μᾶλλον ἐθορύβουν εἰκότως, αὖθις εἰπεῖν τὸν Σωκράτην· Ἀλλὰ μείζω μὲν, ὦ ἄνδρες, εἶπεν ὁ Θεὸς ἐν χρησμοῖς περὶ Λυκούργου τοῦ Λακεδαιμονίοις νομοθετήσαντος, ἢ περὶ ἐμοῦ, λέγεται γὰρ εἰς τὸν ναὸν εἰσιόντα προσειπεῖν αὐτὸν, Φροντίζω πότερα Θεόν σε εἴπω, ἢ ἄνθρωπον. ἐμὲ δὲ Θεῷ μὲν οὐκ εἴκασεν, ἀνθρώπων δὲ πολλῷ προέκρινεν ὑπερφέρειν· ὅμως δὲ ὑμεῖς μηδὲ ταῦτα εἰκῇ πιστεύσητε τῷ Θεῷ, ἀλλὰ καθ' ἓν ἕκαστον ἐπισκοπῆτε ὧν εἶπεν ὁ Θεός.

ις'. Τίνα μὲν γὰρ ἐπίστασθε ἧττον ἐμοῦ δουλεύοντα ταῖς τοῦ σώματος ἐπιθυμίαις; τίνα δὲ ἀνθρώπων ἐλευθεριώτερον; ὃς παρ' οὐδενὸς οὔτε δῶρα, οὔτε μισθὸν δέχομαι· δικαιότερον δὲ τίνα ἂν εἰκότως νομίσητε τοῦ πρὸς τὰ παρόντα

συνηρ-

Nam quum Chærephon aliquando Delphis oraculum de me sciscitaretur in multorum præsentia, respondit Apollo, neminem hominum esse me vel liberaliorem, vel justiorem, vel prudentiorem.

15. Posteaquam his etiam auditis judices magis tumultuarentur, ut par erat, rursus dixisse Socratem? Atqui majora, ô viri, Deus ille de Lycurgo, qui Lacedæmoniis leges tulit, quam de me, oraculis prodidit. Fertur enim eum ingredientem fanum sic allocutus esse: Cogito equidem, num te Deum appellem, an hominem. Me vero Deo quidem non comparavit, sed hominibus tamen plurimum præstare censuit. Nihilominus vos ne in his quidem Deo temere fidem habueritis, sed singillatim ea quæ de me prodidit, considerate.

16. Quem enim minus me cupiditatibus corporis servire nostis? quem liberaliorem? qui à nemine neque munera, neque mercedem accipio. Quem vero justiorem merito existimetis eo, qui sic ad præsentia semet

accom-

συνηρμοσμένον, ὡς τῶν ἀλλοτρίων μηδενὸς προσδεῖσθαι; σοφὸν δὲ πῶς οὐκ ἄν τις εἰκότως ἄνδρα φήσειεν εἶναι, ὃς ἐξ ὅτου περ ξυνιέναι τὰ λεγόμενα ἠρξάμην, οὐ πώποτε διέλιπον καὶ ζητῶν καὶ μανθάνων ὅ,τι ἐδυνάμην ἀγαθόν;

ιζ΄. Ὡς δὲ οὐ μάτην ἐπόνουν, οὐ δοκεῖ ὑμῖν καὶ τάδε τεκμήρια εἶναι· τὸ πολλοὺς μὲν πολίτας τῆς ἀρετῆς ἐφιεμένων, πολλοὺς δὲ ξένους, ἐκ πάντων προαιρεῖσθαι ἐμοὶ ξυνεῖναι; ἐκείνου δὲ τί φήσομεν αἴτιον εἶναι, τοῦ πάντας εἰδέναι, ὅτι ἐγὼ ἥκιστα ἔχοιμι χρήματα ἀντιδιδόναι, ὅμως πολλοὺς ἐπιθυμεῖν ἐμοί τι δωρεῖσθαι; τὸ δέ, ἐμὲ μὲν μηδ' ὑφ' ἑνὸς ἀπαιτεῖσθαι εὐεργεσίαν, ἐμοὶ δὲ πολλοὺς ὁμολογεῖν χάριτας ὀφείλειν;

ιη΄. Τὸ δ' ἐν τῇ πολιορκίᾳ τοὺς μὲν ἄλλους οἰκτείρειν ἑαυτούς, ἐμὲ δὲ μηδὲν ἀπορώτερον διάγειν, ἢ ὅτε καὶ μάλιστα ἡ πόλις εὐδαιμονεῖ; τὸ δέ, τοὺς ἄλλους μὲν τὰς εὐπαθείας ἐκ τῆς ἀγορᾶς πολυτελεῖς ποιεῖσθαι, ἐμὲ δὲ ἐκ τῆς ψυχῆς ἄνευ δαπάνης ἡδίους ἐκείνων μηχανᾶσθαι;

εἴγε

accommodat, ut alienæ rei nullius egeat? Et ſapientem illum virum quis merito non dixerit, qui ex quo tempore intelligere, quæ dicebantur, cæpi; nunquam intermiſi tum inquirere, tum diſcere, quicquid boni poteram?

17. At minime fruſtra me laboraſſe, annon & illa vobis argumento eſſe videntur? Quod multi cives ex iis qui virtutis ſtudioſi ſunt, multi etiam exteri, mea conſuetudine præ omnibus uti maluerint? (Quid eſſe dicemus in cauſa, quod quum omnes norint, minime mihi facultates eſſe ad remunerandum, nihilominus multi cupiant aliquid mihi donare?) Quod à me nemo beneficium repoſcit, quum complures ſe mihi gratias debere fateantur?

18. Quod in obſidione ſuam deplorarunt ſortem alii, quum ego degerem nihilo magis indigentior, quam quum maxime beata civitas eſſet? Quod alii delicias è foro ingenti pretio mercantur, ego ſine ſumptu ſuaviores illis ex animo meo comparo?

Quod

εἴγε μὴν ὅσα εἴρηκα περὶ ἐμαυτοῦ, μηδεὶς δύναιτ' ἂν ἐξελέγξαι με ὡς ψεύδομαι, πῶς οὐκ ἂν ἤδη δικαίως καὶ ὑπὸ Θεῶν καὶ ὑπ' ἀνθρώπων ἐπαινοίμην;

ιθ'. Ἀλλ' ὅμως σύ με φής, ὦ Μέλιτε, τοιαῦτα ἐπιτηδεύοντα τοὺς νέους διαφθείρειν; καίτοι ἐπιστάμεθα μὲν δήπου, τίνες εἰσὶ νέων διαφθοραί. σὺ δὲ εἰπέ, εἴ τινα οἶσθα ὑπ' ἐμοῦ γεγενημένον, ἢ ἐξ εὐσεβοῦς ἀνόσιον, ἢ ἐκ σώφρονος ὑβριστήν, ἢ ἐξ εὐδιαίτου πολυδάπανον, ἢ ὡς ἐκ μετριοπότου οἰνόφλυγα, ἢ ἐκ φιλοπόνου μαλακόν, ἢ ἄλλης πονηρᾶς ἡδονῆς ἡττημένον.

κ'. Ἀλλὰ ναὶ μὰ Δία (ἔφη ὁ Μέλιτος) ἐκείνους οἶδα, οὓς σὺ πέπεικας σοὶ πείθεσθαι μᾶλλον ἢ τοῖς γειναμένοις. ὁμολογῶ (φάναι τὸν Σωκράτην) περί γε παιδείας. τοῦτο γὰρ ἴσασιν ἐμοὶ μεμεληκός. περὶ δὲ ὑγιείας τοῖς ἰατροῖς μᾶλλον οἱ ἄνθρωποι πείθονται, ἢ τοῖς γονεῦσι· καὶ ἐν ταῖς ἐκκλησίαις γε πάντως οἱ Ἀθηναῖοι πάντες δήπου τοῖς φρονιμώτατα λέγουσι

πείθον-

Quod si nemo in iis, quæcunque de me ipso dixi, redarguere mendacii me potest: cur non merito tum à Diis tum ab hominibus lauder?

19. Sed nihilominus dicis tu, Melite, me his utentem institutis corrumpere juvenes? Atqui novimus certe, quæ juvenum corruptelæ sunt. Tu dicito, an quem per me scias vel ex religioso impium, vel ex modesto petulantem, vel ex frugi sumptuosum, vel ex sobrio vinosum, vel ex laborum tolerante mollem factum, vel ab alia voluptate prava superatum.

20. At ego profecto (ait Melitus) novi eos, qui abs te persuasi sunt, ut tibi magis obtemperarent, quam parentibus. Equidem hoc (inquit Socrates) de institutione fateor. Sciunt enim, hanc meam fuisse curam. De valetudine vero medicis potius homines, quam parentibus obtemperant: & in concionibus omnino Athenienses universi potius iis qui prudentissime dicunt,

quam

πείθονται μᾶλλον, ἢ τοῖς προσήκουσι. καὶ γὰρ δὴ καὶ στρατηγοὺς αἱρεῖσθε καὶ πρὸ πατέρων, καὶ ἀδελφῶν, καὶ ναὶ μὰ Δία γε ὑμεῖς πρὸ ὑμῶν αὐτῶν, οὓς ἂν ἡγῆσθε περὶ τῶν πολεμικῶν φρονιμωτάτους εἶναι; οὕτω γὰρ (φάναι τὸν Μέλιτον) ὦ Σώκρατες, καὶ συμφέρει καὶ νομίζεται.

κα'. Οὐκοῦν (εἰπεῖν τὸν Σωκράτην) θαυμαστὸν καὶ τοῦτό σοι δοκεῖ εἶναι, τὸ ἐν μὲν ταῖς ἄλλαις πράξεσι μὴ μόνον ἰσομοιρίας τυγχάνειν τοὺς κρατίστους, ἀλλὰ καὶ προτετιμῆσθαι· ἐμὲ δὲ, ὅτι περὶ τοῦ μεγίστου ἀγαθοῦ ἀνθρώποις, περὶ παιδείας, βέλτιστος εἶναι ὑπό τινων προκρίνομαι, τούτου ἕνεκα θανάτου ὑπὸ σοῦ διώκεσθαι;

κβ'. Ἐρρήθη μὲν δηλονότι τούτων πλείονα ὑπό τε αὐτοῦ, καὶ τῶν συναγορευόντων φίλων αὐτοῦ. ἀλλ' ἐγὼ οὐ τὰ πάντα εἰπεῖν τὰ ἐκ τῆς δίκης ἐσπούδασα, ἀλλ' ἤρκεσέ μοι δηλῶσαι, ὅτι Σωκράτης τὸ μὲν μήτε περὶ Θεοὺς ἀσεβῆσαι, μήτε περὶ ἀνθρώπους ἄδικος φανῆναι, περὶ παντὸς ἐποιεῖτο.

κγ'. Τὸ

quam necessariis suis parent. Annon in delectu Imperatorum, & parentibus vestris, & fratribus, & vero vobis ipsis antefertis eos, quos existimatis rerum bellicarum peritissimos esse? Nimirum, ô Socrates, (inquit Melitus) & expedit ita, & usu receptum est.

21. Annon igitur, (subjecit Socrates) mirum hoc tibi videtur esse, quod quum in actionibus cæteris præstantissimi quique non solum pares aliis sint, sed etiam præferantur; ego quia maximo in hominum bono, quod institutionis est, quorundam opinione cæteris præstare judicer, capitis abs te anquirar?

22. Fuerunt autem plura scilicet his dicta, cum ab ipso tum ab amicis, qui ejus caussæ patrocinabantur. Sed mihi non omnia recensere, quæ in judicio fuere dicta, studio fuit: sed satis habui ostendere, Socratem nihil fecisse pluris, quam quod nec in Deos impium, nec in homines injustum se gessisset.

23. Quo-

κγ'. Τὸ δὲ μὴ ἀποθανεῖν, οὐκ ᾤετο λιπαρητέον εἶναι, ἀλλὰ καὶ καιρὸν ἤδη ἐνόμισεν ἑαυτῷ τελευτᾶν. ὅτι δὲ οὕτως ἐγίγνωσκε, καταδηλότερον ἐγένετο, ἐπεὶ καὶ ἡ δίκη κατεψηφίσθη. πρῶτον μὲν γὰρ κελευόμενος ὑποτιμᾶσθαι, οὔτε αὐτὸν ὑπετιμήσατο, οὔτε τοὺς φίλους εἴασεν, ἀλλὰ καὶ ἔλεγεν, ὅτι τὸ ὑποτιμᾶσθαι ὁμολογοῦντος εἴη ἀδικεῖν. ἔπειτα τῶν ἑταίρων ἐκκλέψαι βουλομένων αὐτὸν, οὐκ ἐφείπετο, ἀλλὰ καὶ ἐπισκῶψαι ἐδόκει, ἐρόμενος εἴ που εἰδεῖεν τι χωρίον ἔξω τῆς Ἀττικῆς, ἔνθα οὐ προσβατὸν θανάτῳ.

κδ'. Ὡς δὲ τέλος εἶχεν ἡ δίκη, εἰπεῖν αὐτόν· ἀλλ', ὦ ἄνδρες, τοὺς μὲν διδάσκοντας τοὺς μάρτυρας, ὡς χρὴ ἐπιορκοῦντας καταψευδομαρτυρεῖν ἐμοῦ, καὶ τοὺς πειθομένους τούτοις, ἀνάγκη ἐστὶ πολλὴν ἑαυτοῖς συνειδέναι ἀσέβειαν καὶ ἀδικίαν. ἐμοὶ δὲ τί προσήκει νῦν μεῖον φρονεῖν, ἢ πρὶν κατακριθῆναι, μηδὲν ἐλεγχθέντι, ὡς πεποίηκά τι ὧν ἐγράψαντό με; οὔτε γὰρ ἔγωγε ἀντὶ

Διὸς

23. Quominus autem morte afficeretur, minime sibi deprecandum putabat; adeoque sibi jam opportunum esse moriendi tempus arbitrabatur. Eum vero ita sensisse, magis patuit, postquam judicio condemnatus fuit. Primum enim jussus mulctam exsolvere, neque de suo eam solvit, neque amicos passus est, immo dicebat, mulctæ solutionem ejus esse, qui se injuste fecisse fateretur. Deinde quum familiares eum surripere vellent, non obsequebatur; immo ridere illos videbatur, dum quæreret, ecquem alicubi locum extra Atticam scirent, quo mors non posset accedere?

24. Ut judicio finis impositus est, dixisse illum: Necesse est eos, ô viri, qui testes docuerunt, ut pejerando falsum adversus me testimonium dicerent, una cum illis, qui paruerunt, magnæ sibi tum impietatis tum injustitiæ conscios esse. Me vero cur animo dejectiore nunc esse conveniat, quam ante condemnationem; quum non sim convictus, quidquam eorum fecisse, ob quæ illi me accusarunt? Nec

enim

Διὸς καὶ Ἥρας, καὶ τῶν σὺν τούτοις Θεῶν, οὔτε θύων τισὶ καινοῖς δαίμοσιν, οὔτε ὀμνὺς, οὔτε ὀνομάζων ἄλλους Θεοὺς ἀναπέφηνα.

κε'. Τοὺς γε μὴν νέους πῶς ἂν διαφθείροιμι, καρτερίαν καὶ εὐτέλειαν προσεθίζων; ἐφ' οἷς γε μὴν ἔργοις κεῖται θάνατος ἡ ζημία, ἱεροσυλίαι, τοιχωρυχίαι, ἀνδραπόδισις, πόλεως προδοσία, οὐδ' αὐτοὶ οἱ ἀντίδικοι τούτων πρᾶξαί τι κατ' ἐμοῦ φασιν. ὥστε θαυμαστὸν ἔμοιγε δοκεῖ εἶναι, ὅπως ποτὲ ἐφάνη ὑμῖν τὸ τοῦ θανάτου ἔργον ἐμοὶ ἄξιον.

κς'. Ἀλλ' οὐδὲ μέντοι ὅτι ἀδίκως ἀποθνήσκω, διὰ τοῦτο μεῖον φρονητέον. οὐ γὰρ ἐμοὶ, ἀλλὰ τοῖς καταγνοῦσι τοῦτο αἰσχρόν ἐστι. παραμυθεῖται δ' ἔτι με καὶ Παλαμήδης, ὁ παραπλησίως ἐμοὶ τελευτήσας. ἔτι γὰρ καὶ νῦν πολὺ καλλίους ὕμνους παρέχεται Ὀδυσσέως τοῦ ἀδίκως ἀποκτείναντος αὐτόν. οἶδ' ὅτι καὶ ἐμοὶ μαρτυρήσεται ὑπό τε τοῦ ἐπιόντος, καὶ ὑπὸ τοῦ παρεληλυθότος χρόνου, ὅτι ἠδίκησα μὲν

οὐδένα

enim pro Jove, Junone, & Diis præter hos cæteris, me aut ſacra novis aliquibus Diis feciſſe, aut alios Deos juraſſe, aut denique nominaſſe compertum eſt.

25. Juvenes autem quo pacto corrumperem, ad tolerantiam & frugalitatem eos aſſuefaciens? Quibus quidem facinoribus mors in pœnam conſtituta eſt, ut ſunt ſacrilegia, parietum perfoſſiones, plagium, urbis proditio; eorum aliquid à me fieri, ne ipſi quidem adverſarii objiciunt: adeo ut mirandum mihi eſſe videatur, ubi unquam in me rem morte dignam conſpexiſtis.

26. Sed nec illa quidem de cauſa, quod injuſte occidar, animo eſſe dejectiore debeo. Non enim hoc mihi, ſed iis, qui me condemnarunt, dedecori eſt. Præterea me Palamedes conſolatur, qui ſimili fere modo obiit. Nam is etiam nunc longe pulcriorem hymnorum materiem ſuppeditat, quam Ulyſſes, qui eum injuſte occidit. Et ſcio non modo futurum ſed & præteritum tempus teſtimonium mihi perhibiturum, neminem me

unquam

οὐδένα πώποτε, οὐδὲ πονηρότερον ἐποίησα. εὐεργέτουν δὲ τοὺς ἐμοὶ διαλεγομένους, προῖκα διδάσκων, ὅ,τι ἐδυνάμην ἀγαθόν.

κζ'. Εἰπὼν δὲ ταῦτα, μάλα ὁμολογουμένως δὴ τοῖς εἰρημένοις ἀπῄει, καὶ ὄμμασι καὶ σχήμασι καὶ βαδίσμασι φαιδρός. ὡς δὲ ᾔσθετο ἄρα τοὺς παρεπομένους δακρύοντας, τί τοῦτο, (εἰπεῖν αὐτόν) ἢ ἄρτι δακρύετε; οὐ γὰρ πάλαι ἴστε ἐξ ὅτου περ ἐγενόμην, ὅτι κατεψηφισμένος ἦν μου ὑπὸ τῆς φύσεως ὁ θάνατος; ἀλλὰ μέντοι εἰ μὲν ἀγαθῶν ἐπιρρεόντων προαπόλλυμαι, δῆλον ὅτι ἐμοὶ καὶ τοῖς ἐμοὶ εὔνοις λυπητέον· εἰ δὲ χαλεπῶν προσδοκωμένων καταλύω τὸν βίον, ἐγὼ μὲν οἶμαι, ὡς εὖ πραγοῦντος ἐμοῦ, πᾶσιν ὑμῖν εὐθυμητέον εἶναι.

κη'. Παρὼν δέ τις Ἀπολλόδωρος, ἐπιθυμητὴς μὲν ἰσχυρῶς αὐτοῦ, ἄλλως δὲ εὐήθης, εἶπεν· ἀλλὰ τοῦτο ἔγωγε, ὦ Σώκρατες, χαλεπώτατα φέρω, ὅτι ὁρῶ σε ἀδίκως ἀποθνήσκοντα. τὸν δὲ λέγεται καταψήσαντα αὐτοῦ τὴν κεφαλὴν εἰπεῖν·

σὺ

unquam læsisse, neque reddidisse pejorem: sed bene eis fecisse, qui mecum disserebant, quum gratis, quicquid boni poteram, docerem.

27. Hæc quum dixisset, maxime consentaneus iis, quæ ab ipso fuerunt dicta, discedebat, tum oculis, tum gestu, tum incessu hilaris. Quumque animadverteret eos qui comitabantur, lacrymari: Quid hoc est? (inquit) modone fletis? non jamdudum scitis, ex quo genitus fui, à natura me ad mortem condemnatum esse? Enimvero si secundis rebus affluentibus è vita præripior, patet tum mihi tum aliis mihi benevolis dolendum esse: si vero diris rebus imminentibus vivendi finem facio, vobis omnibus, tanquam me bene agente, lætandum arbitror.

28. Quum vero adesset Apollodorus quidam, mirifice studiosus Socratis, cæteroqui vir simplex, dixit: Ego vero, mi Socrates, molestissime fero, quod injuste necari te video. Ille autem caput ejus demulcens, dixisse perhibetur:

σὺ δὲ, ὦ φίλτατε Ἀπολλόδωρε, μᾶλλον ἂν ἐβούλου με ὁρᾶν δικαίως ἢ ἀδίκως ἀποθνήσκοντα; καὶ ἅμα ἐπιγελάσαι.

κθʹ. Λέγεται δὲ καὶ Ἄνυτον παριόντα ἰδὼν εἰπεῖν· ἀλλ' ὁ μὲν ἀνὴρ ὅδε κυδρὸς, ὡς μέγα τι καὶ καλὸν διαπεπραγμένος, εἰ ἀπέκτονέ με, ὅτι αὐτὸν τῶν μεγίστων ὑπὸ τῆς πόλεως ὁρῶν ἀξιούμενον, οὐκ ἔφην χρῆναι τὸν υἱὸν περὶ βύρσας παιδεύειν. ὡς μοχθηρὸς οὗτος, (ἔφη) ὃς οὐκ ἔοικεν εἰδέναι, ὅτι ὁπότερος ἡμῶν καὶ συμφορώτερα καὶ καλλίω εἰς τὸν αἰεὶ χρόνον διαπέπρακται, οὗτος ἐστὶ καὶ ὁ νικῶν.

λʹ. Ἀλλὰ μέντοι (φάναι αὐτὸν) ἀνέθηκε μὲν καὶ Ὅμηρος, ἔστιν οἷς τῶν ἐν καταλύσει τοῦ βίου προγιγνώσκειν τὰ μέλλοντα. βούλομαι δὲ καὶ ἐγὼ χρησμῳδῆσαί τι. συνεγενόμην γάρ ποτε βραχέα τῷ Ἀνύτου υἱῷ, καὶ ἔδοξέ μοι οὐκ ἄρρωστος τὴν ψυχὴν εἶναι· ὥστε φημὶ αὐτὸν ἐπὶ τῇ δουλοπρεπεῖ διατριβῇ, ἣν ὁ πατὴρ αὐτῷ παρεσκεύακεν, οὐ διαμενεῖν· διὰ δὲ τὸ μηδένα ἔχειν σπουδαῖον ἐπι-

Tune, cariſſime Apollodore, videre me malles juſte quam injuſte occidi? Simul ſubriſiſſe fertur.

29. Quum etiam Anytum prætereuntem videret, dixiſſe perhibetur: Hic vir gloriabundus exultat, quaſi me interfecto magnum quid præclarumque geſſerit; quod quum ipſum maximi viderem in republica fieri, filium ejus ad operas coriariorum inſtitui debere negaverim. Quam excors eſt, (ait) qui neſcire videatur, quod quicunque noſtrum & utiliora & præclariora in omne ævum geſſerit, is victor ſit.

30. Enimvero (inquit) quum Homerus etiam nonnullos, qui erant in exitu vitæ, futura prænoſcere fecerit: lubet & mihi quiddam quaſi per oraculum ſignificare. Fuit aliquando mecum Anyti filius exiguo tempore, viſuſque eſt mihi indolis eſſe non ignavæ: itaque aio, non permanſurum in illo ſervili vitæ genere, quod pater ei præſcripſit. Quia vero nullum habet bonum cura-

ἐπιμελητήν, προσπεσεῖσθαί τινι αἰσχρᾷ ἐπιθυμίᾳ, καὶ προβήσεσθαι μέντοι πόρρω μοχθηρίας.

λα'. Ταῦτα δ' εἰπὼν, οὐκ ἐψεύσατο· ἀλλ' ὁ νεανίσκος ἡσθεὶς οἴνῳ, οὔτε νυκτὸς, οὔτε ἡμέρας ἐπαύετο πίνων· καὶ τέλος οὔτε τῇ ἑαυτοῦ πόλει, οὔτε τοῖς φίλοις, οὔτε αὑτῷ οὐδενὸς ἄξιος ἐγένετο. αὐτὸς μὲν δὴ, διὰ τὴν τοῦ υἱοῦ πονηρὰν παιδείαν, καὶ διὰ τὴν αὑτοῦ ἀγνωμοσύνην, ἔτι καὶ τετελευτηκὼς τυγχάνει κακοδοξίας.

λβ'. Σωκράτης δὲ διὰ τὸ μεγαλύνειν ἑαυτὸν ἐν τῷ δικαστηρίῳ, φθόνον ἐπαγόμενος, μᾶλλον καταψηφίσασθαι ἑαυτοῦ ἐποίησε τοὺς δικαστάς. ἐμοὶ μὲν οὖν δοκεῖ θεοφιλοῦς μοίρας τετυχηκέναι. τοῦ μὲν γὰρ βίου τὸ χαλεπώτατον ἀπέλιπε· τῶν δὲ θανάτων τοῦ ῥᾴστου ἔτυχεν.

λγ'. Επεδείξατο δὲ τῆς ψυχῆς τὴν ῥώμην. ἐπεὶ γὰρ ἔγνω τοῦ ἔτι ζῆν τὸ τεθνάναι αὑτῷ κρεῖσσον εἶναι, ὥσπερ οὐδὲ πρὸς τἆλλα τἀγαθὰ προσάντης ἦν, οὐδὲ πρὸς τὸν θάνατον ἐμαλακίσατο, ἀλλ' ἱλαρῶς καὶ προσεδέχετο αὐτὸν, καὶ ἐπετελέσατο.

λδ'. Εγὼ

curatorem, futurum, ut in aliquam libidinem fœdam proruat, & in illa focordia longius progrediatur.

31. Hæc dicens, nequaquam mentitus eſt. Nam adoleſcens hic quum vino delectaretur, neque noctu, neque interdiu potare ceſſabat: ac tandem nec patriæ, nec amicis, nec ſibi utilis fuit. Anytus ipſe propter educationem filii pravam, & amentiam ſuam, etiam à morte infamis eſt.

32. Socrates autem, quod magnifice pro tribunali ſe prædicaret, invidia contracta, magis judices ad damnandum ſeſe impulit. Illi equidem fatum Diis acceptum obtigiſſe arbitror. Quippe moleſtiſſimam vitæ partem valere juſſit, & mortis genus tranquilliſſimum obiit.

33. Idem robur animi ſui declaravit. Nam quum intelligeret, magis ex re ſua eſſe, ut moreretur, quam ut diutius viveret; quemadmodum ad alias res bonas ſe non difficilem, ita nec ad mortem ſe mollem præbuit: immo hilariter eam & expectabat & obibat.

 34. Sapien-

λδ΄. Ἐγὼ μὲν δὴ κατανοῶν τοῦ ἀνδρὸς τήν τε σοφίαν καὶ τὴν γενναιότητα, οὔτε μὴ μεμνῆσθαι δύναμαι αὐτοῦ, οὔτε μεμνημένος μὴ οὐκ ἐπαινεῖν. εἰ δέ τις τῶν ἀρετῆς ἐφιεμένων ὠφελιμωτέρῳ τινὶ Σωκράτους συνεγένετο, ἐκεῖνον ἐγὼ τὸν ἄνδρα ἀξιομακαριστότατον νομίζω.

34. Sapientiam quidem certe, animique magnitudinem quum in hoc viro conſidero, non poſſum non ejus meminiſſe, nec, ubi meminerim, non etiam laudare. Quod ſiquis eorum qui virtutis ſtudioſi ſunt, cum aliquo verſatus eſt, qui Socrate fuerit utilior; eum ego virum digniſſimum judico, qui beatus prædicetur.

VARIÆ

VARIÆ LECTIONES
CUM
Annotatiunculis.

Lib. I. *p.* 1. (a) Gellius Noct. Att. lib. 14. cap. 3. hoſce libros appellat, dictorum & factorum Socratis commentarios. *p.* 5. *l.* 17. al. ἀπεδείκνυε. *p.* 8. *l.* 11. (b) Vide Xenoph. librum primum Hiſt. Græc. in extremo. *p.* 16. *l.* 12. (c) Theognis. *p.* 34. *l.* 4. al. Λείξας. ibid. *l.* 5. al. γυμνοπαιδίαις minus recte. *p.* 35. *l.* 12. Scribendum eſſe οἶκοι male exiſtimat Leuncl. *p.* 40. *l.* 2. al. θρασεῖαν. ibid. *l.* 5. Pollux legit λευργότατον, ſed minus recte, ut ſuſpicatur Steph. *p.* 41. *l.* 2. Stobæus pro ὅ,τι habet ὅ. *p.* 42. *l.* 2. Scribendum eſſe ἀφοσιάζειν male auguratur Leuncl. quum (ut fatetur ipſe) vocab. illud nuſquam reperiatur. *p.* 43. *l.* 10. ἔτ᾽ εὐχόμενον pro μαχεσάμενον, conjectura Leuncl. nimis abſona. *p.* 44. *l.* 9. al. ὁ ἐξ ἀρχῆς ποιῶν. ibid. *l.* 17. rectius ἔργῳ. *p.* 48. *l.* 1. al. τί δαί;

Lib. II. *p.* 65. *l.* 17. Domos alienas intelligit. *p.* 67. *l.* 6. Scribendum eſſe cenſet Leuncl. ἀρκεῖν τούτῳ. At non eſt, cur rejiceretur vulg. lectio. *p.* 68. *l.* 5. πότεροι. ibid. *l.* 14. Reponendum eſſe εἶναι nimis audacter pronunciat Leuncl. *p.* 72. *l.* 2. al. τῷ τοιούτῳ. quam lect. ſecutus eſt Leuncl. At minime rejicienda eſt vulg. lectio, quæ ita reddi poteſt: Quid? ex hiſce non tibi diff. &c. *p.* 73. *l.* 13. Monet Leuncl. ob metri rationem ſcribendum eſſe τἀγαθ᾽ οἱ θεοί. *p.* 81. *l.* 12. al. ὑπό. *p.* 83. *l.* 8. al. συντεκνοποιοῦσαν. *p.* 84. *l.* 2. al. νυκτός. ibid. *l.* 9. al. αὐτοῖς ἀγαθοὶ γένωνται, καὶ ὡς δ. *p.* 85. *l.* 11. al. ὅτι ἂν λέγῃ. *p.* 86. *l.* 10. al. βουλήσῃ. *p.* 88. *l.* 6. al. ἀδελφὸν, rectius. *p.* 98. *l.* 3. al. πρὸς αὐτοῦ.

Lib. III. *p.* 134. *l.* 13. al. ἔτι ἄγειν ἔτι πάττειν ὥς. At pace Steph. & Leuncl. non modo defendi poteſt vulg. lectio, ſed

ſed ut retineatur, colloquiorùm ſeries exigit. Nam vocab. λέγειν (quod ſcrupulum injeciſſe videtur) infra Κεφ. γ. ια. repetit juvenis (quem ibi cum Socrate colloquentem inducit Xenophon) quaſi jam ſupra ab ipſo dictum. *p.* 144. *l.* 12. al. τὸ προστάττειν ἑκάστοις ἐπιτηδείοις. *p.* 149. *l.* 9. al. ἀνιερωθ. ὑπὸ τ. ib. *l.* 15. μετὰ ἀρετῆς, minus recte. *p.* 156. *l.* 4. (c) Regis ſcil. Perſici. *p.* 160. *l.* 16. al. βλάπτεσθαι τὰ τ χ. al. ἁρπάζεσθαι. At defendi poteſt vulg. lect. *p.* 190. *l.* 13. (d) Conſule Schol. Theocr. Eidyll. 11. *p.* 197. *l.* 11. (e) Mos enim erat apud Græcos ut ſuum quiſque victum ſecum ad cœnas has collatitias afferret. *p.* 198. *l.* 13. al. ἀρπύσιαις.

Lib. IV. *p.* 227. *l.* 16. al. γεγυμνωμένοις. *p.* 238. *l.* 10. al. αὐτοί. *p.* 244. *l.* 8. al. θείοις. *p.* 248. *l.* 7. al. ὅτι ἄρ' ἢ &c. *p.* 249. *l.* 12. al. ἀκρατεστάτου. *p.* 259. *l.* 16. al. νυκτοτηρῶν. *p.* 263. *l.* 11. al. θεωρίς. Utrumvis accipias, quum θεωρὶς ſit navis, qua Theori quotannis in Delum navigabant, litatum Apollini; θεωρία vero ipſe cætus Theororum nave illa eo proficiſcentium.

Apolog. *Pag.* 271. *l.* 16. al. νῦν μὲν κατακριθῶ, δῆλον. *p.* 274. *l.* 6. al. προσ. ἃ δεῖ εἰ).

F I N I S.





ΞΕΝΟΦΩΝΤΟΣ


ΛΟΓΟΣ

ΟΙΚΟΝΟΜΙΚΟΣ.

ACCESSERE

Fragmenta Oeconomicorum

CICERONIS.



Ἐκ ΘΕΑΤΡΟΥ ἐν ΟΞΟΝΙᾼ.

Ἔτει Ζωογονίας ͵αψλγ.

ΞΕΝΟΦΩΝΤΟΣ
(a) ΟΙΚΟΝΟΜΙΚΟΣ.

ΚΕΦ. α΄.

Ἤκουσα δέ ποτε τοῦ Σωκράτους καὶ περὶ οἰκονομίας τοιάδε διαλεγομένου· εἰπέ μοι, ἔφη, ὦ Κριτόβουλε, ἆρά γε ἡ οἰκονομία ἐπιστήμης τινὸς ὄνομά ἐστιν, ὥσπερ ἡ ἰατρικὴ, καὶ ἡ χαλκευτικὴ, καὶ ἡ τεκτονική; ἔμοι γε δοκεῖ, ἔφη ὁ Κριτόβουλος.

β΄. Ἦ καὶ ὥσπερ τούτων τῶν τεχνῶν ἔχοιμεν ἂν εἰπεῖν ὅ,τι ἔργον ἑκάστης, οὕτω καὶ τῆς οἰκονομίας δυναίμεθ' ἂν εἰπεῖν ὅ,τι ἔργον αὐτῆς ἐστι; δοκεῖ γοῦν (ἔφη ὁ Κριτόβουλος) οἰκονόμου ἀγαθοῦ εἶναι, εὖ οἰκεῖν τὸν ἑαυτοῦ οἶκον.

γ΄. Ἦ καὶ τὸν ἄλλου δὲ οἶκον (ἔφη ὁ Σωκράτης)

XENOPHONTIS.
De Administratione Domestica.

CAP. I.

Audivi etiam Socratem aliquando de administratione rei familiaris hujusmodi quædam disserentem: Dic mihi, mi Critobule, inquit, estne rei familiaris administratio scientiæ alicujus nomen, ut ars medendi, ut ærariorum, ut fabrilis? Mihi quidem esse videtur, ait Critobulus.

2. An etiam ut de his artibus singulis dicere possumus, quod sit opus cujusque; sic etiam quod domesticæ administrationis opus sit, indicare possimus? Videtur ejus (ait Critobulus) qui rationem administrandæ rei domesticæ bene teneat, opus esse, domum suam recte colere.

3. An non etiam alterius domum

 (inquit

της) εἰ ἐπιτρέποι τις αὐτῷ, οὐκ ἂν δύναιτο, εἰ βούλοιτο, εὖ οἰκεῖν, ὥσπερ καὶ τὴν ἑαυτοῦ; ὁ μὲν γὰρ τὴν τεκτονικὴν ἐπιστάμενος, ὁμοίως ἂν καὶ ἄλλῳ δύναιτο ἐργάζεσθαι, ὅ, τι περ καὶ ἑαυτῷ, καὶ ὁ οἰκονομικὸς γ' ἂν ὡσαύτως. ἔμοιγε δοκεῖ, ὦ Σώκρατες.

δ'. Ἔστιν ἄρα (ἔφη ὁ Σωκράτης) τὴν τέχνην ταύτην ἐπισταμένῳ, καὶ εἰ μὴ αὐτὸς τύχοι χρήματα ἔχων, τὸν ἄλλου οἶκον οἰκονομοῦντα, ὥσπερ καὶ οἰκοδομοῦντα, μισθοφορεῖν; νὴ Δία· καὶ πολύν γε μισθὸν (ἔφη ὁ Κριτόβουλος) φέροιτ' ἂν, εἰ δύναιτο οἶκον παραλαβὼν τελεῖν τε ὅσα δεῖ, καὶ περιουσίαν ποιῶν αὔξειν τὸν οἶκον.

έ. Οἶκος δὲ τί δοκεῖ ἡμῖν εἶναι; ἆρα ὅπερ οἰκία, ἢ καὶ ὅσα τις ἔξω τῆς οἰκίας ἐκέκτητο, πάντα τοῦ οἴκου ταῦτά ἐστιν; ἔμοιγ' οὖν (ἔφη ὁ Κριτόβουλος) δοκεῖ, καὶ εἰ μηδ' ἐν τῇ αὐτῇ πόλει εἴη τῷ κεκτημένῳ, πάντα τοῦ οἴκου εἶναι, ὅσα τις κέκτηται.

ϛ'. Οὐκοῦν καὶ ἐχθροὺς κέκτηνταί τινες; νὴ Δία, καὶ πολ-

(inquit Socrates) si quis hanc ei committat, & velit ipse, recte colere perinde possit, ut suam? Nam qui artem fabrilem tenet, etiam alii possit elaborare, quod sibi; idemque de administrationis familiaris perito dici potest. Ita mihi, mi Socrates, videtur.

4. Ergone peritus aliquis artis hujus, etiamsi facultates ipse nullas habeat, domum alterius administrando, perinde ut ædificando, pro mercede operam suam locare potest? Ita certe (ait Critobulus) adeoque mercedem amplam accipere potest, si domum sibi traditam perficiendo, qua parte sic poscit usus, ubere rerum copia augere queat.

5. Et quid nobis videtur esse domus? num idem quod domicilium, an vero etiam illa omnia, quæ extra ædes suas quis possidet, domus appellatione veniunt? Mihi sic videtur (ait Critobulus) omnia domo comprehendi, quæ possidet aliquis, etiamsi non sint in eadem civitate, in qua possessor.

6. An non etiam hostes aliqui habent? Etiam multos profecto

πολλούς γε ἔνιοι. ἦ καὶ κτήματα αὐτῶν φήσομεν εἶναι τοὺς ἐχθρούς; γελοῖον μέντ᾽ ἂν εἴη, (ἔφη ὁ Κριτόβουλος,) εἰ ὁ τοὺς ἐχθροὺς αὔξων, προσέτι καὶ μισθὸν τούτου φέροι.

ζ΄. Ὅτι τοι ἡμῖν ἐδόκει οἶκος ἀνδρὸς εἶναι, ὅπερ κτῆσις. νὴ Δί᾽ (ἔφη ὁ Κριτόβουλος) ὅ,τι γέ τις ἀγαθὸν κέκτηται. οὐ μὰ Δί᾽ οὐκ εἴ τι κακόν, κτῆμα ἐγὼ τοῦτο καλῶ. σὺ ἔοικας τὰ ἑκάστῳ ὠφέλιμα, κτήματα καλεῖν. πάνυ μὲν οὖν, ἔφη· τὰ δέ γε βλάπτοντα, ζημίαν ἔγωγε μᾶλλον νομίζω, ἢ χρήματα.

η΄. Κἂν ἄρα γέ τις ἵππον πριάμενος, μὴ ἐπίσταιτο αὐτῷ χρῆσθαι, ἀλλὰ καταπίπτων ἀπ᾽ αὐτοῦ κακὰ λαμβάνῃ, οὐ χρήματα αὐτῷ ἐστιν ὁ ἵππος; οὐκ, εἴπερ τὰ χρήματ᾽ ἐστὶν ἀγαθόν. οὐδ᾽ ἄρα γε ἡ γῆ ἀνθρώπῳ ἐστὶ χρήματα, ὅστις οὕτως ἐργάζεται αὐτήν, ὥστε ζημιοῦσθαι ἐργαζόμενος. οὐδὲ ἡ γῆ μέντοι χρήματά ἐστιν, εἴπερ ἀντὶ τοῦ τρέφειν, πεινῆν παρασκευάζει.

θ΄. Οὐκοῦν καὶ τὰ πρόβατα ὡσαύτως, εἴ τις διὰ τὸ

μὴ

fecto nonnulli. Num igitur etiam hoſtes in bonis eorum eſſe dicemus? Ridiculum fuerit (inquit Critobulus) ſi quis hoſtes augendo, præterea mercedem eo nomine accipiat.

7. At nobis videbatur, idem eſſe domum alicujus, & poſſeſſionem. Quidquid ſcilicet (ait Critobulus) boni quis poſſidet. Nec enim ego quod malum eſt, poſſeſſionem & facultates appello. Videris ea facultates appellare, quæ cuique ſint uſui. Omnino, ait. Nam quæ nocent, magis eſſe detrimentum arbitror, quam facultates.

8. At ſi quis equum emens, uti eo neſciat, ſed ab eo delapſus damnum accipiat, non facultates ei ſunt hic equus? Non, ſiquidem facultates eſſe bonum aliquid neceſſe eſt. Ergo ne ſolum quidem ei facultates ſunt, qui ſuo cum detrimento ſolum colit. Itidem ſolum eſſe facultates nego, ſi, quum debeat alere, ut eſuriamus, efficit.

9. Ergo idem de ovibus ſtatuendum, ſi quis propterea, quod

 ovi-

μὴ ἐπίσταιτο προβάτοις χρῆσθαι ζημιοῖτο, οὐδὲ τὰ πρόβατα χρήματα τούτῳ εἴη ἄν; οὔκουν ἔμοιγε δοκεῖ. σὺ ἄρα, ὡς ἔοικε, τὰ μὲν ὠφελοῦντα, χρήματα ἡγῇ, τὰ δὲ βλάπτοντα, οὐ χρήματα. οὕτως.

ι'. Ταὐτὰ ἄρα ὄντα, τῷ μὲν ἐπισταμένῳ χρῆσθαι αὐτῶν ἑκάστοις χρήματά ἐστι, τῷ δὲ μὴ ἐπισταμένῳ, οὐ χρήματα. ὥσπερ γε αὐλοὶ τῷ μὲν ἐπισταμένῳ ἀξίως λόγου αὐλεῖν, χρήματά εἰσι, τῷ δὲ μὴ ἐπισταμένῳ, οὐδὲν μᾶλλον, ἢ ἄχρηστοι λίθοι, εἰ μὴ ἀποδιδοῖτό γε αὐτούς.

ια'. Τοῦτ' αὖ φαίνεται ἡμῖν, ἀποδιδομένοις μὲν οἱ αὐλοὶ χρήματα, μὴ ἀποδιδομένοις δὲ ἀλλὰ κεκτημένοις, οὔ, τοῖς μὴ ἐπισταμένοις αὐτοῖς χρῆσθαι. καὶ ὁμολογουμένως γε, ὦ Σώκρατες, ὁ λόγος ἡμῖν χωρεῖ, ἐπείπερ εἴρηται τὰ ὠφελοῦντα, χρήματα εἶναι. μὴ πωλούμενοι μὲν γὰρ, οὐ χρήματά εἰσιν οἱ αὐλοί, (οὐδὲν γὰρ χρήσιμοί εἰσιν·) πωλούμενοι δὲ, χρήματα.

ιβ'. Πρὸς ταῦτα δ' ὁ Σωκράτης εἶπεν, ἢν ἐπίστηταί γε πωλεῖν.

ovibus uti nesciat, damnum accipiat, ne oves quidem ei facultates esse? Mihi sane non videntur esse. Ergo tu, quemadmodum videtur, ea quæ utilitatem habent, facultates esse ducis: quæ vero noceant, minime. Sic est.

10. Eadem igitur illi, qui usum eorum teneat, facultates sunt: eundem ignoranti, non sunt facultates. Quemadmodum tibiæ illi, qui canere tibiis egregie norit, facultates sunt: qui vero nesciat, nihilo magis, quam inutilia saxa; nisi eas vendiderit.

11. Rursus scilicet videntur nobis tibiæ, si quidem vendantur, facultates esse: si non vendantur, sed retineantur ab illis qui usum earum ignorant, haudquaquam. Sane consentanea ratione, mi Socrates, nostra progreditur oratio, quando dictum est, ea quæ utilia sint, facultates esse. Nam si tibiæ non vendantur, non sunt facultates, quippe quæ nullam ad rem utiles sint: venditæ vero, sunt facultates.

12. Ad quæ Socrates; Si quidem, ait, etiam vendere quis sciat.

πωλεῖν. εἰ δὲ πωλοίη αὖ πρὸς τοῦτον, ὃς μὴ ἐπίσταιτο χρῆσθαι, οὐδὲ πωλούμενοί εἰσι χρήματα, κατά γε τὸν σὸν λόγον. λέγειν ἔοικας, ὦ Σώκρατες, ὅτι οὐδὲ τὸ ἀργύριόν ἐστι χρήματα, εἰ μή τις ἐπίσταιτο χρῆσθαι αὐτῷ.

ιγ'. Καὶ σὺ δέ μοι δοκεῖς οὕτω συνομολογεῖν, ἀφ' ὧν τις ὠφελεῖσθαι δύναται, χρήματα εἶναι. εἰ γοῦν τις χρῷτο τῷ ἀργυρίῳ, ὥστε πριάμενος οἷον ἑταίραν, διὰ ταύτην κάκιον μὲν τὸ σῶμα ἔχοι, κάκιον δὲ τὴν ψυχὴν, κάκιον δὲ τὸν οἶκον, πῶς ἂν ἔτι τὸ ἀργύριον αὐτῷ ὠφέλιμον εἴη; οὐδαμῶς· εἰ μή γε καὶ τὸν ὑοσκύαμον καλούμενον, χρήματα εἶναι φήσομεν, ὑφ' οὗ οἱ φαγόντες αὐτὸν παραπλῆγες γίνονται.

ιδ'. Τὸ μὲν δὴ ἀργύριον, εἰ μή τις ἐπίσταιτο αὐτῷ χρῆσθαι, οὕτω πόρρω ἀπωθείσθω, ὦ Κριτόβουλε, ὥστε μηδὲ χρήματα εἶναι. οἱ δὲ φίλοι, ἤν τις ἐπίστηται αὐτοῖς χρῆσθαι ὥστε ὠφελεῖσθαι ἀπ' αὐτῶν, τί φήσομεν αὐτοὺς εἶναι; χρήματα, νὴ Δί', ἔφη ὁ Κριτόβουλος. καὶ πολύ γε μᾶλλον ἢ τοὺς

sciat. Si vero vendat ei qui uti nequeat; ne venditæ quidem facultates sunt, uti tu ais. Videris dicere, mi Socrates, ne argentum quidem esse facultates, nisi quis uti eo norit.

13. Tu quoque mecum fateri videris, eas res facultates esse, de quibus utilitatem aliquis capere possit. Ergo si quis argento sic utatur, ut verbi gratia, scortum emat, propter quod minus bene affecto sit corpore atque animo, & domus etiam pejus administretur, quo pacto possit huic argentum esse usui? Nequaquam, nisi si & hyoscyamum, quam vocant herbam, inter facultates quis recenseat, qua qui vescuntur, apud se se non sunt.

14. Argentum quidem certe, mi Critobule, nisi quis uti eo norit, adeo procul amoveatur, ut nec in bonis habeatur. Quod vero amicos esse dicemus, si quis ita sciat eis uti, ut fructum aliquem ex ipsis percipiat? Facultates profecto, ait Critobulus, ac multo quidem magis, quam boves; si quidem utili-

τοὺς βοῦς, ἢν ὠφελιμώτεροί γε ὦσι τῶν βοῶν.

ιε'. Καὶ οἱ ἐχθροὶ ἄρα κατά γε τὸν σὸν λόγον, χρήματά εἰσι τῷ δυναμένῳ ἀπὸ τῶν ἐχθρῶν ὠφελεῖσθαι. ἔμοιγ' οὖν δοκεῖ. οἰκονόμου ἄρα ἐστὶν ἀγαθοῦ καὶ τοῖς ἐχθροῖς ἐπίστασθαι χρῆσθαι, ὥστε ὠφελεῖσθαι ἀπὸ τῶν ἐχθρῶν. ἰσχυρότατά γε. καὶ γὰρ δὴ ὁρᾷς, ἔφη, ὦ Κριτόβουλε, ὅσοι μὲν δὴ οἶκοι ἰδιωτῶν εἰσιν ηὐξημένοι ἀπὸ πολέμου, ὅσοι δὲ ἀπὸ τυραννιῶν.

ιϛ'. Ἀλλὰ γὰρ τὰ μὲν καλῶς ἔμοιγε δοκεῖ λέγεσθαι, ὦ Σώκρατες, ἔφη ὁ Κριτόβουλος· ἐκεῖνο δὲ ἡμῖν τί φαίνεται, ὁπόταν ὁρῶμέν τινας ἐπιστήμας μὲν ἔχοντας καὶ ἀφορμάς, ἀφ' ὧν δύνανται ἐργαζόμενοι αὔξειν τοὺς οἴκους, αἰσθανόμεθα δὲ αὐτοὺς ταῦτα μὴ θέλοντας ποιεῖν, καὶ διὰ τοῦτο ὁρῶμεν ἀνωφελεῖς οὔσας αὐτοῖς τὰς ἐπιστήμας; ἄλλο τι, ἢ τούτοις αὖ οὔτε αἱ ἐπιστῆμαι χρήματά εἰσιν, οὔτε κτήματα;

ιζ'. Περὶ δούλων μοι (ἔφη ὁ Σωκράτης) ἐπιχειρεῖς, ὦ Κριτόβουλε, διαλέγεσθαι; οὐ μὰ Δί', ἔφη, οὐκ ἔγωγε· ἀλλὰ καὶ πάνυ εὐπατριδῶν δοκούντων γε ἐνίων

εἶ),

utilitates majores afferant, quam boves.

15. Ergo etiam hostes, tua quidem sententia, facultates sunt ei qui capere fructum aliquem ex hostibus potest. Ita mihi quidem videtur. Est igitur boni administratoris rei domesticæ, hostibus etiam uti scire, quo fructum ex ipsis capiat. Maxime vero. Nam vides certe, mi Critobule, quot privatorum hominum domus bello auctæ sint, quot à tyrannide.

16. Sed enim hæc, mi Socrates, præclare mihi dici videntur, inquit Critobulus: illud autem quam speciem habet, quod nonnullos videmus scientia quidem illos ac facultatibus instructos, quibus faciendo quæstum augere domos possent; verum id eos facere nolle animadvertimus, ac propterea scientias ipsis usui nulli esse cernimus? Num quid est aliud, quam his scientias illas neque facultates esse, neque possessiones?

17. De servis, mi Critobule, differere instituis? Minime vero, ait: sed sunt nonnulli, qui valde videntur esse bono loco nati,

εἶναι, οὓς ἐγὼ ὁρῶ τοὺς μὲν καὶ πολεμικάς, τοὺς δὲ καὶ εἰρηνικὰς ἐπιστήμας ἔχοντας· ταύτας δὲ οὐκ ἐθέλοντας ἐργάζεσθαι, ὡς μὲν ἐγὼ οἶμαι, δι' αὐτὸ τοῦτο, ὅτι δεσπότας οὐκ ἔχοιεν.

ιη'. Καὶ πῶς ἂν, ἔφη ὁ Σωκράτης, δεσπότας οὐκ ἔχοιεν, εἰ εὐχόμενοι εὐδαιμονεῖν, καὶ ποιεῖν βουλόμενοι ἀφ' ὧν ἔχοιεν ἀγαθά, ἔπειτα κωλύονται ποιεῖν ταῦτα ὑπὸ τῶν ἀρχόντων; καὶ τίνες δή, ἔφη, εἰσὶν οὗτοι, ὁ Κριτόβουλος, οἳ ἀφανεῖς ὄντες ἄρχουσιν αὐτῶν;

ιθ'. Ἀλλὰ μὰ Δί', ἔφη ὁ Σωκράτης, οὐκ ἀφανεῖς εἰσιν, ἀλλὰ καὶ πάνυ φανεροί. καὶ ὅτι πονηρότατοί γε εἰσὶν, οὐδὲ σε λανθάνουσιν, εἴπερ πονηρίαν γε νομίζεις ἀργίαν τ' εἶναι καὶ μαλακίαν ψυχῆς καὶ ἀμέλειαν.

κ'. Καὶ ἄλλαι δ' εἰσὶν ἀπατηλαί τινες δέσποιναι προσποιούμεναι ἡδοναὶ εἶναι, κυβεῖαι τε, καὶ ἀνωφελεῖς ἀνθρώπων ὁμιλίαι, αἳ προϊόντος τοῦ χρόνου καὶ αὐτοῖς τοῖς ἐξαπατηθεῖσι καταφανεῖς γίγνονται, ὅτι λῦπαι ἄρα εἰσὶν ἡδοναῖς περι-

nati, quorum alios video, rerum bellicarum, alios pacis artium peritos esse, quas tamen exercere nolint, eam ipsam ob caussam, mea quidem sententia, quod dominos non habeant.

18. Quid dominis carere possint, ait Socrates, quum felicitatem adipisci cupientes, eaque gerere, de quibus capere fructus utiles possint, in hoc conatu ab illis impediantur, qui eos imperant? Et quinam illi sunt, ait Critobulus, qui quanquam non cernantur, eis tamen imperant?

19. Immo, inquit Socrates, obscuri non sunt, sed conspici manifesto possunt. Ac improbissimos quidem esse, ne te quidem latet, si quidem ignaviam, & mollitiem animi, & negligentiam esse putas improbitatem.

20. Sunt & aliæ fraudulentæ quædam dominæ, quæ se pro voluptatibus venditant, aleæ lusus, & inutiles hominum inter se conversationes, quæ temporis progressu manifesto deprehendunt etiam illi, qui decepti sunt, dolores esse implicatos undique voluptatibus

περιπεπλεγμέναι, αἳ διακωλύουσιν αὐτοὺς ἀπὸ τῶν ὠφελίμων ἔργων κρατοῦσαι.

κα'. Ἀλλὰ καὶ ἄλλοι, ἔφη ὁ Σωκράτης, ἐργάζεσθαι μὲν οὐ κωλύονται ὑπὸ τούτων, ἀλλὰ καὶ πάνυ σφοδρῶς πρὸς τὸ ἐργάζεσθαι ἔχουσι καὶ μηχανᾶσθαι προσόδους· ὅμως δὲ καὶ τοὺς οἴκους κατατρίβουσι, καὶ ἀμηχανίᾳ συνέχονται.

κβ'. Δοῦλοι γάρ εἰσι καὶ οὗτοι, ἔφη ὁ Σωκράτης, καὶ πάνυ γε χαλεπῶν δεσποτῶν, οἱ μὲν λιχνειῶν, οἱ δὲ, λαγνειῶν, οἱ δὲ, οἰνοφλυγιῶν, οἱ δὲ φιλοτιμιῶν τινων μωρῶν καὶ δαπανηρῶν, ἃ οὕτω χαλεπῶς ἄρχει τῶν ἀνθρώπων ὧν ἂν ἐπικρατήσωσιν, ὥσθ' ἕως μὲν ἂν ὁρῶσιν ἡβῶντας αὐτοὺς, καὶ δυναμένους ἐργάζεσθαι, ἀναγκάζουσι φέρειν ἃ ἂν αὐτοὶ ἐργάσωνται, καὶ τελεῖν εἰς τὰς αὐτῶν ἐπιθυμίας. ἐπειδὰν δὲ αὐτοὺς ἀδυνάτους αἴσθωνται ὄντας ἐργάζεσθαι διὰ τὸ γῆρας ἀπολείπουσι τούτους κακῶς γηράσκειν, ἄλλοις δ' αὖ πειρῶνται δούλοις χρῆσθαι.

κγ'. Ἀλλὰ

tibus. Atque hæ poteſtatem in ipſos nactæ, ab operibus eos utilibus impediendo avocant.

21. At enim alii, ſubjecit Socrates, ab his non impediuntur, quominus quæſtum faciant, ſed ad eum faciundum excogitandoſque proventus vehementer incitati ſunt. Nihilominus & rem familiarem atterunt, & rerum inopia conflictantur.

22. Nimirum & illi ſervi ſunt, ait Socrates, ac per profectò moleſtos habent dominos, alii luxum, alii libidines, alii temulentiam, alii ſtultas quaſdam & ſumtuoſas ambitiones, quæ quidem adeo graviter in eos homines, quos occupaverint, imperium exercent: ut quamdiu cernunt eos adhuc vegetos eſſe, quæſtumque facere poſſe, quidquid lucri fecerint, ad ſe deferre cogant, ac ſuas in cupiditates impendere. Verum poſteaquam animadverterint eos propter ſenectutem nihil amplius comparare poſſe, relinquunt eos miſere ſenectutem exacturos, atque aliis uti ſervis inſtituunt.

23. Oportet

κγ'. Ἀλλὰ δεῖ, ὦ Κριτόβουλε, πρὸς ταῦτα οὐχ ἧσσον διαμάχεσθαι περὶ τῆς ἐλευθερίας, ἢ πρὸς τοὺς σὺν ὅπλοις πειρωμένους καταδουλοῦσθαι. πολέμιοι μὲν οὖν ἤδη ὅταν καλοὶ κἀγαθοὶ ὄντες καταδουλώσωνταί τινας, πολλοὺς δὴ βελτίους ἠνάγκασαν εἶναι σωφρονίσαντες, καὶ ῥᾷον βιοτεύειν τὸν λοιπὸν χρόνον ἐποίησαν· αἱ δὲ τοιαῦται δέσποιναι αἰκιζόμεναι τὰ σώματα τῶν ἀνθρώπων, καὶ τὰς ψυχάς, καὶ τοὺς οἴκους, οὔποτε λήγουσιν, ἔστ' ἂν ἄρχωσιν αὐτῶν.

ΚΕΦ. β'.

Ο οὖν Κριτόβουλος ἐκ τούτων ὧδέ πως εἶπεν· Ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἀρκούντως πάνυ μοι δοκῶ τὰ λεγόμενα ὑπὸ σοῦ ἀκηκοέναι· αὐτὸς δ' ἐμαυτὸν ἐξετάζων δοκῶ μοι εὑρίσκειν ἐπιεικῶς τῶν τοιούτων ἐγκρατῆ ὄντα· ὥστ' εἴ μοι συμβουλεύοις ὅ, τι ἂν ποιῶν αὔξοιμι τὸν οἶκον, οὐκ ἄν μοι δοκῶ ὑπό γε τούτων ὧν σὺ δεσποινῶν καλεῖς, κωλύεσθαι. ἀλλὰ

θαῤῥῶν

23. Oportet autem, mi Critobule, non minus de libertate adversus hæc dimicare, quam adversus eos qui armati nos in servitutem redigere conantur. Etenim hostes virtute præstantes quum in servitutem aliquos redigunt, castigando multos meliores fieri cogunt, atque etiam efficiunt ut facilius deinceps vivant. At hujusmodi dominæ, corpora hominum, & animos, & rem familiarem fœde perdere non desinunt, donec imperium in eos consequantur.

CAP. II.

SEcundum hæc Critobulus hujusmodi quædam dicebat: Ego vero de his satis audiisse mihi videor abs te dicta, & ipse meipsum explorans, in hujusmodi rebus egregie mihi videor meimet esse compos. Itaque si consilium mihi dederis, quo pacto rem domesticam augere possim, non existimo futurum, ut illæ me dominæ, quas ita tu vocas, impediant. Tu quidem confidenter impertire mihi consilium

bonum,

θαρρῶν συμβούλευε ὅ,τι ἔχεις ἀγαθόν. ἢ κατέγνωκας ἡμῶν, ὦ Σώκρατες, ἱκανῶς πλουτεῖν, καὶ οὐδὲν δοκοῦμέν σοι προσδεῖσθαι χρημάτων;

β'. Οὔκουν ἔγωγ', ἔφη ὁ Σωκράτης, εἰ καὶ περὶ ἐμοῦ λέγεις, οὐδέν μοι δοκῶ προσδεῖσθαι χρημάτων, ἀλλ' ἱκανῶς πλουτεῖν. σὺ μέντοι γε, ὦ Κριτόβουλε, πάνυ μοι δοκεῖς πένεσθαι, καὶ ναὶ μὰ Δί', ἔστιν ὅτε καὶ πάνυ οἰκτείρω σε ἐγώ.

γ'. Καὶ ὁ Κριτόβουλος γελάσας εἶπε· καὶ πόσου ἂν πρὸς τῶν Θεῶν οἴει, ὦ Σώκρατες, ἔφη, εὑρεῖν τὰ σὰ κτήματα πωλούμενα; πόσου δὲ τὰ ἐμά; ἐγὼ μὲν οἶμαι, ἔφη ὁ Σωκράτης, εἰ ἀγαθοῦ ὠνητοῦ ἐπιτύχοιμι, εὑρεῖν ἄν μοι σὺν τῇ οἰκίᾳ καὶ τὰ ὄντα πάντα πάνυ ῥᾳδίως πέντε μνᾶς. τὰ μέντοι σά, ἀκριβῶς οἶδα, ὅτι πλέον ἂν εὕροι ἢ ἑκατονταπλάσιονα τούτου.

δ'. Κᾆτα οὕτως ἐγνωκώς, σὺ μὲν οὐχ ἡγῇ προσδεῖσθαι χρημάτων, ἐμὲ δὲ οἰκτείρεις ἐπὶ τῇ πενίᾳ; τὰ μὲν γὰρ ἐμά, ἔφη, ἱκανά ἐστιν ἐμοὶ παρέχειν τὰ ἐμοὶ ἀρκοῦντα· εἰς δὲ τὸ σὸν σχῆμα,

ὃ

bonum, quodcunque tandem habes. An vero satis esse nos, mi Socrates, ab opibus instructos putas, nec facultatibus aliis egere?

2. Equidem, ait Socrates, si de me quoque loquaris, nullis indigere præterea me opibus puto, sed satis esse locupletem. Tu vero, mi Critobule, valde mihi pauper esse videris, ac profecto nonnunquam valde tui me miseret.

3. Tum ridens Critobulus: Quæso te per deos immortales, inquit, quantum te de tuis facultatibus venditis redemturum, quantum me existimas? Arbitror ego, ait Socrates, si emtor mihi bonus contingat, facile me de cunctis facultatibus meis, cum domo, minas quinque coacturum. De tuis vero sat scio redemturum te centies plura.

4. Itane vero, quum hoc scias, tibi nullis opus esse opibus censes, mei autem ob paupertatem te miseret? Nimirum mea, inquit, abunde mihi suppeditare possunt ea quæ mihi sufficiant: ad eam vero speciem, qua tu indutus

es,

ὃ σὺ περιβέβλησαι, καὶ τὴν σὴν δόξαν, οὐδ᾽ εἰ τρὶς ὅσα νῦν κέκτησαι, προσγένοιτό σοι, οὐδ᾽ ὣς ἂν ἱκανά μοι δοκεῖ εἶναι σοι. πῶς δὴ τοῦτ᾽; ἔφη ὁ Κριτόβουλος.

ε΄. Ἀπεφήνατο ὁ Σωκράτης, ὅτι πρῶτον μὲν ὁρῶ σοι ἀνάγκην οὖσαν θύειν πολλά τε καὶ μεγάλα, ἢ οὔτε θεοὺς οὔτε ἀνθρώπους οἶμαί σε ἂν ἀνασχέσθαι. ἔπειτα ξένους προσήκει σοι πολλοὺς δέχεσθαι, καὶ τούτους μεγαλοπρεπῶς. ἔπειτα δὲ πολίτας δειπνίζειν καὶ εὖ ποιεῖν, ἢ ἔρημον συμμάχων εἶναι.

ϛ΄. Ἔτι δὲ καὶ τὴν πόλιν αἰσθάνομαι τὰ μὲν ἤδη σοι προστάττουσαν μεγάλα τελεῖν, ἱπποτροφίας τε, καὶ χορηγίας, καὶ γυμνασιαρχίας, καὶ προστατείας· ἢν δὲ δὴ πόλεμος γένηται, οἶδ᾽ ὅτι καὶ τριηραρχίας μισθοὺς, καὶ εἰσφορὰς τοσαύτας σοι προστάξουσιν, ὅσας σὺ οὐ ῥᾳδίως ὑποίσεις. ὅπου δ᾽ ἂν ἐνδεῶς δόξῃς τι τούτων ποιεῖν, οἶδ᾽ ὅτι σε τιμωρήσονται Ἀθηναῖοι οὐδὲν ἧττον, ἢ εἰ τὰ αὑτῶν λάβοιεν κλέπτοντα.

ζ΄. Πρὸς

es, & tuam ad exiſtimationem, ne ſi triplo quidem plura tibi accederent iis quæ modo poſſides, ſatis tibi fore puto. Quinam iſtuc? ait Critobulus.

5. Et Socrates hoc declarans: Primum, inquit, video tibi neceſſitatem impoſitam, ut multa & ampla ſacrificia inſtituas: cæteroqui nec Deos nec homines te laturos. Deinde neceſſe eſt hoſpites multos domo tua excipias, eoſque magnifice. Præterea cives multi cœnis excipiendi tibi ſunt, ac beneficiis demulcendi, niſi ab opitulatoribus deſtitui velis.

6. Animadverto etiam à civitate noſtra nunc quoque magnas expenſas imperari tibi, nimirum ut equos alas, ut choros exhibeas, ut gymnaſiis præſis, ut patrocinia ſuſcipias: & bellum ſi oriatur, tantos illam ſumtus imperaturam tibi ſcio triremium in præfecturis, tantaſq; collationes, quantis tu non facile ſubſiſtes. Quod ſi non ita gerere videberis aliquid uti debebat geri: ſat ſcio, non minus Athenienſes te multaturos, quam ſi te in peculatu deprehendiſſent.

 7. Præ-

ζ'. Πρὸς δὲ τούτοις ὁρῶ σε οἰόμενον πλουτεῖν, καὶ ἀμελῶς μὲν ἔχοντα πρὸς τὸ μηχανᾶσθαι χρήματα, παιδικοῖς δὲ πράγμασι προσέχοντα τὸν νοῦν, ὥσπερ ἐξόν σοι. ὧν ἕνεκα οἰκτείρω σε, μή τι ἀνήκεστον κακὸν πάθῃς, καὶ εἰς πολλὴν ἀπορίαν καταστῇς.

η'. Καὶ ἐμοὶ μὲν, εἴ τι καὶ προσδεηθείην, οἶδ' ὅτι καὶ σὺ γιγνώσκεις, ὡς εἰσὶν οἳ καὶ ἐπαρκέσειαν, ὥστε πάνυ μικρὰ πορίσαντες, κατακλύσειαν ἂν ἀφθονίᾳ τὴν ἐμὴν δίαιταν· οἱ δὲ σοὶ φίλοι πολὺ ἀρκοῦντα σοῦ μᾶλλον ἔχοντες τῇ ἑαυτῶν κατασκευῇ, ἢ σὺ τῇ σῇ, ὅμως ὡς παρὰ σοῦ ὠφελησόμενοι ἀποβλέπουσι.

θ'. Καὶ ὁ Κριτόβουλος εἶπεν· ἐγὼ τούτοις, ὦ Σώκρατες, οὐκ ἔχω ἀντιλέγειν. ἀλλ' ὥρα σοι προστατεύειν ἐμοῦ, ὅπως μὴ τῷ ὄντι οἰκτρὸς γένωμαι. ἀκούσας οὖν ὁ Σωκράτης εἶπε· καὶ οὐ θαυμαστὸν δοκεῖς, ὦ Κριτόβουλε, τοῦτο σαυτῷ ποιεῖν, ὅτι ὀλίγον μὲν πρόσθεν, ὅτε ἐγὼ ἔφην πλουτεῖν, ἐγέλασας ἐπ' ἐμοὶ,

7. Præter hæc video te hanc de temetipſo concepiſſe opinionem, quod dives ſis, & negligenter in excogitandis parandæ pecuniæ rationibus verſari, & amoribus ita eſſe occupatum, atque ſi id tibi liceret. Quas ob cauſſas miſeret me tui, ne quod inſanabile malum accidat tibi, & magnam ad inopiam redigaris.

8. Ac mihi quidem, etiamſi aliquid etiam deeſſet, ſcio habere te perſpectum, eſſe qui ſuppeditare poſſint tantum, ut modicis admodum ſumminiſtratis, abundantia quadam victus mei rationem inundent. Tui vero amici, quum rerum te copia ſuperent, nihilo minus ad te reſpiciunt, quaſi abs te nonnihil utilitatis expectantes.

9. Tum Critobulus: Non poſſum, inquit, his adverſari, mi Socrates. Cæterum tempus eſt, ut mihi patronus fias, ne reabſe miſerabilis evadam. Quæ quum audiiſſet Socrates: An non mirum eſt, inquit, hoc te adverſus temetipſum committere, mi Critobule, quod quum paullo ante me divitē memetipſum prædicantē irriſeris, quaſi

ἐμοί, ὡς οὐδὲ εἰδότι ὅ,τι εἴη πλοῦτος, καὶ πρότερον οὐκ ἐπαύσω πρὶν ἐξήλεγξάς με, καὶ ὁμολογεῖν ἐποίησας, μηδὲ ἑκατοστὸν μέρος τῶν σῶν κεκτῆσθαι· νῦν δὲ κελεύεις με προστατεύειν σοῦ, καὶ ἐπιμελεῖσθαι, ὅπως ἂν μὴ παντάπασιν ἀληθῶς πένης γένοιο;

ι΄. Ὁρῶ γάρ σε, ἔφη, ὦ Σώκρατες, ἕν τι πλουτηρὸν ἔργον ἐπιστάμενον, περιουσίαν ποιεῖν. τὸν οὖν ἀπ' ὀλίγων περιποιοῦντα ἐλπίζω ἀπὸ πολλῶν γ' ἂν πάνυ ῥᾳδίως πολλὴν περιουσίαν ποιῆσαι.

ια΄. Οὔκουν μέμνησαι ἀρτίως ἐν τῷ λόγῳ, ὅτε οὐδ' ἀναγρύζειν μοι ἐξουσίαν ἐποίησας, λέγων· ὅτι τῷ μὴ ἐπισταμένῳ ἵπποις χρῆσθαι, οὐκ εἴη χρήματα οἱ ἵπποι, οὐδὲ ἡ γῆ, οὐδὲ τὰ πρόβατα, οὐδὲ ἀργύριον, οὐδὲ ἄλλο οὐδὲν, ὅτῳ τις μὴ ἐπίσταιτο χρῆσθαι. εἰσὶ μὲν οὖν αἱ πρόσοδοι ἀπὸ τῶν τοιούτων. ἐμὲ δὲ πῶς τινι τούτων οἴει ἂν ἐπιστηθῆναι χρῆσθαι, ᾧ τὴν ἀρχὴν οὐδὲν πώποτ' ἐγένετο τούτων;

ιβ΄. Ἀλλ'

quaſi qui neſciret, quid ſint divitiæ, neque prius deſtiteris, quam me conviciſſes, & ad fatendum adegiſſes, ne centeſimam quidem partem tuarum me facultatum poſſidere, nunc me patronum tibi expetas, utque dem operam horteris, ne vere pauper fias?

10. Nimirum te video, mi Socrates, inquit, unum hoc opus intelligere, quod ad parandas divitias pertinet, qui rerum copiam efficere poſſis. Itaque illum, qui de exiguis aliquam copiam parare poſſit, ſpero de multis facillime magnam effecturum abundantiam.

11. Non autem tu meminiſti, te modo in eo, quem habuimus ſermone, quum ne hiſcendi quidem poteſtatem mihi concederes, dicere; non equos illi facultates eſſe, qui uti eis neſciret, nec ſolum, nec oves, nec argentum, nec quidquam aliud, quo quis uti neſciret. Sunt autem fructus aliqui ex hujuſmodi rebus. Et quo pacto me putas horum aliquo uti ſcire, quum ab initio nihil eorum habuerim?

12. At

ιβʹ. Ἀλλ᾽ ἐδόκει ἡμῖν, καὶ εἰ μὴ χρήματα τὶς τύχοι ἔχων, ὅμως εἶναί τις ἐπιστήμη οἰκονομίας. τί οὖν κωλύει καί σε ἐπίστασθαι; ὅπερ νὴ Δία καὶ αὐλεῖν ἂν κωλύσειεν ἄνθρωπον ἐπίστασθαι, εἰ μήτε αὐτὸς πώποτε κτήσαιτο αὐλοὺς, μήτε ἄλλος αὐτῷ παράσχοι ἐν τοῖς αὑτοῦ μανθάνειν. οὕτω δὴ καὶ ἐμοὶ ἔχει περὶ τῆς οἰκονομίας.

ιγʹ. Οὔτε γὰρ αὐτὸς ὄργανα χρήματα ἐκεκτήμην, ὥστε μανθάνειν, οὔτε ἄλλος πώποτέ μοι παρέσχε τὰ ἑαυτοῦ διοικεῖν· ἀλλ᾽ ἢ σὺ νῦν ἐθέλεις παρέχειν. οἱ δὲ δήπου τὸ πρῶτον μανθάνοντες κιθαρίζειν, καὶ τὰς λύρας λυμαίνονται. καὶ ἐγὼ δὴ, εἰ ἐν τῷ σῷ οἴκῳ ἐπιχειρήσαιμι μανθάνειν οἰκονομεῖν, ἴσως ἂν καταλυμηναίμην ἄν σου τὸν οἶκον.

ιδʹ. Πρὸς ταῦτα ὁ Κριτόβουλος εἶπε· προθύμως γε, ὦ Σώκρατες, ἀποφεύγειν μοι πειρᾷ μηδέν με συνωφελῆσαι εἰς τὸ ῥᾷον ὑποφέρειν τὰ ἐμοὶ ἀναγκαῖα πράγματα.

12. At enim videbatur nobis, etiam si quis facultates nullas haberet, tamen esse in ipso administrationis domesticæ scientiam posse. Quid igitur obstat, quominus tu quoque hanc teneas? Hoc ipsum, ait, quod etiam impedire potest, quominus tibia quis norit canere, si videlicet neque tibias unquam ipse habuerit, neque alius ei concesserit suas, ut in eis artem disceret. Eadem in administratione domestica mea est ratio.

13. Nam opes, quæ instrumenta sunt, nunquam habui, quibus eam discerem: neque sua mihi alius quispiam administranda tradidit, extra te unum, qui tua tradere mihi vis. Enimvero qui primum cithara canere discunt, etiam lyras ipsas corrumpunt. Atque equidem si tua in domo rei familiaris administrationem discere instituerem, fortassis illam plane corrumperem.

14. Ad ea Critobulus: Studiose, mi Socrates, inquit, elabi velle videris, ne mihi quid adjumenti adferas, ut rerum necessariarum onera facilius

πράγματα. οὐ μὰ Δί', ἔφη ὁ Σωκράτης, οὐκ ἔγωγε, ἀλλ' ὅσα ἔχω, καὶ πάνυ προθύμως ἐξηγήσομαί σοι.

ιε'. Οἶμαι δ' ἄν, καὶ εἰ ἐπὶ πῦρ ἐλθόντος σου, καὶ μὴ ὄντος παρ' ἐμοὶ, εἰ ἄλλοσε ἡγησαίμην, ὁπόθεν σοι εἴη λαβεῖν, οὐκ ἂν ἐμέμφου μοι· καὶ εἰ ὕδωρ παρ' ἐμοῦ αἰτοῦντί σοι αὐτὸς μὴ ἔχων, ἄλλοσε καὶ ἐπὶ τοῦτο ἤγαγον, οἶδ' ὅτι οὐδ' ἂν τοῦτό μοι ἐμέμφου. καὶ εἰ βουλομένου μουσικὴν μαθεῖν σου παρ' ἐμοῦ, δείξαιμί σοι πολὺ δεινοτέρους ἐμοῦ περὶ μουσικὴν, καί σοι χάριν εἰδότας, εἰ ἐθέλοις παρ' αὐτῶν μανθάνειν, τί ἂν ἔτι μοι ταῦτα ποιοῦντι μέμφοιο; οὐδὲν ἂν δικαίως γε, ὦ Σώκρατες.

ιϛ'. Ἐγὼ τοίνυν σοι δείξω, ὦ Κριτόβουλε, ὅσα νῦν λιπαρεῖς παρ' ἐμοῦ μανθάνειν, πολὺ ἄλλους δεινοτέρους ἐμοῦ περὶ ταῦτα. ὁμολογῶ δὲ μεμεληκέναι μοι, οἵτινες ἕκαστα ἐπιστημονέστατοί εἰσι τῶν ἐν τῇ πόλει.

ιζ'. Καταμαθὼν γάρ ποτε ἀπὸ τῶν αὐτῶν ἔργων τοὺς

μὲ

facilius feram. Minime profecto, ait Socrates, sed lubens exponam tibi, quæ scio.

15. Arbitror autem, te, si ignis petendi caussa venires ad me, atque illo equidem carerem, non reprehensurum si alio te ducerem, unde petere posses. Itidem si te aquam à me poscente, apud me illa non esset, alio te ad eam ducerem; sat scio ne id quidem te iniquo laturum animo. Itidem Musicam discere à me volenti, si longe me peritiores Musicæ commonstrarem, atque etiam tibi gratiam habituros, quod ab eis hanc discere cuperes; quid esset, quod in hoc meo instituto posses culpare? Nihil quidem merito, mi Socrates.

16. Quamobrem ego tibi, Critobule, ostendam alios, eorum, quæ tu discere studiose cupis ex me, longe peritiores. Fateor autem curæ mihi fuisse, ut quinam rerum hac in civitate quarumcunque peritissimi sint, cognoscerem.

17. Nam quum aliquando animadverterem, iisdem operibus faciundis

μὲν πάνυ ἀπόρους ὄντας, τοὺς δὲ πάνυ πλουσίους, ἀπεθαύμασα, καὶ ἔδοξέ μοι ἄξιον εἶναι ἐπισκέψεως ὅ,τι εἴη τοῦτο. καὶ εὗρον ἐπισκοπῶν πάνυ οἰκείως ταῦτα γιγνόμενα.

ιη΄. Τοὺς μὲν γὰρ εἰκῆ ταῦτα πράττοντας, ζημιουμένους ἑώρων, τοὺς δὲ γνώμῃ συντεταμένῃ ἐπιμελουμένους, καὶ θᾶττον καὶ ῥᾷον καὶ κερδαλεώτερον κατέγνων πράττοντας. παρ' ὧν ἂν καὶ σὲ οἶμαι, εἰ βούλοιο, μαθόντα, εἴ σοι ὁ Θεὸς μὴ ἐναντιοῖτο, πάνυ ἂν δεινὸν χρηματιστὴν γενέσθαι.

ΚΕΦ. γ΄.

Ἀκούσας ταῦτα ὁ Κριτόβουλος εἶπε· νῦν τοι, ἔφη, ἐγώ σε οὐκέτι ἀφήσω, ὦ Σώκρατες, πρὶν ἄν μοι ἃ ὑπέσχησαι ἐναντίον τῶν φίλων τουτωνὶ ἀποδείξῃς. τί οὖν; ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, ἢν σοι ἀποδεικνύω πρῶτον μὲν οἰκίας τοὺς μὲν ἀπὸ πολλοῦ ἀργυρίου ἀχρήστους οἰκοδο-

ciundis alios quidem inopes admodum esse, alios opulentos: fuit ea res mihi admirationi, adeoque digna visa, de qua, quid esset, dispiceretur. Itaque considerans ipse mecum reperi, per illa convenienter fieri.

18. Nam qui agerent ea temere, suo cum damno factitare videbam: at, qui contento animo curam adhiberent, eos tum celerius faciliusque, tum majori cum lucro sua facere animadvertebam. A quibus te quoque arbitror, si velis, & si Deus non adversetur, discere posse; ut rei faciundæ peritissimus fias.

CAP. III.

EA quum Critobulus audisset: Nunc ego te, mi Socrates, ait, non missum faciam prius, quam mihi quod pollicitus es horum in amicorum præsentia, demonstres. Quid ergo, mi Critobule, subjecit Socrates, si demonstrabo tibi primum quosdam ædes inutiles ingenti pecuniæ, quosdam longe minore domos ejus-

οἰκοδομοῦντας, τοὺς δὲ ἀπὸ πολὺ ἐλάττονος πάντα ἐχόντας, ὅσα δεῖ, ἢ δόξω ἔν τί σοι τοῦτο τῶν οἰκονομικῶν ἔργων ἐπιδεικνύναι; καὶ πάνυ γ', ἔφη ὁ Κριτόβουλος.

β'. Τί δ', ἢν τὸ τούτου ἀκόλουθον μετὰ τοῦτό σοι ἐπιδεικνύω, τοὺς μὲν πάνυ πολλὰ καὶ παντοῖα κεκτημένους ἔπιπλα, καὶ τούτοις, ὅταν δέωνται, μὴ ἔχοντας χρῆσθαι, μηδὲ εἰδότας, εἰ σῶά ἐστιν αὐτοῖς, καὶ διὰ ταῦτα πολλὰ μὲν αὐτοὺς ἀνιωμένους, πολλὰ δὲ ἀνιῶντας τοὺς οἰκέτας· τοὺς δὲ, οὐδὲν πλέον, ἀλλὰ καὶ μείονα τούτων κεκτημένους, ἔχοντας εὐθὺς ἕτοιμα, ὅταν ὧν ἂν δέωνται, χρῆσθαι.

γ'. Ἀλλὰ τί οὖν τούτων ἐστὶν, ὦ Σώκρατες, αἴτιον, ἢ ὅτι τοῖς μὲν ὅπου ἔτυχεν ἕκαστον καταβέβληται, τοῖς δὲ ἐν χώρᾳ ἕκαστα τεταγμένα κεῖται; ναὶ μὰ Δί', ἔφη ὁ Σωκράτης. καὶ οὐδ' ἐν χώρᾳ γ', ἐν ᾗ ἔτυχεν, ἀλλ' ἔνθα προσήκει, ἕκαστα διατέτακται. λέγειν τι μοὶ δοκεῖς, ἔφη, καὶ τοῦτο, ὁ Κριτόβουλος, τῶν οἰκονομικῶν.

δ'. Τί

ejuſmodi exſtruere, quæ ab omnibus inſtructæ ſint, à quibus eſſe debent; an non videbor tibi unum aliquod opus ex eis quæ ad domeſticam adminiſtrationem pertinent, oſtendere? Omnino, ait Critobulus.

2. Quid autem, ſi, quod conſequens hujus eſt, deinceps commonſtrem tibi? nimirum quoſdam, qui ſupellectilem multam ac variam poſſideant, nec ea, quum opus eſt, uti poſſe, neque ſcire, an omnia ſint eis integra, eaſque ob cauſſas magna moleſtia tum ſe tum familiam afficere: quoſdam vero, qui non his ampliorem, ſed tenuiorem etiam poſſideant, ad uſum omnia parata habere, quum eis opus eſt.

3. Quæ verò cauſſa ſit alia, mi Socrates, niſi quod illis quidem fortuitu projecta ſingula, his ordine collocata jacent? Ita profectò eſt, ait Socrates. Imo nè fortuito quidem in loco, ſed eo diſtributa ſingula ſunt, quo ſita eſſe par erat. Videris mihi hoc quoque proferre, ſubjecit Critobulus, unum ex iis quæ ad rem domeſticã pertinent.

4. Quid

δ'. Τί οὖν; ἤν σοι (ἔφη) καὶ οἰκέτας αὖ ἐπιδεικνύω, ἔνθα μὲν πάντας, ὡς εἰπεῖν, δεδεμένους, καὶ τούτους θαμινὰ ἀποδιδράσκοντας, ἔνθα δὲ λελυμένους, καὶ ἐθέλοντάς τε ἐργάζεσθαι καὶ παραμένειν, οὐ καὶ τοῦτό σοι δόξω ἀξιοθέατον τῆς οἰκονομίας ἔργον ἐπιδεικνύναι; καὶ μὰ Δί', ἔφη ὁ Κριτόβουλος, καὶ σφόδρα γε.

ε'. Ην δὲ καὶ παραπλησίως γεωργίας γεωργοῦντας, τοὺς μὲν ἀπολωλέναι φάσκοντας ὑπὸ γεωργίας, καὶ ἀποροῦντας, τοὺς δὲ, ἀφθόνως καὶ καλῶς πάντα ἔχοντας, ὅσων δέονται, ἀπὸ τῆς γεωργίας; καὶ μὰ Δί', ἔφη ὁ Κριτόβουλος. ἴσως γὰρ ἀναλίσκουσιν οὐκ εἰς ἃ δεῖ μόνον, ἀλλὰ καὶ εἰς ἃ βλάβην φέρει αὐτῷ καὶ τῷ οἴκῳ.

ς'. Εἰσὶ μέν τινες ἴσως, ἔφη ὁ Σωκράτης, καὶ τοιοῦτοι· ἀλλ' ἐγὼ οὐ τούτους λέγω, ἀλλ' οἳ οὐδ' εἰς τἀναγκαῖα ἔχουσι δαπανᾶν, γεωργεῖν φάσκοντες. καὶ τί ἂν εἴη τούτου αἴτιον, ἔφη, ὦ Σώκρατες; ἐγώ σε ἄξω καὶ

'ἐπὶ

4. Quid autem, si & famulos demonstrem tibi istic quidem vinctos, ut ita dicam, ac nihilominus frequenter aufugientes; heic vero solutos, non tamen invite vel laborantes, vel manentes: an non illud etiam opus consideratu dignum in administratione domestica tibi ostendere videbor? Maxime quidem certe, ait Critobulus.

5. Quid si diversos consimili ratione colentes agrum, quorum alii se per agriculturam perditos dicant, & inopes sint; alii abunde commodeque omnia necessaria ex eadem agricultura habeant? Ita est, inquit Critobulus. Nam fortassis impensas faciunt non in ea modo, in quæ fieri par est; sed etiam in alia, quæ tum ipsi tum familiæ damnum adferant.

6. Sunt fortasse nonnihil tales, ait Socrates: verum ego non de his loquor, sed de iis qui quum agriculturam exercere se fateantur, non tamen ne quidem in res necessarias sumtum facere possunt. Et quænam, inquit, ejus rei fuerit caussa, mi Socrates? Deducam ego

ego

ἐπὶ τούτους, ἔφη ὁ Σωκράτης· σὺ δὲ θεώμενος δήπου καταμαθήσῃ. νὴ Δί', ἔφη, ἢν δύνωμαί γε.

ζ'. Οὐκοῦν χρὴ θεώμενον σαυτοῦ ἀποπειρᾶσθαι, εἰ γνώσῃ. νῦν δ' ἐγώ σοι σύνοιδα ἐπὶ μὲν κωμῳδῶν θέαν καὶ πάνυ πρωῒ ἀνιστάμενον, καὶ πάνυ μακρὰν ὁδὸν βαδίζοντα, καὶ ἐμὲ ἀναπείθοντα προθύμως συνθεᾶσθαι. ἐπὶ δὲ τοιοῦτον οὐδέν με πώποτε ἔργον παρεκάλεσας.

η'. Οὐκοῦν γελοῖός σοι φαίνομαι εἶναι, ὦ Σώκρατες; σαυτῷ δὲ πολὺ νὴ Δί', ἔφη, γελοιότερος. ἢν δὲ καὶ ἀφ' ἱππικῆς σοι ἐπιδεικνύω τοὺς μὲν εἰς ἀπορίαν τῶν ἐπιτηδείων ἐληλυθότας, τοὺς δὲ διὰ τὴν ἱππικὴν καὶ πάνυ εὐπόρους ὄντας, καὶ ἅμα ἀγαλλομένους ἐπὶ τῷ κέρδει; οὐκοῦν τούτους μὲν καὶ ἐγὼ ὁρῶ, καὶ οἶδα ἑκατέρους, καὶ οὐδέν τι μᾶλλον τῶν κερδαινόντων γίγνομαι.

θ'. Θεᾷ γὰρ αὐτοὺς ὥσπερ τοὺς τραγῳδούς τε καὶ κωμῳδοὺς,

ego te, ait Socrates, ad hos quoque: tu eos contemplatus, rem animadvertes. Profecto si quidem possim, inquit.

7. Necesse est igitur periculum tui contemplando facias, an intelligere possis. Memini vero te ad spectandos comoediarum actores admodum aliquando mane surrexisse, ac valde longam viam confecisse, mihique auctorem fuisse, ut una tecum spectator esse non recusarem. Verum ad rem quandã hujusmodi nunquã me es cohortatus.

8. Ergone tibi, mi Socrates, ridiculus esse videor? Imo tibimet profecto multo magis ridiculus. Quid autem, si tibi quosdam commonstrem, qui ex re equestri ad rerum necessariarum inopiam redacti sint; itemque alios, qui per eandem rem equestrem magnam rerum copiam paraverint, atq; de hoc lucro mirificam voluptatem capiant? Eos vero ipse quoque video, & utrosque novi, quamquam nihilo sim magis eorum in numero, qui lucrum faciunt.

9. Nimirum sic eos spectas, ut tragoediarum & comoediarum actores,

μωδοὺς, ὐχ ὅπως ποιητὴς (οἴομαι) γένῃ, ἀλλ' ὅπως ἥδῃς ἰδὼν τι ἢ ἀκούσας. καὶ ταῦτα μὲν ἴσως οὕτως ὀρθῶς ἔχει. οὐ γὰρ ποιητὴς βούλει γενέσθαι. ἱππικῇ δ' ἀναγκαζόμενος χρῆσθαι, οὐ μωρὸς οἴει εἶναι, εἰ μὴ σκοπεῖς, ὅπως μὴ ἰδιώτης ἔσῃ τούτου τοῦ ἔργου, ἄλλως τε καὶ τῶν αὐτῶν ὄντων ἀγαθῶν εἴς τε τὴν χρῆσιν, καὶ κερδαλέων εἰς πώλησιν ὄντων;

ι'. Πωλοδαμνεῖν με κελεύεις, ὦ Σώκρατες; οὐ μὰ Δί' οὐδέν τι μᾶλλον, ἢ καὶ γεωργοὺς ἐκ παιδίων ὠνούμενον κατασκευάζειν. ἀλλ' εἶναι τινές μοι δοκοῦσιν ἡλικίαι καὶ ἵππων καὶ ἀνθρώπων, αἳ εὐθύς τε χρήσιμοί εἰσι, καὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδόασιν. ἔχω δ' ἐπιδεῖξαι καὶ γυναῖκας ταῖς γαμεταῖς τοὺς μὲν οὕτω χρωμένους, ὥστε συνεργοὺς ἔχειν αὐταῖς εἰς τὸ συναύξειν τοὺς οἴκους, τοὺς δὲ ᾗ ὡς πλεῖστα λυμαίνονται.

ια'. Καὶ τούτου πότερον χρή, ὦ Σώκρατες, τὸν ἄνδρα αἰτιᾶσθαι, ἢ τὴν γυναῖκα; πρόβατον μέν, ἔφη ὁ Σωκράτης, ὡς ἐπὶ τὸ πολὺ

actores, non illos quidem, mea sententia, ut poeta fias: sed ut videndo, atque audiendo nonnihil, voluptatem capias. Ac fortassis id quidem recte. Nec enim poeta vis fieri. Quum autem necessario rem equestrem tractare cogaris, non te stultum existimas esse, si non consideres, quo pacto ea in re minime rudis sis, praesertim quum eadem heic ad usum commoda sint, & ad vendendum fructuosa?

10. Pullos equorum domare me jubes, Socrates? Nihilo magis, ait, quam emere quos à pueris ad colendum agrum] praepares. Sed quaedam mihi tam equorum quam hominum aetates esse videntur, quae statim utiles sint, & in melius proficiant. Possum etiam commonstrare quosdam, qui nuptas sibi uxores ita tractant, ut earum adjumento rem familiarem augeant: alios, ut damna maxima accipiant.

11. Hac etiam in parte, mi Socrates, virone an uxori tribuenda culpa est? Si pecus, ait Socrates, male adfectum sit, plerumque

ἐπιτοπολὺ ἣν κακῶς ἔχῃ, τὸν νομέα αἰτιώμεθα· καὶ ἵππος ὡς ἐπιτοπολὺ ἣν κακουργῇ, τὸν ἱππέα κακίζομεν. τῆς δὲ γυναικὸς, εἰ μὲν διδασκομένη ὑπὸ τοῦ ἀνδρὸς τἀγαθὰ κακοποιεῖ, ἴσως δικαίως ἂν ἡ γυνὴ τὴν αἰτίαν ἔχοι· εἰ δὲ μὴ διδάσκων τὰ καλὰ κἀγαθὰ, ἀνεπιστήμονι τούτων χρῷτο, ἆρ᾽ οὐ δικαίως ἂν ὁ ἀνὴρ τὴν αἰτίαν ἔχοι;

ιβ΄. Πάντως δ᾽, ἔφη, ὦ Κριτόβουλε (φίλοι γάρ ἐσμεν οἱ παρόντες) ἀπαλήθευσαι πρὸς ἡμᾶς. ἔστιν ὅτῳ ἄλλῳ τῶν σπουδαίων πλείω ἐπιτρέπεις, ἢ τῇ γυναικί; οὐδενὶ, ἔφη. ἔστι δὲ ὅτῳ ἐλάσσονα διαλέγῃ, ἢ τῇ γυναικί; εἰ δὲ μὴ, οὐ πολλοῖς γε, ἔφη.

ιγ΄. Ἔγημας δὲ αὐτὴν παῖδα νέαν μάλιστα, ἢ καὶ ὡς ἠδύνατο ἐλάχιστα ἑωρακυῖαν καὶ ἀκηκουῖαν; μάλιστα. οὐκοῦν πολὺ θαυμαστότερον, εἴπερ ὧν δεῖ λέγειν ἢ πράττειν ἐπίσταιτο, ἢ εἰ ἐξαμαρτάνοι.

ιδ΄. Οἷς δὲ σὺ λέγεις ἀγαθὰς εἶναι γυναῖκας, ὦ Σώκρατες, εἰ

rumque pastorem accusamus: si equus lædat aliquem, plerumque crimen in equitem confertur. Uxor à marito si recte instituta male se gerit, merito culpam ipsa sustinet; at si vir ea quæ honesta & laudabilia sunt, non docuerit illam, atque ita horum ignara utatur, an non in virum merito ea culpa conferri debeat?

12. Omnino, mi Critobule, inquit, (sumus enim amici, quotquot heic adsumus) verum nobis dicito: Estne aliquis alius, cui plus rerum seriarum committas, quam uxori? Nemini, ait. Estne vero quispiam, cum quo minus colloquare, quam cum illa? Si minus, inquit, cum nemine; saltim cum non multis.

13. An vero eam puellam admodum duxisti, aut saltim quæ, quam fieri potuit, minime multa tnm vidisset tum audivisset? Maxime. Multo igitur magis mirum erit, si, quid dicendum faciundumve sit, sciat, quam si peccet.

14. Quibus autem bonas tu dicis uxores esse, mi Socrates, num

εἰ αὐτοὶ ταύτας ἐπαίδευσαν; οὐδὲν * οἷον τὸ ἐπισκοπεῖσθαι. συστήσω δέ σοι ἐγὼ καὶ Ἀσπασίαν, ἣ ἐπιστημονέστερον ἐμοῦ σοι ταῦτα πάντα ἐπιδείξει.

ιε΄. Νομίζω δὲ γυναῖκα κοινωνὸν ἀγαθὴν οἴκου οὖσαν, πάνυ ἀντίρροπον εἶναι τῷ ἀνδρὶ ἐπὶ τὸ ἀγαθόν. ἔρχεται μὲν γὰρ εἰς τὴν οἰκίαν διὰ τῶν τοῦ ἀνδρὸς πράξεων τὰ κτήματα ὡς ἐπιτοπολὺ, δαπανᾶται δὲ διὰ τῶν τῆς γυναικὸς ταμιευμάτων τὰ πλεῖστα. καὶ εὖ μὲν τούτων γιγνομένων, αὔξονται οἱ οἶκοι, κακῶς δὲ τούτων πραττομένων, οἱ οἶκοι μειοῦνται. οἶμαι δέ σοι καὶ τῶν ἄλλων ἐπιστημῶν τοὺς ἀξίως λόγου ἑκάστην ἐργαζομένους ἔχειν ἂν ἐπιδεῖξαί σοι, εἴ τι προσδεῖσθαι νομίζεις.

ΚΕΦ. δ΄.

ΑΛΛΑ πάσας μὲν τί σε δεῖ ἐπιδεικνύναι, ὦ Σώκρατες; ἔφη ὁ Κριτόβουλος. οὔτε γὰρ κτήσασθαι πασῶν τῶν τεχνῶν ἐργάτας ῥᾴδιον, οἵους δεῖ, οὔτε ἔμπειρον γενέσθαι

αὐτῶν

num illi eas sic instituerunt? Nihil vetat, id à nobis considerari. Atq; equidem etiam Aspasiam tibi commendabo, quæ multo peritius hæc omnia tibi ostendet.

15. Existimo autem, uxorem, quæ in domo bona sit socia, tantundem habere momenti ad utriusque utilitatem, quantum vir habeat. Nam plerumque viri opera facultates in domum veniunt, & maxima pars earum uxore promente consumitur. Quæ quidem si recte fiant, amplificantur domus: sin autem, deminuuntur. Arbitror autem me posse tibi aliarum etiam artium opifices, qui singulas egregie faciant, commonstrare; siquidem id desideres.

CAP. IV.

ET Critobulus: Quid vero necesse sit, ait, mi Socrates, universas ostendere? Nec enim facile possunt parari, qui artes omnes recte exerceant, nec illarum peritus aliquis fieri potest.

Sal-

αὐτῶν οἷόν τε. ἀλλ' αἳ δοκοῦσι κάλλισται τῶν ἐπιστημῶν, καὶ ἐμοὶ πρέποιεν ἂν μάλιστα ἐπιμελομένῳ, ταύτας μοι καὶ αὐτὰς ἐπιδείκνυε, καὶ τοὺς πράττοντας αὐτάς. καὶ αὐτὸς δὲ ὅ,τι δύνασαι, συνωφέλει εἰς ταῦτα διδάσκων.

β'. Ἀλλὰ καλῶς, ἔφη, λέγεις, ὦ Κριτόβουλε. καὶ γὰρ αἵ γε βαναυσικαὶ καλούμεναι, καὶ ἐπίρρητοί εἰσι, καὶ εἰκότως μέντοι πάνυ ἀδοξοῦνται πρὸς τῶν πόλεων. καταλυμαίνονται γὰρ τὰ σώματα τῶν τε ἐργαζομένων καὶ τῶν ἐπιμελομένων, ἀναγκάζουσαι καθῆσθαι καὶ σκιατραφεῖσθαι, ἔνιαι δὲ καὶ πρὸς πῦρ ἡμερεύειν. τῶν δὲ σωμάτων θηλυνομένων καὶ αἱ ψυχαὶ πολὺ ἀρρωστότεραι γίγνονται.

γ'. Καὶ ἀσχολίας δὲ μάλιστα ἔχουσι καὶ φίλων καὶ πόλεως συνεπιμελεῖσθαι αἱ βαναυσικαὶ καλούμεναι. ὥστε οἱ τοιοῦτοι δοκοῦσι κακοὶ καὶ φίλοις χρῆσθαι, καὶ ταῖς πατρίσιν ἀλεξητῆρες εἶναι. καὶ ἐν ἐνίαις μὲν τῶν πόλεων, μάλιστα δὲ ἐν ταῖς ἐν πολέμοις δοκούσαις εἶναι, οὐδ' ἔξεστι τῶν πολιτῶν οὐδενὶ βαναυσικὰς τέχνας ἐργάζεσθαι.

δ'. Ἡμῖν

Saltim mihi velim ostendas tum quæ pulcherrimæ videantur, ac me decere maxime, si operam in eis ponam; tum eos qui has exerceant. Quinetiam ipse aliquid adjumenti, si potes, ad hoc mihi docendo adfer.

2. Recte dicis, ait, mi Critobule. Nam quæ artes infimæ notæ sunt, & appellantur sordidæ, infames sunt, & merito in civitatibus non magni fiunt. Etenim corpora illorum, qui vel eas exercent, vel curant, corrumpunt: dum sedere illos cogunt, & in umbra vivere, totosque dies ad ignem esse. Jam si corpora effeminentur, etiam animi longe debiliores redduntur.

3. Eædem illiberales artes tantas habent occupationes, ut amicis & rei publicæ dari opera non possit. Quo fit, ut ejusmodi homines nec amicorum usui videantur esse commodi, nec tueri patriam possint. Etiam nonnullis in urbibus, maxime quæ bellis occupantur, ne quidem licet cuiquam civium sordidas hasce artes exercere.

4. No-

δ'. Ἡμῖν δὲ δὴ ποίαις συμβουλείαις, ὦ Σώκρατες, χρῆσθαι; ἆρα, ἔφη ὁ Σωκράτης, μὴ αἰσχυνθῶμεν τὸν Περσῶν βασιλέα μιμήσασθαι. ἐκεῖνον γάρ φασιν ἐν τοῖς καλλίστοις τε καὶ ἀναγκαιοτάτοις ἡγούμενον εἶναι ἐπιμελήμασι γεωργίαν τε καὶ τὴν πολεμικὴν τέχνην, τούτων ἀμφοτέρων ἰσχυρῶς ἐπιμελεῖσθαι.

ε'. Καὶ ὁ Κριτόβουλος, ἀκούσας ταῦτα, εἶπε· καὶ τοῦτο (ἔφη) πιστεύεις, ὦ Σώκρατες, βασιλέα τὸν Περσῶν γεωργίας συνεπιμελεῖσθαι; ὧδ' ἄν, ἔφη ὁ Σωκράτης, ἐπισκοποῦντες, ὦ Κριτόβουλε, ἴσως ἂν καταμάθοιμεν εἴ τι συνεπιμελεῖται. τῶν μὲν γὰρ πολεμικῶν ἔργων ὁμολογοῦμεν αὐτὸν ἰσχυρῶς ἐπιμελεῖσθαι, ὅτι ἐξ ὁπόσων τῶν ἐθνῶν δασμοὺς λαμβάνει, τέταχε τῷ ἄρχοντι ἑκάστῳ, εἰς ὁπόσους δεῖ διδόναι τροφὴν ἱππέας, καὶ τοξότας, καὶ σφενδονήτας, καὶ γερροφόρους, οἵτινες τῶν τε ὑπ' αὐτοῦ ἀρχομένων ἱκανοὶ ἔσονται κρατεῖν, καὶ ἢν πολέμιοι ἐπίωσιν, ἀρήξουσι τῇ χώρᾳ.

ϛ'. Χωρὶς δὲ τούτων, φύλακας ἐν ταῖς ἀκροπόλεσι τρέφει, καὶ

4. Nobis vero, Socrates, quibus utendum esse consulis? Ne nos pudeat, inquit, Persarum regem imitari. Nam illum, aiunt, quod agriculturam, & bellicæ rei artem, pulcherrimas & maxime necessarias existimet, utramque maximo studio colere.

5. Quibus auditis Critobulus: Tunc vero, mi Socrates, inquit, Persarum regem inter alia agriculturæ operam aliquam dare credis? Si hoc modo, ait Socrates, rem consideraverimus, fortassis intelligemus, Critobule, num inter alia etiam agriculturæ det operam. Etenim rerum bellicarum maxime studiosum esse fatemur, idcirco quod in omnibus nationibus, quæ tributum ei pendunt, constitutum sit cuique prætori, quot equites, sagittarii, funditores, scutati stipendiis ali debeant; qui ad continendum in officio subjectos ipsius imperio sufficiant, & si hostes invadant ipsius regnum, tueri illud possint.

6. Præter hos, alit in arcibus præsidiarios, & annonam dat

καὶ τὴν μὲν ζοφὴν τοῖς φρουροῖς δίδωσιν ὁ ἄρχων, ᾧ τοῦτο προστέτακται· βασιλεὺς δὲ καθ' ἐνιαυτὸν ἐξέτασιν ποιεῖται τῶν μισθοφόρων καὶ τῶν ἄλλων οἷς ὡπλίσθαι προστέτακται, καὶ πάντας ἅμα συνάγων, πλὴν τοὺς ἐν ταῖς ἀκροπόλεσιν, ἔνθα δὴ ὁ σύλλογος καλεῖται. καὶ τοὺς μὲν ἀμφὶ τὴν αὑτοῦ οἴκησιν αὐτὸς ἐφορᾷ, τοὺς δὲ πρόσω ἀποικοῦντας, πιστοὺς πέμπει ἐπισκοπεῖν.

ζ'. Καὶ οἳ μὲν ἂν φαίνωνται τῶν φρουράρχων, καὶ τῶν χιλιάρχων, καὶ τῶν σατραπῶν τὸν ἀριθμὸν τὸν τεταγμένον ἔκπλεων ἔχοντες, καὶ τούτους δοκίμοις ἵπποις τε καὶ ὅπλοις κατεσκευασμένους παρέχωσι, τούτους μὲν τοὺς ἄρχοντας καὶ ταῖς τιμαῖς αὔξει, καὶ δώροις μεγάλοις καταπλουτίζει· οὓς δ' ἂν εὕρῃ τῶν ἀρχόντων ἢ καταμελοῦντας τῶν φρουράρχων, ἢ κατακερδαίνοντας, τούτους χαλεπῶς κολάζει, καὶ παύων τῆς ἀρχῆς, ἄλλους ἐπιμελητὰς καθίστησι. τῶν μὲν δὴ πολεμικῶν ἔργων ταῦτα ποιῶν δοκεῖ ἡμῖν ἀναμφιλόγως ἐπιμελεῖσθαι.

dat præsidiariis præfectus is, cui datum est hoc negotii: rex autem in annos singulos & stipendiarios & alios lustrat quibus injunctum est, ut sint in armis; omnesque in unum cogit, exceptis iis qui arces custodiunt, ad eum locum quo conventus indicitur. Qui vicini sunt locis iis, in quibus degit, eos ipse inspicit: ad eos autem, qui procul habitant, fidos quosdam homines mittit, qui eos inspiciant.

7. Ac magistri quidem præsidiorum, & tribuni, & satrapæ, qui numerum constitutum habere se integrum palam ostendunt, militesque bonis equis & armis instructos exhibent, à rege honoribus augentur, & ingentibus donis collocupletantur. Quos vero prætores vel negligere præsidiorum magistros, vel quæstum suum facere compererit: eos graviter punit, ademptoque ipsis imperio, alios eorum loco rerum suarum curatores constituit. Atque hæc quia facit, haud dubie nobis aliquid bellicis in rebus studii ponere videtur.

η'. Ἔτι δὲ ὁπόσην μὲν τῆς χώρας διελαύνων ἐφορᾷ αὐτός, καὶ δοκιμάζει· ὁπόσην δὲ μὴ αὐτὸς ἐφορᾷ, πέμπων πιστοὺς ἐπισκοπεῖται. καὶ οὓς μὲν ἂν αἰσθάνηται τῶν ἀρχόντων συνοικουμένην γε τὴν χώραν παρεχομένους, καὶ ἐνεργὸν οὖσαν τὴν γῆν, καὶ πλήρη δένδρων τε, ὧν ἑκάστη φέρει, καὶ καρπῶν, τούτοις μὲν χώραν τὴν ἄλλην προστίθησι, καὶ δώροις κοσμεῖ, καὶ ἕδραις ἐντίμοις γεραίρει. οἷς δ᾽ ἂν ὁρᾷ ἀργόν τε τὴν χώραν οὖσαν, καὶ ὀλιγάνθρωπον, ἢ διὰ χαλεπότητα, ἢ δι᾽ ὕβριν, ἢ δι᾽ ἀμέλειαν, τούτους δὲ κολάζων, καὶ παύων τῆς ἀρχῆς, ἄρχοντας ἄλλους καθίστησι.

θ'. Ταῦτα ποιῶν δοκεῖ ἧττον ἐπιμελεῖσθαι, ὅπως ἡ γῆ ἐνεργὸς ἔσται ὑπὸ τῶν κατοικούντων, ἢ ὅπως εὖ φυλάξεται ὑπὸ τῶν φρουρούντων; καὶ εἰσὶ δ᾽ αὐτῷ οἱ ἄρχοντες διατεταγμένοι ἐφ᾽ ἑκάτερον οὐχ οἱ αὐτοί, ἀλλ᾽ οἱ μὲν ἄρχουσι τῶν κατοικούντων τε, καὶ τῶν ἐργατῶν, καὶ δασμοὺς ἐκ τούτων ἐκλέγουσιν· οἱ δ᾽ ἄρχουσι τῶν ὡπλισμένων φρουρῶν.

ι'. Κἂν

8. Præterea quantum regionis suæ peragrans ipse inspicit, in eo etiam omnia explorat: quantum vero ipse non inspicit, id missis fidis hominibus invisit. Et quos quidem prætores animadvertit egregie habitatam terram exhibere, solumque cultum, & arboribus, pro cujusque soli natura, fructibusque plenum: eis alium etiam agrum attribuit, & muneribus cohonestat, & locis in consessu honoratis ornat. Quorum vero terram incultam esse videt, ac à paucis habitatam, vel propter ipsorum asperitatem, vel petulantiam, vel negligentiam; iis multatis, & magistratu dejectis, alios eorum loco prætores constituit.

9. Hæc dum facit, an tibi minus curare videtur, ut terra colatur ab incolis, quam ut à præsidiis recte custodiatur? Et sunt ei sane prætores ad utrumque constituti, non iidem: sed alii præsunt incolis, & operas facientibus, deque his vectigalia colligunt, alii præsidiis armatis præsunt.

10. Ac

ι'. Κἂν μὲν ὁ φρούραρχος μὴ ἱκανῶς τῇ χώρᾳ ἀρήγῃ, ὁ τῶν ἐνοικούντων ἄρχων καὶ τῶν ἔργων ἐπιμελούμενος, κατηγορεῖ τοῦ φρουράρχου, ὅτι οὐ δύνανται ἐργάζεσθαι διὰ τὴν ἀφυλαξίαν. ἢν δὲ παρέχοντος τοῦ φρουράρχου εἰρήνην τοῖς ἔργοις, ὁ ἄρχων ὀλιγάνθρωπόν τε παρέχηται καὶ ἀργὸν τὴν χώραν, τούτου αὖ κατηγορεῖ ὁ φρούραρχος.

ια'. Καὶ γὰρ σχεδόν τι οἱ κακῶς τὴν χώραν ἐργαζόμενοι· οὔτε τοὺς φρουροὺς τρέφουσιν, οὔτε τοὺς δασμοὺς δύνανται ἀποδιδόναι. ὅπου δ' ἂν Σατράπης καθιστῆται, οὗτος ἀμφοτέρων τούτων ἐπιμελεῖται.

ιβ'. Ἐκ τούτων ὁ Κριτόβουλος εἶπεν· οὐκοῦν εἰ μὲν δὴ ταῦτα ποιεῖ βασιλεὺς, ὦ Σώκρατες, οὐδὲν ἔμοιγε δοκεῖ ἧττον τῶν γεωργικῶν ἔργων ἐπιμελεῖσθαι ἢ τῶν πολεμικῶν.

ιγ'. Ἔτι δὲ πρὸς τούτοις, ἔφη ὁ Σωκράτης, ἐν ὁπόσαις τε χώραις ἐνοικεῖ, καὶ εἰς ὁπόσας ἐπιστρέφεται, ἐπιμελεῖται τούτων, ὅπως κῆποί τε ἔσονται, οἱ παράδεισοι καλούμενοι, πάντων καλῶν τε καὶ ἀγαθῶν μεστοὶ, ὁπόσα ἡ γῆ φύειν ἐθέλει. καὶ

ἐν

10. Ac si quidem præsidii magister regionem non satis defenderit, incolarum prætor, & is, qui operum faciundorum curam gerit, accusat ipsum: quod ob negligentiam custodiæ exerceri opera non possint: Sin præsidii magistro pacem operibus faciundis præstante, prætor regionem à paucis habitatam, & incultam exhibeat: vicissim ille à præsidii magistro accusatur.

11. Nam fere illi, qui terram male colunt, neque præsidiarios alunt, neque tributa possunt pendere. Ubi vero satrapa constitutus est, is curam horum utriusque habet.

12. Secundum ea Critobulus: Quod si, mi Socrates, inquit, hæc facit rex; nihilo mihi videtur minus agriculturæ, quam rei bellicæ curam gerere.

13. Præter hæc, ait Socrates, qualcunque regiones incolit, & quocunque se confert, studiose dat operam, ut horti sint, quos paradisos vocant, omnibus referti quæcunque pulchra & bona enasci de terra possunt. Atque in

 his

ἐν τούτοις αὐτὸς τὰ πλεῖστα διατρίβει, ὅταν μὴ ἡ ὥρα τοῦ ἔτους ἐξείργῃ.

ιδ'. Νὴ Δί', ἔφη ὁ Κριτόβουλος, ἀνάγκη τοίνυν, ὦ Σώκρατες, ἔνθα γε διατρίβει αὐτός, καὶ ὅπως ὡς κάλλιστα κατεσκευασμένοι ἔσονται οἱ παράδεισοι, ἐπιμελεῖσθαι, δένδρεσι, καὶ τοῖς ἄλλοις ἅπασι καλοῖς, ὅσα ἡ γῆ φύει.

ιε'. Φασὶ δέ τινες, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, καὶ ὅταν δῶρα διδῷ ὁ βασιλεύς, πρῶτον μὲν εἰσκαλεῖν τοὺς πολέμῳ ἀγαθοὺς γεγονότας, ὅτι οὐδὲν ὄφελος πολλὰ ἀροῦν, εἰ μὴ εἶεν οἱ ἀρήξοντες. δεύτερον δέ, τοὺς κατασκευάζοντας τὰς χώρας ἄριστα καὶ ἐνεργοὺς ποιοῦντας· λέγοντα, ὅτι οὐδ' ἂν οἱ ἄλκιμοι δύναιντο ζῆν, εἰ μὴ εἶεν οἱ ἐργαζόμενοι.

ιϛ'. Λέγεται δὲ καὶ Κῦρός ποτε, ὅσπερ εὐδοκιμώτατος δὴ βασιλεὺς γεγένηται, εἰπεῖν τοῖς ἐπὶ τὰ δῶρα κεκλημένοις· ὅτι αὐτὸς ἂν δικαίως τὰ ἀμφοτέρων δῶρα λαμβάνοι. κατασκευάζειν τε γὰρ ἄριστος εἶναι ἔφη χώραν, καὶ ἀρήγειν τοῖς κατεσκευασμένοις.

ιζ'. Κῦρος

his ipſe magna ex parte verſatur, quum anni tempus id fieri non prohibet.

14. Profectò igitur, inquit Critobulus, curari neceſſe eſt illic, mi Socrates, ubi rex verſatur, ut pulcherrime inſtructi ſint paradiſi, tum arboribus tum aliis rebus è terra naſcentibus.

15. Proditur etiam à nonnullis, mi Critobule, ait Socrates, quoties rex munera largiatur, primum eos arceſſi ad ipſum, qui præclare ſe in bello geſſerint; quod multum arare, nihil proſit, niſi ſint, qui arantes defendant: deinde, qui regiones ſuas quamoptimas præſtant, & cultas reddunt. Etenim dicere regem, ne vivere quidem poſſe viros fortes, niſi ſint qui terram colant.

16. Et Cyrum aiunt, maxima gloria regem, dixiſſe aliquando ad eos qui ad accipienda munera vocati eſſent, merito ſibi utraque dona deberi: Nam ſe regionem optime poſſe inſtruere, & quæ jam inſtructa ſint, defendere.

17. Cyrus

ιζ'. Κῦρος μέντοι, ἔφη ὁ Κριτόβουλος, ὦ Σώκρατες, καὶ ἐπηγάλλετο οὐδὲν ἧττον, εἰ ταῦτα ἔλεγεν, ἐπὶ τῷ χώρας ἐνεργοὺς ποιεῖν, καὶ κατασκευάζειν, ἢ ἐπὶ τῷ πολεμικὸν εἶναι.

ιη'. Καὶ ναὶ μὰ Δί', ἔφη ὁ Σωκράτης, Κῦρός γε, εἰ ἐβίωσεν, ἄριστος ἂν δοκεῖ ἄρχων γενέσθαι. καὶ τούτου τεκμήρια ἄλλά τε πολλὰ παρέσχηται, καὶ ὁπότε περὶ τῆς βασιλείας τῷ ἀδελφῷ ἐπορεύετο μαχούμενος, παρὰ μὲν Κύρου οὐδεὶς λέγεται αὐτομολῆσαι πρὸς τὸν βασιλέα, παρὰ δὲ τοῦ βασιλέως πολλαὶ μυριάδες πρὸς Κῦρον.

ιθ'. Ἐγὼ δὲ καὶ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι, ᾧ ἂν ἑκόντες ἕπωνται, καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν. ἐκείνῳ δὲ καὶ οἱ φίλοι ζῶντί τε συνεμάχοντο, καὶ ἀποθανόντι συναπέθανον πάντες περὶ τὸν νεκρὸν μαχόμενοι, πλήν γε Ἀριαίου. Ἀριαῖος δ' ἔτυχεν ἐπὶ τῷ εὐωνύμῳ κέρατι τεταγμένος.

κ'. Οὗτος τοίνυν ὁ Κῦρος λέγεται Λυσάνδρῳ, ὅτε ἦλθεν

17. Cyrus ergo, mi Socrates, subjecit Critobulus, si hoc dixit, non minus gloriabatur eo, quod regiones cultas efficere posset, atque instruere, quam quod rei militaris peritus esset.

18. Ac profecto, subjecit Socrates, si vixisset Cyrus, longe præstantissimus in imperio futurus fuisse videtur. Ejus rei cum alia fuerunt argumenta, tum illud etiam, quod quum de regno manum cum fratre conserturus proficisceretur, nullus ab ipso ad regem transiisse feratur, multis millibus hominum à rege ad ipsum deficientibus.

19. Equidem magnum esse argumentum virtutis in Imperatore statuo, si homines eum lubenter sequantur, ac manere apud ipsum in periculis velint. Cyro autem, dum viveret, & in prœlio amici aderant, & quum interfectus esset, omnes circum mortuum pugnantes cum ipso occubuerunt, extra unum Ariæum, qui lævo in cornu collocatus fuerat.

20. Atque hic Cyrus perhibetur, Lysandro, quum à sociis dona

θεν ἄγων αὐτῷ τὰ παρὰ τῶν συμμάχων δῶρα, ἄλλα τε φιλοφρονεῖσθαι, (ὡς αὐτὸς ἔφη ὁ Λύσανδρος, ξένῳ ποτέ τινι ἐν Μεγάροις διηγούμενος) καὶ τὸν ἐν Σάρδεσι παράδεισον ἐπιδεικνύναι * αὐτὸν ἔφη.

κα'. Ἐπεὶ δὲ ἐθαύμαζεν αὐτὸν ὁ Λύσανδρος, ὡς καλὰ μὲν τὰ δένδρα εἴη, (b) δι' ἴσου δὲ τὰ πεφυτευμένα, ὀρθοὶ δὲ οἱ στίχοι τῶν δένδρων, εὐγώνια δὲ πάντα καλῶς εἴη, ὀσμαὶ δὲ πολλαὶ καὶ ἡδεῖαι συμπαρομαρτοῖεν αὐτοῖς περιπατοῦσι· καὶ ταῦτα θαυμάζων, εἶπεν· Ἀλλ' ἐγώ τοι, ὦ Κῦρε, πάντα μὲν ταῦτα θαυμάζω ἐπὶ τῷ κάλλει, πολὺ δὲ μᾶλλον ἄγαμαι τοῦ καταμετρήσαντός σοι, καὶ διατάξαντος ἕκαστα τούτων.

κβ'. Ἀκούσαντα δὲ ταῦτα τὸν Κῦρον ἡσθῆναί τε, καὶ εἰπεῖν· ταῦτα τοίνυν, ὦ Λύσανδρε, ἐγὼ πάντα καὶ διεμέτρησα καὶ διέταξα. ἔστι δὲ αὐτῶν, φάναι, ἃ καὶ ἐφύτευσα αὐτός.

κγ'. Καὶ ὁ Λύσανδρος ἔφη, ἀποβλέψας εἰς αὐτὸν, καὶ ἰδὼν τήν τε ἱματίων τὸ κάλλος ὧν εἶχε, καὶ

τῆς

dona ferens ad eum veniſſet, inter alias comitatis & benevolentiæ ſignificationes, quemadmodum aliquando Lyſander ipſe cuidam hoſpiti ſuo Megaris narravit, etiam hortum, qui Sardibus eſt, ipſemet oſtendiſſe.

21. Hunc Lyſander quum admiraretur ob arborum pulchritudinem, & quod æqualiter eſſent omnia conſita, quod ordines arborum recti, quod angulis accurate factis ornata omnia, quod odores multi ac ſuaves obambulantes ipſos comitarentur: hæc inquam ille quum admiraretur; Equidem, ait, admiror horum omnium pulchritudinem, Cyre: multo tamen magis eum ſuſpicio, qui ſingula tibi ſic & dimenſus eſt, & diſpoſuit.

22. Quæ ut Cyrus audiiſſet, delectatum eis, dixiſſe: Atqui omnia hæc, mi Lyſander, ego dimenſus ſum ac diſpoſui. Nonnulla ſunt etiam, quæ ipſemet conſevi.

23. Tum Lyſander ſe Cyrum intuentem, conſpecta veſtium ipſius pulchritudine, & odore percepto,

tor-

τῆς ὀσμῆς αἰσθόμενον, καὶ τῶν στρεπτῶν καὶ τῶν ψελλίων τὸ κάλλος, καὶ ἄλλου κόσμου οὗ εἶχεν, εἰπεῖν· τί λέγεις, φάναι, ὦ Κῦρε; ἦ γὰρ σὺ ταῖς σαῖς χερσὶ τούτων τι ἐφύτευσας;

κδ'. Καὶ τὸν Κῦρον ἀποκρίνασθαι· θαυμάζεις τοῦτο, ἔφη, ὦ Λύσανδρε; ὄμνυμί σοι τὸν Μίθρην, ὅταν περ ὑγιαίνω, μή πώποτε δειπνῆσαι, πρὶν ἱδρῶσαι, ἢ τῶν πολεμικῶν τι, ἢ τῶν γεωργικῶν ἔργων μελετῶν, ἢ ἀεὶ ἕν γέ τι φιλοτιμούμενος.

κε'. Καὶ αὐτὸς μέντοι ἔφη ὁ Λύσανδρος ἀκούσας ταῦτα, δεξιώσασθαί τε αὐτὸν καὶ εἰπεῖν· δικαίως μοι δοκεῖς, ἔφη, ὦ Κῦρε, εὐδαίμων εἶναι. ἀγαθὸς γὰρ ὢν ἀνήρ, εὐδαιμονεῖς.

ΚΕΦ. ε'.

ΤΑῦτα δέ, ὦ Κριτόβουλε, ἐγὼ διηγοῦμαι, ἔφη ὁ Σωκράτης, ὅτι τῆς γεωργίας οὐδ' οἱ πάνυ μακάριοι δύνανται ἀπέχεσθαι. ἔοικε γὰρ ἡ ἐπιμέλεια αὐτῆς εἶναι ἅμα τε ἡδυπάθειά τις, καὶ οἴκου αὔξησις,

torquium denique armillarumque animadversa elegantia, cæterique ornatus, quem habebat, dixisse commemorabat: Quid ais, Cyre? Tune manibus tuis aliquid horum consevisti?

24. Respondisse vero Cyrum: Hoccine tibi admirationi est, mi Lysander? Mithren juratus testor, nunquam me, quum recte valeo, cibum capere prius quam vel ex bellicis, vel rusticæ rei exercitiis, vel alia quapiam studiosa contentione sudaverim.

25. Atque his auditis Lysander ipse aiebat, manum se Cyri comprehendisse, ac dixisse: Jure mihi beatus esse videris, Cyre. Nam simul & vir egregius, & fortunatus es.

CAP. V.

HÆc tibi ego commemoro, Critobule, inquit Socrates, ut scias, ne felicissimos quidem homines ab agricultura posse abstinere. Nam videtur ejus studium simul & voluptatem quandam habere, & rei familiaris

στις, καὶ σωμάτων ἄσκησις εἰς τὸ δύνασθαι, ὅσα ἀνδρὶ ἐλευθέρῳ προσήκει.

β΄. Πρῶτον μὲν γὰρ ἀφ' ὧν ζῶσιν οἱ ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις· καὶ ἀφ' ὧν τοίνυν ἡδυπαθοῦσι, προσέτι φέρει. ἔπειτα δὲ ὅσα κοσμοῦσι βωμοὺς καὶ ἀγάλματα, καὶ οἷς αὐτοὶ κοσμοῦνται, καὶ ταῦτα μεθ' ἡδίστων ὀσμῶν καὶ θεαμάτων παρέχει.

γ΄. Ἔπειτα δὲ ὄψα πολλὰ τὰ μὲν φύει, τὰ δὲ τρέφει. καὶ γὰρ ἡ προβατευτικὴ τέχνη συνῆπται τῇ γεωργίᾳ· ὥστε ἔχειν καὶ θεοῖς ἐξαρέσκεσθαι θύοντας, καὶ αὐτοὺς χρῆσθαι. παρέχουσα δ' ἀφθονώτατ' ἀγαθά, οὐκ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν, ἀλλὰ ψύχη τε χειμῶνος, καὶ θάλπη θέρους ἐθίζει καρτερεῖν.

δ΄. Καὶ τοὺς μὲν αὐτουργοὺς διὰ τῶν χειρῶν γυμνάζουσα, ἰσχὺν αὐτοῖς προστίθησι· τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας, ἀνδρίζει, πρωῒ ἐγείρουσα, καὶ πορεύεσθαι σφο-

δρῶς

ris amplificationem, & exercitationem corporum, ut ad ea perficienda robur habeant, quæ ingenuis hominibus conveniunt.

2. Primum enim fert terra se colentibus, ea quæ hominibus ad victum necessaria sunt: atque etiam illa fert, de quibus voluptatem capiunt. Deinde suppeditat omnia suavissimis cum odoribus, & gratissima specie, quæcunque homines ad aras, & simulacra deorum, atque etiam ad seipsos ornandos adhibent.

3. Præterea multa obsonia partim producit, partim nutrit. Etenim ars pecuaria cum agricultura conjuncta est. Quo fit ut multa suppetant, quibus sacrificandis tum placare Deos, tum ipsimet uti possimus. Quumque copiosissime bona subministret, non sinit ea cum mollitia capi, sed ad hiemis frigora, & æstatis calores tolerandos consuefacit.

4. Eadem illos, qui manibus suis laborant, exercendo magis robustos efficit: alios vero, qui cura sua colunt agrum, strenuos reddit, dum mane ipsos excitat, acriterque per-

δρῶς ἀναγκάζουσα. καὶ γὰρ ἐν τῷ χώρῳ, καὶ ἐν τῷ ἄστει ἀεὶ ἐν ὥρᾳ αἱ ἐπικαιριώταται πράξεις εἰσίν.

έ. Ἔπειτα ἐάν τε σὺν ἵππῳ ἀρήγειν τις τῇ πόλει βούληται, τὸν ἵππον ἱκανωτάτη ἡ γεωργία συντρέφειν· ἐάν τε πεζῇ, σφοδρὸν τὸ σῶμα παρέχει. θήραις τε ἐπιφιλοπονεῖσθαι συνεπαίρει τι ἡ γῆ, καὶ κυσὶν εὐπέτειαν τροφῆς παρέχουσα, καὶ θηρία συμπαρατρέφουσα.

ϛ'. Ὠφελούμεναι δὲ καὶ αἱ ἵπποι καὶ αἱ κύνες ἀπὸ τῆς γεωργίας, ἀντωφελοῦσι τὸν χῶρον· ὁ μὲν ἵππος, πρωΐ τε κομίζων τὸν κηδόμενον εἰς τὴν ἐπιμέλειαν, καὶ ἐξουσίαν παρέχων ὀψὲ ἀπιέναι· αἱ δὲ κύνες, τά τε θηρία ἀπερύκουσαι ἀπὸ λύμης καρπῶν καὶ προβάτων, καὶ τῇ τε ἐρημίᾳ τὴν ἀσφάλειαν συμπαρέχουσαι.

ζ'. Παρορμᾷ δέ τι καὶ εἰς τὸ ἀρήγειν σὺν ὅπλοις τῇ χώρᾳ καὶ ἡ γῆ τοὺς γεωργούς, ἐν τῷ μέσῳ τοὺς καρποὺς τρέφουσα τῷ κρατοῦντι λαμβάνειν.

ή. Καὶ δραμεῖν δέ, καὶ βαλεῖν, καὶ πηδῆσαι τίς ἱκανωτέρους

τέχνη

pergere cogit. Etenim & ruri, & in urbe ſemper quovis anni tempore quædam actiones ſunt opportuniſſimæ.

5. Deinde ſive quis eques opem civitati ſuæ ferre velit, agricultura maxime alendo equo ſufficit: ſive pedes, acre corpus reddit. Etiam terra venationis ad ſtudium nonnihil adjumenti præſtat, quod & per eam facile canes ali poſſint, & feræ nutriri.

6. Et quia canes quoque cum equis ex agricultura commodum aliquod percipiunt, viciſſim & ipſi ruri proſunt: equus, dum mane portat rei ruſticæ curatorem, ac ſero redeundi poteſtatem facit: canes autem, dum feras abigunt, ne fructibus pecudibuſve noceant, ac ſolitudini ſecuritatem præſtant.

7. Incitat etiam terra nonnihil agricolas ad defendendum armis agrum, quum fructus in medio propoſitos educet, qui victori cedant.

8. Et quæ tandem ars homines magis ad currendum, ad jaculandum, ad ſaltandum idoneos

τέχνη γεωργίας παρέχεται; τίς δὲ τοῖς ἐργαζομένοις πλείω τέχνη ἀντιχαρίζεται; τίς δὲ ἥδιον τὸν ἐπιμελόμενον δέχεται, προτείνουσα προσιόντι λαβεῖν ὅ,τι χρῄζει; τίς δὲ ξένους ἀφθονώτερον δέχεται;

θ'. Χειμάσαι δὲ πυρὶ ἀφθόνῳ, καὶ θερμοῖς λουτροῖς, ποῦ πολὺ πλείων εὐμάρεια ἢ ἐν χώρῳ τῳ; ποῦ δὲ ἥδιον θερίσαι ὕδασί τε, καὶ πνεύμασι, καὶ σκιαῖς, ἢ κατ' ἀγρόν;

ι'. Τίς δὲ ἄλλη θεοῖς ἀπαρχὰς πρεπωδεστέρας παρέχει, ἢ ἑορτὰς πληρεστέρας ἀποδεικνύει; τίς δὲ οἰκέταις προσφιλεστέρα, ἢ γυναικὶ ἡδίων, ἢ τέκνοις ποθεινοτέρα, ἢ φίλοις εὐχαριστοτέρα;

ια'. Ἐμοὶ μὲν θαυμαστὸν δοκεῖ εἶναι, εἴ τις ἐλεύθερος ἄνθρωπος ἢ κτῆμά τι τούτου ἥδιον κέκτηται, ἢ ἐπιμέλειαν ἡδίω τινὰ ταύτης εὕρηκεν, ἢ ὠφελιμωτέραν εἰς τὸν βίον.

ιβ'. Ἔτι δὲ ἡ γῆ θεὸς οὖσα, τοὺς δυναμένους καταμανθάνειν, καὶ δικαιοσύνην διδάσκει. τοὺς γὰρ ἀρι-

στα

neos reddit quam agricultura? quæ ars se exercentibus vice versa plura largitur? quænam sui studiosum suavius excipit, porrigens accedenti quod sumat ex animi arbitratu? quænam majori cum rerum copia hospites excipit?

9. Ubinam facilius copioso igne calidisque lavacris per hiemem uti licet, quam ruri? Ubi quis aquarum, auræ, umbrarumque caussa jucundius traducere possit æstatem, quam ruri?

10. Quænam ars alia primitias suppeditat Diis rectius convenientes, vel festos dies abundantiori cum copia rerum exhibet? quænam domesticis gratior est, uxori jucundior, liberis optatior, erga amicos benignior?

11. Mihi quidem mirum videatur, posse hominem ingenuum vel possessionem aliquam acceptiorem hac ducere, vel studium aliquod hoc tum jucundius tum ad vitam utilius reperire.

12. Præterea tellus, quæ quidem Dea est, justitiam quoque docet illos, qui animadvertere possunt. Nam studiosissime se colen-

στα θεραπεύοντας αὐτὴν, πλεῖστα ἀγαθὰ ἀντιποιεῖ.

ιγ'. Ἐὰν δ' ἄρα καὶ ὑπὸ πλήθους ποτὲ στρατευμάτων τῶν ἔργων στερηθῶσιν οἱ ἐν τῇ γεωργίᾳ ἀναστρεφόμενοι, καὶ σφοδρῶς καὶ ἀνδρικῶς παιδευόμενοι, οὗτοι εὖ παρεσκευασμένοι καὶ τὰς ψυχὰς καὶ τὰ σώματα, ἢν μὴ Θεὸς ἀποκωλύῃ, δύνανται ἰόντες εἰς τὰς τῶν ἀποκωλυόντων λαμβάνειν ἀφ' ὧν θρέψονται. πολλάκις δ' ἐν τῷ πολέμῳ καὶ ἀσφαλέστερόν ἐστι σὺν τοῖς ὅπλοις τὴν τροφὴν μαστεύειν, ἢ σὺν τοῖς γεωργικοῖς ὀργάνοις.

ιδ'. Συμπαιδεύει δὲ καὶ εἰς τὸ ἐπαρκεῖν ἀλλήλοις ἡ γεωργία. ἐπί τε γὰρ τοὺς πολεμίους σὺν ἀνθρώποις δεῖ ἰέναι, τῆς τε γῆς σὺν ἀνθρώποις ἐστὶν ἡ ἐργασία.

ιε'. Τὸν οὖν μέλλοντα εὖ γεωργήσειν δεῖ τοὺς ἐργαστῆρας καὶ προθύμους παρασκευάζειν, καὶ πείθεσθαι θέλοντας· τόν τε ἐπὶ πολεμίους ἄγοντα ταὐτὰ δεῖ μηχανᾶσθαι,

colentibus, maximam bonorum copiam viciſſim largitur.

13. Quod ſi aliquando ii qui in agricultura verſantur, & tum ad alacritatem tum fortitudinem condocefacti ſunt, à magnis copiis hoſtium ab operis ſuis arceantur: poſſunt certe, niſi Deus prohibeat, præſertim quum & animis & corporibus egregie inſtructi ſint, invaſis eorum finibus, à quibus impediuntur quominus operas ſuas faciant, indidem capere, unde ſe alant. Ac ſæpe in bello etiam tutius eſt armis victum quærere, quam inſtrumentis ruſticis.

14. Inſtituit etiam nos agricultura, ut mutuo noſmet juvemus. Nam adverſus hoſtes cum hominum copiis pergendum eſt, & hominum opera terra eſt colenda.

15. Itaque neceſſe eſt, eum, qui recte agriculturam exercere velit, operas ſuas ſic inſtruere; ut ſint alacres, & ad parendum promptæ. Eadem moliatur oportet, qui copias adverſus hoſtes ducturus ſit, ut eos, qui faciunt quod viros for-

χανᾶσθαι, δωρούμενόν τε τοῖς ποιοῦσιν ἃ δεῖ ποιεῖν τοὺς ἀγαθούς, καὶ κολάζοντα τοὺς ἀτακτοῦντας.

ιϛʹ. Καὶ παρακελεύεσθαι δὲ πολλάκις οὐδὲν ἧττον δεῖ τοῖς ἐργάταις τὸν γεωργόν, ἢ τὸν στρατηγὸν τοῖς στρατιώταις. καὶ ἐλπίδων δὲ ἀγαθῶν οὐδὲν ἧττον οἱ δοῦλοι τῶν ἐλευθέρων δέονται, ἀλλὰ καὶ μᾶλλον, ὅπως μένειν θέλωσι.

ιζʹ. Καλῶς δὲ κἀκεῖνος εἶπεν, ὃς ἔφη τὴν γεωργίαν τῶν ἄλλων τεχνῶν μητέρα καὶ τροφὸν εἶναι. εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας, ἔῤῥωνται καὶ αἱ ἄλλαι τέχναι ἅπασαι· ὅπου δ᾽ ἂν ἀναγκασθῇ ἡ γῆ χερσεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι σχεδόν τι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.

ιηʹ. Ἀκούσας δὲ ταῦτα ὁ Κριτόβουλος, εἶπεν· Ἀλλὰ ταῦτα μὲν ἔμοιγε, ὦ Σώκρατες, καλῶς δοκεῖς λέγειν. ἔτι δὲ τῆς γεωργικῆς τὰ πλεῖστά ἐστιν ἀνθρώπῳ ἀδύνατα προνοῆσαι. καὶ γὰρ χάλαζαι, καὶ πάχναι ἐνίοτε, καὶ αὐχμοί, καὶ ὄμβροι ἐξαίσιοι, καὶ ἐρυσίβαι, καὶ ἄλλα πολλάκις τὰ καλῶς ἐγνωσμένα καὶ πεποιημένα ἀφαιροῦνται. καὶ πρόβατα δ᾽ ἐνίοτε κάλ-

λιστα

tes decet, muneribus ornet; ac non recte atque ordine munus suum obeuntes plectat.

16. Etiam necesse est agricolam non minus interdum operas suas cohortando excitare, quam imperatorem milites. Neque servis minus spe bona quam ingenuis hominibus opus est: immo vero magis, ut manere velint.

17. Etiam is recte dixit, qui agriculturam aliarum artium matrem & nutricem esse perhibuit. Nam quum agricultura prospere succedit, etiam artes cæteræ omnes vigent: at ubi terra necessitate aliqua inculta manet, etiam artes cæteræ fere terra marique extinguuntur.

18. Quibus auditis Critobulus: Enimvero, inquit, hæc mihi dicere præclare videris, mi Socrates. Sed plurima sunt in agricultura, quæ provideri ab homine non possunt. Quippe nonnunquam grandines, pruinæ, æstus, imbres immensi, rubigines, aliaq; pulchre cogitata & elaborata tollunt. Etiam oves interdum educatas

λιστα πεπραγμένα νόσος ἐλθοῦσα κάκιστα ἀπώλεσεν.

ιθ'. Ἀκούσας δὲ ταῦτα ὁ Σωκράτης εἶπεν· Ἀλλ' ᾤμην ἔγωγέ σε, ὦ Κριτόβουλε, εἰδέναι, ὅτι οἱ Θεοὶ οὐδὲν ἧττόν εἰσι κύριοι τῶν ἐν τῇ γεωργίᾳ ἔργων, ἢ τῶν ἐν τῷ πολέμῳ. καὶ τοὺς μὲν ἐν τῷ πολέμῳ ὁρᾷς, οἶμαι, περὶ τῶν πολεμικῶν πράξεων ἐξαρεσκομένους τοῖς Θεοῖς, καὶ ἐπερωτῶντας, θυσίαις καὶ οἰωνοῖς ὅ,τι τε χρὴ ποιεῖν, καὶ ὅ,τι μή.

κ'. Περὶ δὲ τῶν γεωργικῶν πράξεων ἧττον οἴει δεῖν τοὺς Θεοὺς ἱλάσκεσθαι; εὖ γὰρ ἴσθι, ἔφη, ὅτι οἱ σώφρονες καὶ ὑπὲρ ὑγρῶν καὶ ξηρῶν καρπῶν, καὶ βοῶν, καὶ ἵππων, καὶ προβάτων, καὶ ὑπὲρ πάντων γε δὴ τῶν κτημάτων τοὺς Θεοὺς θεραπεύουσιν.

ΚΕΦ. ς'.

Ἀλλὰ ταῦτα μὲν, ἔφη, ὦ Σώκρατες, καλῶς μοι δοκεῖς λέγειν, κελεύων πειρᾶσθαι σὺν τοῖς Θεοῖς ἄρχεσθαι

παντὸς

catas egregie morbus aliquis invadens miserrime perimit.

19. Quæ quum audiisset Socrates: Ego vero, mi Critobule, ait, scire te arbitrabar, penes Deos nihilo minus potestatem rusticis in operibus summam esse quam in bellicis. Vides autem, eos, opinor, qui re militari occupantur, ante bellicas actiones Deos placare, ac tum per sacrificia tum auguria inquirere, quid faciundum, quid omittendum sit.

20. Et in actionibus rei rusticæ minus tibi laborandum putas, ut Deos propitios reddas? Omnino scire debes, homines, qui quidem sapiant, humidorum & siccorum fructuum, boum, equorum, ovium, omnium denique fortunarum suarum caussa Deos colere.

CAP. VI.

Dicis tu præclare, mi Socrates, ait, qui me jubeas operam dare, ut opus omne non sine Diis ordiar: quippe

quo-

παντὸς ἔργου, ὡς τῶν Θεῶν κυρίων ὄντων οὐδὲν ἧττον τῶν εἰρηνικῶν, ἢ τῶν πολεμικῶν ἔργων. ταῦτα μὲν οὖν πειρασόμεθα οὕτω ποιεῖν. σὺ δὲ ἡμῖν ἔνθεν λέγων περὶ τῆς οἰκονομίας ἀπέλιπες, πειρῶ τὰ τούτων ἐχόμενα διεκπεραίνειν· ὡς καὶ νῦν μοι δοκῶ, ἀκηκοὼς ὅσα εἶπες, μᾶλλόν τι ἤδη διορᾶν, ἢ πρόσθεν ὅ,τι χρὴ ποιοῦντα βιοτεύειν.

β'. Τί οὖν; ἔφη ὁ Σωκράτης, ἆρα εἰ πρῶτον μὲν ἐπανέλθοιμεν ὅσα μὲν ὁμολογοῦντες διεληλύθαμεν, ἵν' ἤν πως δυνώμεθα, πειραθῶμεν οὕτω καὶ τὰ λοιπὰ διεξιέναι συνομολογοῦντες;

γ'. Ἡδύ γ' οὖν ἐστίν, ἔφη ὁ Κριτόβουλος, ὥσπερ καὶ χρημάτων κοινωνήσαντας ἀναμφιλόγως διελθεῖν, οὕτω καὶ λόγων κοινωνοῦντας, περὶ ὧν ἂν διαλεγώμεθα, συνομολογοῦντας διεξιέναι.

δ'. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, ἐπιστήμης μέν τινος ἔδοξεν ἡμῖν ὄνομα εἶναι ἡ οἰκονομία. ἡ δὲ ἐπιστήμη αὕτη ἐφαίνετο,

quorum in poteſtate ſint tam ea quæ pace, quam quæ bello ſuſcipiuntur. Itaque ſtudebimus hæc ita facere. Tu vero nobis enitere iſtuc redeundo, ubi de adminiſtratione domeſtica dicere deſiiſti, quæ porro ſequuntur, abſolvere. Videor enim mihi, poſteaquam audivi abs te dicta, magis perſpicere quid, ut commode vivam, faciundum ſit.

2. Quid igitur? ait Socrates, placetne ut redeamus ad illa, quæcunque ſic percurrimus, ut de iis inter nos conveniret, quo, ſi fieri poſſit, ita deinde reliqua percurrere conemur, ut inter nos conveniat?

3. Jucundum ſane eſt, inquit Critobulus, quemadmodum ſolent ii, quibus pecuniæ communes ſunt, eas ſine controverſia percenſere, ſic etiam nos, qui ſermones inter nos communicamus, omnia percurrere, de quibus colloquimur, ut conſentiamus.

4. Viſa eſt igitur nobis, inquit Socrates, adminiſtratio domeſtica nomen eſſe ſcientiæ: atque hæc ipſa ſcientia definiebatur

νεῖν, ᾗ οἴκους δύναιντ' αὔξειν ἄνθρωποι. οἶκος δὲ ἡμῖν ἐφαίνετο, ὅπερ κτῆσις ἡ σύμπασα. κτῆσιν δὲ τοῦτο ἔφαμεν εἶναι ὅ,τι ἑκάστῳ ὠφέλιμον εἴη εἰς τὸν βίον. ὠφέλιμα δὲ ὄντα εὑρίσκετο πάντα, ὁπόσοις τις ἐπίσταιτο χρῆσθαι.

ε'. Πάσας μὲν οὖν τὰς ἐπιστήμας οὔτε μαθεῖν οἷόν τε ἡμῖν ἐδόκει, συναποδοκιμάζειν τε ταῖς πόλεσι τὰς βαναυσικὰς καλουμένας τέχνας, ὅτι καὶ τὰ σώματα καταλυμαίνεσθαι δοκοῦσι, καὶ τὰς ψυχὰς καταγνύουσι.

ς'. Τεκμήριον δὲ σαφέστατον γενέσθαι ἂν τούτου ἔφαμεν, εἰ πολεμίων εἰς τὴν χώραν ἰόντων, διακαθίσας τις τοὺς γεωργοὺς καὶ τοὺς τεχνίτας, χωρὶς ἑκατέρους ἐπερωτῴη, πότερα δοκεῖ ἀρήγειν τῇ χώρᾳ, ἢ ὑφεμένους τῆς γῆς, τὰ τείχη διαφυλάττειν.

ζ'. Οὕτω γὰρ ἂν τοὺς μὲν ἀμφὶ γῆν ἔχοντας ᾠόμεθ' ἂν ψηφίζεσθαι ἀρήγειν, τοὺς δὲ τεχνίτας, μὴ μάχεσθαι, ἀλλ', ὅπερ πεπαίδευνται, καθῆσθαι μήτε πονοῦντας, μήτε κινδυνεύοντας.

η'. Ἐδοκι-

batur ea esse, qua domos amplificare homines possint. Domus autem esse definiebatur idem quod facultates universæ. Facultates autem esse dicebamus id quod cuique ad vitam sit utile. Omnia vero utilia esse reperiebamus, quibuscunque uti aliquis sciret.

5. Ac scientias quidem universas non posse disci videbatur nobis, & itidem ut nonnullis civitatibus, artes improbandas esse, quæ sordidæ appellentur; quod & corpora lædere videantur, & animos frangant.

6. Ejus rei argumentum fore clarissimum dicimus, si hostibus agrum invadentibus, agricolas aliquis & opifices diversis locis constitutos, seorsim utrosque interroget, utrum esse defendenda regio videatur, an agro cedendum, ac deinde custodienda mœnia.

7. Nam ea ratione futurum arbitrabamur, ut qui exercendo solo occupantur, defendendum esse agrum decernant: opifices autem, dimicandum non esse, sed prout ipsi instituti sunt, desidendum, nullo neq; labore, neq; periculo adito.

8. Com-

η'. Ἐδοκιμάσαμεν δὲ, ἀνδρὶ καλῷ τε κἀγαθῷ ἐργασίαν εἶναι, καὶ ἐπιστήμην κρατίστην γεωργίαν, ἀφ' ἧς τὰ ἐπιτήδεια ἄνθρωποι πορίζονται.

θ'. Αὕτη γὰρ ἡ ἐργασία μαθεῖν τε ῥάστη ἐδόκει εἶναι, καὶ ἡδίστη ἐργάζεσθαι, καὶ τὰ σώματα κάλλιστά τε καὶ εὐρωστότατα παρέχεσθαι, καὶ ταῖς ψυχαῖς ἥκιστα ἀσχολίαν παρέχειν φίλων τε καὶ πόλεων συνεπιμελεῖσθαι.

ι'. Συμπαροξύνειν δέ τι ἐδόκει ἡμῖν καὶ εἰς τὸ ἀλκίμους εἶναι ἡ γεωργία, ἔξω τῶν ἐρυμάτων τὰ ἐπιτήδεια φύουσά τε, καὶ τρέφουσα τοὺς ἐργαζομένους. Διὰ ταῦτα δὲ καὶ ἐνδοξοτάτη εἶναι πρὸς τῶν πόλεων αὕτη ἡ βιοτεία, ὅτι καὶ πολίτας ἀρίστους, καὶ εὐνουστάτους παρέχεσθαι δοκεῖ τῷ κοινῷ.

ια'. Καὶ ὁ Κριτόβουλος· ὅτι μὲν, ὦ Σώκρατες, κάλλιστόν τε, καὶ ἄριστον, καὶ ἥδιστον, ἀπὸ γεωργίας τὸν βίον ποιεῖσθαι, πάνυ μοι δοκῶ πεπεῖσθαι ἱκανῶς. ὅτι δὲ

8. Comprobavimus etiam, agriculturam viro bono & honesto exercitationem, & scientiam esse longe præstantissimam, qua homines necessariorum sibi copiam parent.

9. Atque videbatur eadem disci facillime posse, ac summa cum voluptate exerceri, & corpora longe pulcherrima robustissimaque efficere, animis denique negotii nihil exhibere, quominus cura sua tum amicos tum respublicas complectantur.

10. Videbatur etiam agricultura nobis excitare animos ad fortitudinem, quod extra munitiones ad victum necessaria producat, iisque alat homines se exercentes. Itaque rationem hanc vitæ ab urbibus quoque maximam mereri prædicationem, quippe quæ cives præstantissimos, maximeque reipublicæ studiosos suppeditare videatur.

11. Tum Critobulus: Pulcherrimum esse, mi Socrates, inquit, & optimum, jucundissimumque victum sibi ex agricultura parare, satis esse mihi persuasum arbitror. Cæterum

δὲ ἔφησθα καταμαθεῖν τὰ αἴτια τῶν τε οὕτω γεωργούντων, ὥστε ἀπὸ τῆς γεωργίας ἀφθόνως ἔχειν ὧν δέονται, καὶ τῶν οὕτως ἐργαζομένων, ὡς μὴ λυσιτελεῖν αὐτοῖς τὴν γεωργίαν, καὶ ταῦτά μοι δοκῶ ἡδέως ἑκάτερα ἀκοῦσαι σοῦ, ὅπως ἃ μὲν ἀγαθά ἐστι, ποιῶμεν, ἃ δὲ βλαβερὰ, μὴ ποιῶμεν.

ιβ'. Τί οὖν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, ἤν σοι ἐξ ἀρχῆς διηγήσωμαι, ὡς συνεγενόμην ποτὲ ἀνδρὶ, ὃς ἐμοὶ ἐδόκει εἶναι τῷ ὄντι τούτων τῶν ἀνδρῶν, (c) ἐφ' οἷς τοῦτο τὸ ὄνομα δικαίως ἐστὶν, ὃ καλεῖται καλός τε κἀγαθὸς ἀνήρ; πάνυ ἂν, ἔφη ὁ Κριτόβουλος, βουλοίμην ἂν οὕτως ἀκοῦσαι, ὡς καὶ ἔγωγε ἐρῶ τούτου τοῦ ὀνόματος ἄξιος γενέσθαι.

ιγ'. Λέξω τοίνυν σοι, ἔφη ὁ Σωκράτης, ὡς καὶ ἦλθον ἐπὶ τὴν σκέψιν αὐτοῦ. τοὺς μὲν γὰρ ἀγαθοὺς τέκτονας, χαλκέας ἀγαθοὺς, ζωγράφους ἀγαθοὺς, ἀνδριαντοποιοὺς, καὶ τὰ ἄλλα τὰ τοιαῦτα, πάνυ ὀλίγος μοι χρόνος, ἐγένετο

Cæterum quod aiebas animadvertiſſe te, quæ cauſſæ ſint, quamobrem alii ſic agriculturam exerceant, ut ex ea percipiant abunde omnia, quibus eſt ipſis opus, alii ſic in ea laborent, ut nullo ipſis uſui ſit: eas equidem lubenter auditurus ex te videor utraſque, ut quæ bona ſunt faciamus, omiſſis iis quæ cum detrimento ſunt conjuncta.

12. Quid igitur, ait Socrates, mi Critobule, ſi tibi à principio narrem, quo pacto convenerim hominem aliquando quendam, qui reabſe mihi de illorum eſſe numero videbatur; quibus merito nomen illud tribuitur, quo quis vir bonus & honeſtus appellatur? Id equidem, ait Critobulus, vehementer audire velim, quippe qui & ipſe dignus haberi eo nomine cupiam.

13. Dicam igitur, inquit Socrates, quomodo ad inviſendum hominem illum acceſſerim. Nam ad bonorum fabrorũ, bonorum ærariorum, pictorum bonorum, itemque ſtatuariorum, & hujuſmodi aliorum opera, quæ præclara judicentur,

ἐγένετο ἱκανῶς περιελθεῖν τε, καὶ θεάσασθαι τὰ δεδοκιμασμένα καλὰ ἔργα αὐτοῖς εἶναι.

ιδ΄. Ὅπως δὲ δὴ καὶ τοὺς ἔχοντας τὸ σεμνὸν ὄνομα τοῦτο τὸ καλόν τε κἀγαθὸν, ἐπισκεψαίμην τί ποτ' ἐργαζόμενοι τοῦτ' ἀξιοῖντο καλεῖσθαι, πάνυ μου ἡ ψυχὴ ἐπεθύμει αὐτῶν τινι συγγενέσθαι.

ιε΄. Καὶ πρῶτον μὲν ὅτι προσέκειτο τὸ καλὸς τῷ ἀγαθῷ, ὅντινα ἴδοιμι καλὸν, τούτῳ προσῄειν, καὶ ἐπειρώμην καταμανθάνειν, εἴ που ἴδοιμι προσηρτημένον τῷ καλῷ τὸ ἀγαθόν.

ιϛ΄. Ἀλλ' οὐκ ἄρα εἶχεν οὕτως· ἀλλ' ἐνίους ἐδόκουν καταμανθάνειν τῶν καλῶν τὰς μορφὰς πάνυ μοχθηροὺς ὄντας τὰς ψυχάς. ἔδοξεν οὖν μοι, ἀφέμενον τῆς καλῆς ὄψεως, ἐπ' αὐτῶν τινα ἐλθεῖν τῶν καλουμένων καλῶν τε κἀγαθῶν.

ιζ΄. Ἐπεὶ οὖν τὸν Ἰσχόμαχον ἤκουον πρὸς πάντων καὶ ἀνδρῶν τε, καὶ γυναικῶν, καὶ ξένων, καὶ ἀστῶν, καλόν τε κἀγαθὸν ἐπονομαζόμενον,

centur, obeunda ſpectandaque, per mihi temporis exiguum quiddam ſufficiebat.

14. Verum ut conſiderarem, quidnam agendo illi, qui nomen hoc boni & honeſti viri ſane plenum gravitatis obtinerent, hoc ipſo digni judicarentur: vehementer animus meus aliquem ipſorum convenire cupiebat.

15. Ac primo quidem, quod honeſti nomen ad bonum adjiceretur: quemcunque honeſta facie cernerem, cum adibam, ac dabam operam, ut intelligerem, anne videre poſſem alicubi bonum cum honeſto conjunctum.

16. Verum aliter ſe res habebat; quod nonnullos videbar animadvertere, forma quidem illos perquam honeſta præditosq́, ſed animis pravis. Itaque viſum fuit, omiſſa vultus honeſta ſpecie, quendam eorum accedere, qui honeſti & boni appellarentur.

17. Quum igitur audirem, Iſchomachum, ab omnibus, viris, mulieribus, exteris, civibus, honeſtum ac bonum virum nominari: viſum eſt operam mihi

μαζόμενον, ἔδοξέ μοι τούτῳ πειραθῆναι συγγενέσθαι.

ΚΕΦ. ζ'.

ΙΔὼν οὖν ποτε αὐτὸν ἐν τῇ τοῦ Διὸς τοῦ Ἐλευθερίου στοᾷ καθήμενον, ἐπεί μοι ἔδοξε σχολάζειν, προσῆλθον αὐτῷ, καὶ παρακαθιζόμενος εἶπον· τί, ὦ Ἰσχόμαχε, οὐ μάλα εἰωθὼς σχολάζειν, κάθησαι; ἐπεὶ τά γε πλεῖστα ἢ πράττοντά τι ὁρῶ σέ, ἢ οὐ πάνυ σχολάζοντα ἐν τῇ ἀγορᾷ.

β'. Οὐδὲ ἄν γε νῦν, ἔφη ὁ Ἰσχόμαχος, ὦ Σώκρατες, ἑώρας· εἰ μὴ ξένους τινὰς συνεθέμην ἀναμένειν ἐνθάδε. ὅταν δὲ μὴ πράττῃς τι τοιοῦτον, πρὸς τῶν Θεῶν, ἔφην ἐγώ, ποῦ διατρίβεις, καὶ τί ποιεῖς; ἐγὼ γάρ τοι πάνυ βούλομαί σου πυθέσθαι, τί ποτε πράττων καλὸς κἀγαθὸς κέκλησαι, ἐπεὶ οὐκ ἔνδον διατρίβεις, οὐδὲ τοιαύτη σου ἡ ἕξις τοῦ σώματος καταφαίνεται.

γ'. Καὶ ὁ Ἰσχόμαχος γελάσας ἐπὶ τῷ [τί ποιῶν καλὸς κἀγαθὸς

κἀγαθὸς

mihi dandam, ut eum convenirem.

CAP. VII.

ERgo ubi aliquando conspexissem eum, in Jovis Liberalis porticu sedentem: quod otiosum esse putarem, accessi, ac propter ipsum adsidens; Quid tu, Ischomache, dixi, desides heic, qui non admodum otiari consuevisti? Nam maxima ex parte vel agere te aliquid video, vel saltim otiosum in foro non versari.

2. Ne nunc quidem, subjecit Ischomachus, me conspiceres, Socrates, nisi ex convento quosdam heic hospites præstolarer. At quum nihil ejusmodi agis, inquam ego, quæso te per Deos, ubinam tempus teris, & quid facis? Nam quærere de te quiddam omnino cupio, quid agas scilicet, quod vir bonus & honestus appelleris: quando domi tempus non teris, neque corporis tui habitus talis apparet.

3. Tum Ischomachus, ad ea verba, *Quid agas, quod vir bo-*

nus

κἀγαθὸς κέκλημαι] καὶ ἡσθείς, ὥσγε ἐμοὶ ἔδοξεν, εἶπεν· Ἀλλ' εἰ μὲν, ὅταν σοι διαλέγωνται περὶ ἐμοῦ τινὲς, καλοῦσί με τοῦτο τὸ ὄνομα, οὐκ οἶδα. οὐ γὰρ δὴ, ὅταν γέ με εἰς ἀντίδοσιν καλῶνται τριηραρχίας, ἢ χορηγίας, οὐδεὶς (ἔφη) ζητεῖ τὸν καλόν τε κἀγαθὸν, ἀλλὰ σαφῶς (ἔφη) ὀνομάζοντές με Ἰσχόμαχον, πατρόθεν προσκαλοῦνται. ἐγὼ μὲν τοίνυν, ἔφη, ὦ Σώκρατες, ὅ με ἐπήρου, * οὐ πάνυ ἔνδον διατρίβω. καὶ γὰρ δὴ, ἔφη, τάγε ἐν τῇ οἰκίᾳ μου πάνυ καὶ αὐτὴ ἡ γυνὴ ἱκανὴ ἐστὶ διοικεῖν.

δ'. (d) Ἀλλὰ καὶ τοῦτο, ἔφην ἔγωγε, ὦ Ἰσχόμαχε, πάνυ ἂν ἡδέως σου πυθοίμην, πότερα αὐτὸς σὺ ἐπαίδευσας τὴν γυναῖκα, ὥστε εἶναι οἵαν δεῖ, ἢ ἐπισταμένην ἔλαβες παρὰ τοῦ πατρὸς καὶ τῆς μητρὸς διοικεῖν τὰ προσήκοντα αὐτῆς;

ε'. Καὶ τί ἂν, ἔφη, ὦ Σώκρατες, ἐπισταμένην αὐτὴν παρέλαβον, ἣ ἔτη μὲν οὔπω πεντεκαίδεκα γεγονυῖα ἦλθε πρὸς ἐμὲ, τὸν δ' ἔμπροσθεν χρόνον ἔζη ὑπὸ πολλῆς

nus & honestus appelleris, arridens; eisque, ut mihi videbatur, delectatus: Equidem, ait, an me hoc nomine appellent aliqui, quum tecum de me colloquuntur, nescio. Non enim certe, quum me vocant ad compensationem vel præfecturæ triremium, vel muneris choragi, quisquam virum illum bonum & honestum quærit: sed perspicue me Ischomachum, nomine patris, appellatum arcessunt. Tu quidem, mi Socrates, quod de me quærebas, domi ego tempus non admodum tero. Nam ad res domesticas administrandas uxor ipsa satis est idonea.

4. Quin hoc quoque inquam ego, mi Ischomache, perlubenter de te quærerem, num uxorem ipse talem instituendo effeceris, qualem esse oportet, an à patre matreque acceperis peritam earum rerum administrandarum, quæ ad ipsius officium pertinent?

5. Et quid mi Socrates, inquit, scire poterat, quum eam ducerem, quæ necdum annos nata xv ad me venerit, ac superiore tempore magna

πολλῆς ἐπιμελείας, ὅπως ὡς ἐλάχιστα μὲν ὄψοιτο, ἐλάχιστα δ' ἀκούσοιτο, ἐλάχιστα δ' ἔροιτο;

ϛ'. Οὐ γὰρ ἀγαπητόν σοι δοκεῖ εἶναι, εἰ μόνον ἦλθεν ἐπισταμένη, ἔρια παραλαβοῦσα, ἱμάτιον ἀποδεῖξαι, καὶ ἑωρακυῖα ὡς ἔργα ταλάσια θεραπαίναις δίδοται; ἐπεὶ τά γε ἀμφὶ γαστέρα (ἔφη) πάνυ καλῶς, ὦ Σώκρατες, ἦλθε πεπαιδευμένη· ὅπερ μέγιστον ἔμοιγε δοκεῖ παίδευμα εἶναι καὶ ἀνδρὶ καὶ γυναικί.

ζ'. Τὰ δ' ἄλλα, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, αὐτὸς ἐπαίδευσας τὴν γυναῖκα, ὥστε ἱκανὴν εἶναι ὧν προσήκει ἐπιμελεῖσθαι; οὐ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, οὐ πρίν γε καὶ ἔθυσα, καὶ εὐξάμην ἐμέ τε τυγχάνειν διδάσκοντα, καὶ ἐκείνην μανθάνουσαν τὰ βέλτιστα ἀμφοτέροις ἡμῖν.

η'. Οὐκοῦν, ἔφην ἐγώ, καὶ ἡ γυνή σοι συνέθυε καὶ συνεύχετο * αὐτῷ ταῦτα; καὶ μάλα γ', ἔφη ὁ Ἰσχόμαχος, πολλὰ ὑποσχομένη μὲν πρὸς τοὺς Θεοὺς γενέσθαι οἵαν

δεῖ·

gna cura asservata vixerit, ut quamminimum cerneret, quamminimum audiret, quamminimum sciscitaretur?

6. An non autem boni consulendum tibi videtur, quod saltim venerit perita conficiendi accepta lana vestem, ac animadversa ratione pensi ancillis dandi? Nam quod gulam attinet, hac in parte, mi Socrates, recte admodum instituta venit, quæ quidem mihi disciplina tum in viro tum femina videtur esse maxima.

7. Cæterane, inquam ego, me Ischomache, uxorem tuam instituendo ipse docuisti, ut curandis iis, quæ ad munus ipsius pertinent, sufficiat? Non prius profecto, inquit Ischomachus, quam rem sacram fecissem, & precatus essem, ut quæ utrique nostrum essent optima, tum ipse docerem, tum ex me illa disceret.

8. Ergo, inquam ego, etiam uxor rem sacram tecum faciebat, & una tecum hæc precabatur? Omnino, ait Ischomachus, & quidem multum Diis testibus promittens, fore se talem, qualem esse

δεῖ· καὶ εὔδηλον ἦν, ὅτι οὐκ ἀμελήσοι τῶν διδασκομένων.

θʹ. Πρὸς θεῶν, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, τί πρῶτον διδάσκειν ἦρχου αὐτήν, διήγου μοι· ὡς ἐγὼ ταῦτ' ἂν ἥδιόν σου διηγουμένου ἀκούοιμι, ἢ εἴ μοι γυμνικόν, ἢ ἱππικὸν ἀγῶνα τὸν κάλλιστον διηγοῖο.

ιʹ. Καὶ ὁ Ἰσχόμαχος ἀπεκρίνατο· τί δ', ἔφη, ὦ Σώκρατες; ἐπεὶ ἤδη μοι χειροήθης ἦν, καὶ ἐτετιθάσευτο, ὥστε διαλέγεσθαι, ἠρόμην αὐτὴν (ἔφη) ὧδέ πως. εἰπέ μοι, ὦ γύναι, ἆρα ἤδη κατενόησας, τίνος ποτὲ ἕνεκα ἐγώ τέ σε ἔλαβον, καὶ οἱ σοὶ γονεῖς ἔδωκάν σε ἐμοί;

ιαʹ. Ὅτι μὲν γὰρ οὐκ ἀπορία ἦν μεθ' ὅτου ἄλλου ἐκαθεύδομεν ἄν, οἶδ' ὅτι καὶ σοὶ καταφανὲς τοῦτ' ἐστι. βουλευόμενος δ' ἔγωγε ὑπὲρ ἐμοῦ, καὶ οἱ σοὶ γονεῖς ὑπὲρ σοῦ, τίν' ἂν κοινωνὸν βέλτιστον οἴκου τε καὶ τέκνων λάβοιμεν, ἐγώ τε σὲ ἐξελεξάμην, καὶ οἱ σοὶ γονεῖς, ὡς ἐοίκασιν, ἐκ τῶν δυνατῶν ἐμέ.

ιβʹ. Τέκνα

esse oporteret: nec obscurum erat, minime in iis, quæ doceretur, negligentem futuram.

9. Quæso te per Deos, inquam ego, mi Ischomache, narra mihi, quid eam primum docere cœperis. Nam jucundius id mihi fuerit ex te narrante audire, quam si vel gymnicum, vel equestre mihi certamen longe pulcherrimum narres.

10. Et Ischomachus respondens: Quid vero, inquit, mi Socrates? postea quam mansueta jam, & cicur fieret, ita ut colloqueremur: hoc quodam, inquit, modo ipsam interrogabam: Dic mihi, mea uxor, jamne animadvertisti, qua tandem de caussa tum ego te duxerim, tum tui parentes mihi te tradiderint?

11. Non enim copiam nobis alterius nullam fuisse, quicum cubaremus, te ipsam perspicere scio. Quum autem ego quidem de me, parentes vero tui de te consultaremus, quemnam consortem optimum domus & liberum caperemus: ego te delegi, & parentes tui me, quemadmodum videtur, ex iis quos poterant.

12. Quod

ιβ΄. Τέκνα μὲν οὖν ἢν Θεός ποτε διδῷ ἡμῖν γενέσθαι, τότε βουλευσόμεθα περὶ αὐτῶν, ὅπως ὅτι βέλτιστα παιδεύωμεν αὐτά. κοινὸν γὰρ ἡμῖν καὶ τοῦτο τἀγαθὸν, συμμάχων καὶ γηροβοσκῶν ὅτι βελτίστων τυγχάνειν.

ιγ΄. Νῦν δὲ δὴ οἶκος ἡμῖν ὅδε κοινός ἐστιν. ἐγώ τε γὰρ, ὅσα μοι ἐστὶν ἅπαντα, εἰς τὸ κοινὸν ἀποφαίνω· σύ τε ὅσα ἠνέγκω, πάντα εἰς τὸ κοινὸν κατέθηκας. καὶ οὐ τοῦτο δεῖ λογίζεσθαι, πότερος ἄρα ἀριθμῷ πλείω συμβέβληται ἡμῶν, ἀλλ' ἐκεῖνο δεῖ εὖ εἰδέναι, ὅτι ὁπότερος ἂν ἡμῶν βελτίων κοινωνὸς ᾖ, οὗτος τὰ πλείονος ἄξια συμβάλλεται.

ιδ΄. Ἀπεκρίνατο δέ μοι, ὦ Σώκρατες, πρὸς ταῦτα ἡ γυνή· τί δ' ἂρ ἐγώ σοι, ἔφη, δυναίμην συμπρᾶξαι; τίς δὲ ἡ ἐμὴ δύναμις; ἀλλ' ἐν σοὶ πάντα ἐστίν. ἐμὸν δ' ἔργον ἔφησεν ἡ μήτηρ εἶναι, σωφρονεῖν.

ιε΄. Ναὶ μὰ Δί', ἔφην ἐγὼ, ὦ γύναι· καὶ γὰρ καὶ ἐμοὶ ὁ πατήρ. ἀλλὰ σωφρόνων τοι ἐστὶ καὶ ἀνδρὸς, καὶ γυναικὸς, οὕτω ποιεῖν, ὅπως τά τε ὄντα ὡς βέλτιστα ἕξει,

καὶ

12. Quod si liberos Deus aliquando nobis dederit, tum de illis consultabimus, quo pacto eos quam optime possimus instituere. Nam & illud bonum utrique nostrum erit commune, ut & socios, & eos qui nos in senectute alant, longe optimos consequamur.

13. Nunc domus hæc nobis communis est. Nam & ego cuncta, quæ mea sunt, in medium exhibeo: & tu quæcunque attulisti, omnia in commune deposuisti. Neque jam ejus habenda est ratio, uter nostrum numero plura contulerit: sed sciendum est, eum res majoris pretii conferre, qui se hac in societate rectius gesserit.

14. Ad ea, mi Socrates, uxor mihi respondebat: In quonam ego tibi esse adjumento possim? quæ mea facultas est? In te omnia sita sunt. Mei muneris esse mater aiebat, ut frugi sim.

15. Profecto, inquam ego, mea uxor, etiam hoc meum esse dicebat pater. Verum frugi hominum munus est, sive quis vir sit, sive mulier, ita se gerere: ut & facultates, quæ adsunt, optimo sint

loco,

καὶ ἄλλα ὅτι πλεῖστα ἐκ τοῦ καλοῦ τε καὶ δικαίου προσγένηται.

ιϛʹ. Καὶ τί δὲ ὁρᾷς, ἔφη ἡ γυνή, ὅ,τι ἂν ἐγὼ ποιοῦσα συναύξοιμι τὸν οἶκον; ναὶ μὰ Δί', ἔφην ἐγώ, ἅ τε οἱ Θεοὶ ἔφυσάν σε δύνασθαι, καὶ ὁ νόμος συνεπαινεῖ, ταῦτα πειρῶ ὡς βέλτιστα ποιεῖν.

ιζʹ. Καὶ τί δὴ ταῦτά ἐστιν; ἔφη ἐκείνη. οἶμαι μὲν ἔγωγε, ἔφην, οὐ τὰ ἐλαχίστου ἄξια, εἰ μήπερ γε καὶ ἡ ἐν τῷ σμήνει ἡγεμὼν μέλιττα ἐπ' ἐλαχίστου ἀξίοις ἔργοις ἐφέστηκεν.

ιηʹ. Ἐμοὶ γάρ τοι (ἔφη φάναι) καὶ οἱ Θεοί, ὦ γύναι, δοκοῦσι πολὺ διεσκεμμένως μάλιστα τὸ ζεῦγος τοῦτο συντεθεικέναι, ὃ καλεῖται θῆλυ καὶ ἄρρεν, ὅπως * ἔτι ὠφελιμώτατον ᾖ αὐτῷ εἰς τὴν κοινωνίαν.

ιθʹ. Πρῶτον μὲν γὰρ τῷ μὴ ἐκλιπεῖν ζώων γένη, τοῦτο τὸ ζεῦγος κεῖται μετ' ἀλλήλων τεκνοποιούμενον. ἔπειτα τὸ γηροβοσκοὺς κεκτῆσθαι ἑαυτοῖς ἐκ τούτου τοῦ ζεύγους, τοῖς γοῦν ἀνθρώποις πορίζεται. ἔπειτα δὲ καὶ ἡ δίαιτα τοῖς ἀνθρώποις οὐχ ὥσπερ τοῖς κτήνεσιν, ἐστὶν ἐν ὑπαίθρῳ, ἀλλὰ στεγνῶν δεῖται δηλονότι.

κʹ. Δεῖ

loco, & aliæ quamplurimæ honestis justisq; rationibus accedant.

16. Et quidnam tu vides, inquit uxor, quo efficiundo possim ego tecum domum nostram augere? Enitere profecto, inquam, ut illa quamoptime efficias, quæ à natura tibi Dii tribuerunt, ut posses, & quæ lex comprobat.

17. Ea vero quid sunt? ait illa. Meo quidem judicio, inquam ego, non minimi momenti, nisi etiam apum illa dux in alveari minimi momenti operibus præesse jussa est.

18. Nam mihi, dixisse se aiebat, videntur Dii, mea uxor, maxima consideratione par hoc conjunxisse, quod mas & femina vocatur, ut ad societatem mutuam plurimum sibi conduceret.

19. Primum enim, ne animantum genera deficerent, par hoc conjunctum liberos procreat. Deinde facultas hominibus conceditur, ut ex hac conjunctione adquirere sibi possint eos qui senes alant. Præterea non sub dio jumentorum instar homines vivunt sed tectis scilicet indigent.

20. Quam-

κ'. Δεῖ μέντοι τοῖς μέλλουσιν ἀνθρώποις ἕξειν ὅ,τι εἰσφέρωσιν εἰς τὸ στεγνὸν, ἔχειν τοὺς ἐργαζομένους τὰς ἐν τῷ ὑπαίθρῳ ἐργασίας. καὶ γὰρ νεατὸς, καὶ σπόρος, καὶ φυτεία, καὶ νομαὶ, ὑπαίθρια ταῦτα πάντα ἔργα ἐστίν. ἐκ τούτων δὲ τὰ ἐπιτήδεια γίγνεται.

κα'. Δεῖ δ' αὖ, ἐπειδὰν ταῦτα εἰσενεχθῇ εἰς τὸ στεγνὸν, καὶ τοῦ σώσοντος ταῦτα, καὶ τοῦ ἐργασομένου τὰ τῶν στεγνῶν ἔργα δεόμενα. στεγνῶν δὲ δεῖται καὶ ἡ τῶν νεογνῶν τέκνων παιδοτροφία, στεγνῶν δὲ καὶ αἱ ἐκ τοῦ καρποῦ σιτοποιίαι δέονται· ὡσαύτως δὲ καὶ ἡ τῆς ἐσθῆτος ἐκ τῶν ἐρίων ἐργασία.

κβ'. Ἐπεὶ δ' ἀμφότερα ταῦτα καὶ ἔργων καὶ ἐπιμελείας δεῖται, τά τε ἔνδον καὶ τὰ ἔξω, καὶ τὴν φύσιν (φάναι) εὐθὺς παρεσκεύασεν ὁ Θεὸς, ὡς ἐμοὶ δοκεῖ, τὴν μὲν τῆς γυναικὸς, ἐπὶ τὰ ἔνδον ἔργα καὶ ἐπιμελήματα, τὴν δὲ τοῦ ἀνδρὸς, ἐπὶ τὰ ἔξω ἔργα καὶ ἐπιμελήματα.

κγ'. Ῥίγη μὲν γὰρ, καὶ θάλπη, καὶ ὁδοιπορείας, καὶ στρατείας,

20. Quamobrem neceſſe eſt, ii qui conſequi volunt, quod ſub tectum importent, habeant aliquos qui operas obeundas ſub dio ſuſcipiant. Nam & arvorum renovatio, & ſeminum ſparſio, & conſitio, & paſcendi opera ejuſmodi ſunt, quæ omnia ſub dio curentur: & ex eis neceſſaria comparantur.

21. Requiritur autem, poſteaquam hæc intra tectum illata fuerint, ejus etiam opera, qui hæc ſervet; & qui ea conficiat opera, quæ non niſi ſub tectis fieri poſſunt. Requirit vero tecta liberorum recens natorum educatio puerilis, & cibi ex illata ſegete confectio tecta requirit: ac ſimiliter etiam veſtis ex lanis elaboratio.

22. Et quoniam hæc utraque tum interiora tum externa, labores & curam requirunt; idcirco etiam Deus, dixiſſe ſe perhibebat, ſtatim naturam præparavit feminæ quidem, ad opera & curationes interiores: viri autem, ad opera & curationes externas.

23. Nam viri corpus & animum ſic condidit, ut magis & frigora,

τείας, ἢ ἀνδρὸς τὸ σῶμα καὶ τὴν ψυχὴν μᾶλλον δύνασθαι καρτερεῖν παρεσκεύασεν· ὥστε τὰ ἔξω ἐπέταξεν αὐτῷ ἔργα. τῇ δὲ γυναικὶ ἧσσον τὸ σῶμα δυνατὸν πρὸς ταῦτα φύσας, τὰ ἔνδον ἔργα αὐτῇ (φάναι ἔφη) προστάξαι μοι δοκεῖ ὁ Θεός.

κδ΄. Εἰδὼς δὲ, ὅτι τῇ γυναικὶ καὶ ἐνέφυσε καὶ προσέταξε τὴν τῶν νεογνῶν τέκνων τροφὴν, καὶ τοῦ στέργειν τὰ νεογνὰ βρέφη πλεῖον αὐτῇ ἐδάσατο, ἢ τῷ ἀνδρί.

κε΄. Ἐπεὶ δὲ καὶ τὸ φυλάττειν τὰ εἰσενεχθέντα τῇ γυναικὶ προσέταξε, γιγνώσκων ὁ Θεὸς, ὅτι πρὸς τὸ φυλάσσειν οὐ κάκιόν ἐστι φοβερὰν εἶναι τὴν ψυχὴν, πλεῖον μέρος καὶ τοῦ φόβου ἐδάσατο τῇ γυναικὶ ἢ τῷ ἀνδρί. εἰδὼς δὲ, ὅτι καὶ ἀρήγειν αὖ δεήσει, ἐάν τις ἀδικῇ τὸν τὰ ἔξω ἔργα ἔχοντα, τούτῳ αὖ πλεῖον μέρος τοῦ θράσους ἐδάσατο.

κϛ΄. Ὅτι δ᾽ ἀμφοτέρους δεῖ καὶ διδόναι καὶ λαμβάνειν, τὴν μνήμην καὶ τὴν ἐπιμέλειαν εἰς τὸ μέσον ἀμφοτέροις κατέθηκεν· ὥστε οὐκ ἂν ἔχοις διελεῖν, πότερα

gora, & calores, & itinera, & expeditiones militares tolerare posset, quo factum, ut opera illi externa injungeret. Mulieri vero quia minus ad hæc firmum corpus à natura largitus esset, idcirco illi opera interiora, dixisse se aiebat, mandasse mihi Deus videtur.

24. Et quia sciebat, quod & à natura indidisset, & mandasset feminæ, ut ea recens natos liberos educaret: idcirco majorem etiam amorem erga modo natos liberos ei quam viro tribuit.

25. Quia item, illata custodiendi curam mandavit feminæ, idcirco Deus, qui sciret animum timidum ad custodiam minime deteriorem esse, majorem etiam metus partem feminæ, quam viro impertivit. Quod sciret opus esse defensione, si quis opera foris facientem lædat, rursus huic audaciæ plus tribuit.

26. Quod utrosque tum expendere tum recipere necesse sit; idcirco memoriam & diligentiam utriusque in medium posuit. Itaque non facile possis discernere, utrum

τερα τὸ ἔθνος τὸ θῆλυ, ἢ τὸ ἄῤῥεν τούτων πλεονεκτεῖ.

κζ΄. Καὶ τὸ ἐγκρατεῖς δὲ εἶναι, ὡς δεῖ, εἰς τὸ μέσον ἀμφοτέροις κατέθηκε, καὶ ἐξουσίαν ἐποίησεν ὁ Θεὸς, ὁπότερος ἂν ᾖ βελτίων, εἴθ᾽ ὁ ἀνὴρ, εἴθ᾽ ἡ γυνὴ, τοῦτον καὶ πλεῖον φέρεσθαι τούτου τοῦ ἀγαθοῦ.

κη΄. Διὰ δὲ τὸ τὴν φύσιν μὴ πρὸς πάντα ταῦτα ἀμφοτέρων εὖ πεφυκέναι, διὰ τοῦτο καὶ δέονται μᾶλλον ἀλλήλων, καὶ τὸ ζεῦγος ὠφελιμώτερον ἑαυτῷ γεγένηται, ἃ τὸ ἕτερον ἐλλείπεται, τὸ ἕτερον δυνάμενον.

κθ΄. Ταῦτα δὲ (ἔφην) δεῖ ἡμᾶς, ὦ γύναι, εἰδότας, ἃ ἑκατέρῳ ἡμῶν προστέτακται ὑπὸ τοῦ Θεοῦ, πειρᾶσθαι ὅπως ὡς βέλτιστα τὰ προσήκοντα ἑκάτερον ἡμῶν διαπράττεσθαι.

λ΄. Συνεπαινεῖ δὲ (ἔφη φάναι) καὶ ὁ νόμος ταῦτα, συζευγνὺς ἄνδρα καὶ γυναῖκα. καὶ κοινωνοὺς ὥσπερ τῶν τέκνων ὁ Θεὸς ἐποίησεν, οὕτω καὶ ὁ νόμος τοῦ οἴκου κοινωνοὺς καθίστησι. καὶ καλὰ δὲ εἶναι ὁ νόμος ἀποδείκνυσιν, ἃ καὶ ὁ Θεὸς ἔφυσεν ἑκάτερον

μᾶλλον

utrum femineum an virile genus hac in parte excellat.

27. Etiam Deus in medio posuit ambobus abstinentiam à rebus iis à quibus abstinendum est; & potestatem eis fecit, uter foret melior, sive vir, sive mulier, is ut hujus boni partem majorem consequeretur.

28. Quia vero natura utriusque non esset ad hæc omnia recte comparata, idcirco etiam alter alterius magis indiget, fitque par hoc sibi ipsi utilius, quum alterius in potestate sint ea quibus alterum destituitur.

29. Hæc, [illegible]cebam ad eam, quum sciam[illegible] [illegible]nea uxor, nimirum quæ utrique nostrum à Deo sint imp[illegible]ata: enixe operam dare debemus, ut uterque nostrum ea quæ sui officii ratio postulat, quam rectissime præstemus.

30. Etiam lex, dixisse se aiebat, hæc approbat, marem ac feminam copulans. Atque uti Deus liberorum societatis inter ipsos auctor est, ita lex domus societatem eis instituit. Præterea lex ea pulchra esse demonstrat, quæ naturæ Deus indidit, ut præstare pos-

 sit

μᾶλλον ἂν δύνασθαι. τῇ μὲν γὰρ γυναικὶ κάλλιον, μένειν ἔνδον, ἢ θυραυλεῖν· τῷ δὲ ἀνδρὶ αἴσχιον, ἔνδον μένειν, ἢ τῶν ἔξω ἐπιμελεῖσθαι.

λα'. Εἰ δέ τις παρ' ἃ ὁ Θεὸς ἔφυσε, ποιεῖ, ἴσως τι καὶ ἀτακτῶν τοὺς Θεοὺς οὐ λήθει, καὶ δίκην δίδωσιν ἀμελῶν τῶν ἔργων τῶν ἑαυτοῦ, ἢ πράσσων τὰ τῆς γυναικὸς ἔργα.

λβ'. Δοκεῖ δέ μοι (ἔφην) καὶ ἡ τῶν μελισσῶν ἡγεμὼν τοιαῦτα ἔργα ὑπὸ τοῦ Θεοῦ προστεταγμένα διαπονεῖσθαι. καὶ ποῖα δὴ (ἔφη ἐκείνη) ἔργα ἔχουσα ἡ τῶν μελισσῶν ἡγεμὼν, ἐξομοιοῦται τοῖς ἔργοις, οἷς ἐμὲ δεῖ πράττειν;

λγ'. Ὅτι, ἔφην ἐγὼ, ἐκείνη τε ἐν τῷ σμήνει μένουσα οὐκ ἐᾷ ἀργοὺς τὰς μελίσσας εἶναι· ἀλλ' ἃς μὲν δεῖ ἔξω ἐργάζεσθαι, ἐκπέμπει ἐπὶ τὸ ἔργον, καὶ ἃ ἂν αὐτῶν ἑκάστη εἰσφέρῃ, οἶδέ τε καὶ δέχεται, καὶ σώζει ταῦτα, ἔστ' ἂν δέῃ χρῆσθαι· ἐπειδὰν δὲ ἡ ὥρα τοῦ χρῆσθαι ἥκῃ, διανέμει τὸ δίκαιον ἑκάστῃ.

λδ'. Καὶ

ſit uterque rectius. Eſt enim feminæ pulchrius, intra ædes eam ſe continere, quam foris agere: viro autem turpius, intus manere, quam res exteras curare.

31. Quod ſi quis aliud agit, quam quod ipſius naturæ Deus indidit; fortaſſis occultum eſſe Deo non poteſt, ordinem ab ipſo perturbari, adeoque pœnas dat, ſive quis opera ſibi convenientia negligit, ſive muliebria facit.

32. Ac mihi quidem videtur, inquam, etiam apis illa, quæ cæterarum dux eſt, ſibi divinitus præſcripta conſtanter elaborare. Quænam vero, ait hæc, apum illa dux opera tractat, illis actionibus conſimilia, quæ mihi conveniunt?

33. Quod illa, inquam, in alveari manens otioſas eſſe apes non patitur: ſed quas foris laborare oportet, eas ad opus emittit, ac quidquid attulerint ſingulæ, novit & accipit, tamque diu ſervat, donec eo ſit utendum. Id vero tempus ubi jam adeſt, juſtam cuique partem tribuit.

34. Præ-

λδ'. Καὶ ἐπὶ τοῖς ἔνδον δὲ ἐξυφαινομένοις κηρίοις ἐφέστηκεν, ὡς καλῶς καὶ ταχέως ὑφαίνηται, καὶ τοῦ γιγνομένου τόκου ἐπιμελεῖται, ὡς ἐκτρέφηται. ἐπειδὰν δὲ ἐκτραφῇ, καὶ ἀξιοεργοὶ οἱ νεοσσοὶ γένωνται, ἀποικίζει αὐτοὺς σὺν τῶν ἐπιγόνων τινὶ ἡγεμόνι.

λε'. Η καὶ ἐμὲ οὖν, ἔφη ἡ γυνή, δεήσει ταῦτα ποιεῖν; δεήσει μέντοι σε (ἔφην ἐγὼ) ἔνδον τε μένειν, καὶ οἷς μὲν ἂν ἔξω τὸ ἔργον ᾖ τῶν οἰκετῶν, τούτους συνεκπέμπειν· οἷς δ' ἂν ἔργον ἔνδον ἐργαστέον, τούτων σοι ἐπιστατητέον, καὶ τά τε εἰσφερόμενα ἀποδεκτέον.

λϛ'. Καὶ ἃ μὲν ἂν αὐτῶν δέῃ δαπανᾶν, σοὶ διανεμητέον· ἃ δ' ἂν περιττεύειν δέῃ, προνοητέον καὶ φυλακτέον, ὅπως μὴ ἡ εἰς τὸν ἐνιαυτὸν κειμένη δαπάνη εἰς τὸν μῆνα δαπανᾶται. καὶ ὅταν ἔρια εἰσενεχθῇ σοι, ἐπιμελητέον ὅπως οἷς δεῖ ἱμάτια γίγνηται. καὶ ὅ γε ξηρὸς σῖτος ὅπως καλῶς ἐδώδιμος γίγνηται, ἐπιμελητέον.

λζ'. Εν

34. Praeest etiam favis, qui intus texuntur, uti recte celeriterque texantur: & foetus, qui nascitur, educandi curam habet. Is posteaquam educatus est, jamque operi faciundo idoneae sunt apiculae; coloniam ex eis deducit, adjuncta ipsis quadam quasi nepotum duce.

35. Num igitur me quoque, ait uxor, haec facere necesse erit? Erit, inquam ego, necesse domi ut maneas, ac emittere famulos, quibus foris est laborandum: quibus autem intus faciundum opus, cis praeesse debes; & quae inferuntur, recipere.

36. Praeterea distribuendum erit tibi, quidquid eorum expendendum est: quaeque superare debebunt, de iis prudenter prospiciendum tibi erit, & cavendum, ne sumtus in annum reconditus uno mense absumatur. Quum lanae in domum illatae fuerint, adhibenda cura ut vestes illis parentur, quibus confici debent. Curandum item, ut frumentum aridum, idoneum ad vescendum fiat.

37. Una,

λζ'. Ἓν μέντοι τῶν σοὶ προσηκόντων, ἔφην ἐγώ, ἐπιμελημάτων ἴσως ἀχαριστότερον δόξει εἶναι, ὅτι ὃς ἂν κάμνῃ τῶν οἰκετῶν, τούτων σοι ἐπιμελητέον πάντων, ὅπως θεραπεύηται. νὴ Δί᾽, ἔφη ἡ γυνή, ἐπιχαριτώτατον μὲν οὖν, ἢν μέλλωσί γε οἱ καλῶς θεραπευθέντες χάριν εἴσεσθαι, καὶ εὐνούστεροι ἢ πρόσθεν ἔσεσθαι.

λη'. Καὶ ἐγώ, ἔφη ὁ Ἰσχόμαχος, ἀγασθεὶς αὐτῆς τὴν ἀπόκρισιν, εἶπον· ἆρά γε, ὦ γύναι, διὰ τοιαύτας τινὰς προνοίας καὶ τῆς ἐν τῷ σμήνει ἡγεμόνος αἱ μέλισσαι οὕτω διατίθενται πρὸς αὐτήν, ὥστε ὅταν ἐκείνη ἐκλίπῃ, οὐδεμία οἴεται τῶν μελισσῶν ἀπολειπτέον εἶναι, ἀλλ᾽ ἕπονται πᾶσαι;

λθ'. Καὶ ἡ γυνή μοι ἀπεκρίνατο· θαυμάζοιμ᾽ ἄν (ἔφη) εἰ μὴ πρὸς σὲ μᾶλλον τείνοι τὰ τοῦ ἡγεμόνος ἔργα, ἢ πρὸς ἐμέ. ἡ γὰρ ἐμὴ φυλακὴ τῶν ἔνδον καὶ διανομὴ γελοία τις ἂν (οἶμαι) φαίνοιτο, εἰ μὴ σύ γε ἐπιμελοῖο, ὅπως ἔξωθέν τι εἰσφέροιτο.

μ'. Γελοία δ᾽ αὖ, ἔφην ἐγώ, ἡ ἐμὴ εἰσφορὰ φαίνοιτ᾽ ἄν, εἰ

37. Una, inquam, curatio ex iis quæ tui sunt muneris, fortassis ingratior esse videbitur; quod famulorum omnium cura tibi suscipienda erit, ut si quis ex iis ægrotet, curetur. Illud profecto, ait uxor, longe gratissimum fuerit, si quidem curati gratiam habituri sint, animoque erga me magis benevolo futuri, quam prius.

38. Quam ipsius responsionem, aiebat Ischomachus, admiratus equidem: An non, inquam, mea uxor, propterea quod apum illa dux in alveari sic earum commodis prospicit, ea est vicissim aliarum apum erga hanc affectio: ut alveum si deserat, nulla se abesse putet ab illa debere, sed omnes sequantur?

39. Tum illa mihi respondens: Mihi vero mirum videatur, ait, non potius ad te ducis officium pertinere, quam ad me. Nam mea rerum, quæ intus sunt, custodia & distributio, ridiculã speciem habuerit: nisi tu curam adhibeas, ut extrinsecus aliquid inferatur.

40. Mea quoque, inquam ego, ridicula videbitur illatio, nisi sit qui

εἰ μὴ εἴη ὅστις τὰ εἰσενεχθέντα σώζοι. οὐχ ὁρᾷς, ἔφην ἐγὼ, οἱ εἰς τὸν τετρημένον πίθον ἀντλεῖν λεγόμενοι, ὡς οἰκτείρονται, ὅτι μάτην πονεῖν δοκοῦσι; νὴ Δί', ἔφη ἡ γυνή. καὶ γὰρ τλήμονές εἰσιν, εἰ τοῦτό γε ποιοῦσιν.

μα'. Ἀλλαι δέ τοι, ἔφην ἐγὼ, ἴδιαι ἐπιμέλειαι, ὦ γύναι, ἡδεῖαί σοι γίγνονται, ὁπόταν ἀνεπιστήμονα ταλασίας λαβοῦσα, ἐπιστήμονα ποιήσῃς, καὶ διπλασίου σοι ἀξία γένηται. καὶ ὁπόταν ἀνεπιστήμονα ταμιείας καὶ διακονίας παραλαβοῦσα, ἐπιστήμονα, καὶ πιστὴν, καὶ διακονικὴν ποιησαμένη, παντὸς ἀξίαν ἔχῃς· καὶ ὁπόταν τοὺς μὲν σώφρονάς τε, καὶ ὠφελίμους τῷ σῷ οἴκῳ ἐξῇ σοι εὖ ποιῆσαι, ἐὰν δέ τις πονηρὸς φαίνηται, ἐξῇ σοι κολάσαι.

μβ'. Τὸ δὲ πάντων ἥδιστον, ἐὰν βελτίων ἐμοῦ φανῇς, καὶ ἐμὲ σὸν θεράποντα ποιήσῃς, καὶ μὴ δέῃ σε φοβεῖσθαι, μὴ προϊούσης τῆς ἡλικίας ἀτιμοτέρα ἐν τῷ οἴκῳ γένῃ, ἀλλὰ πιστεύῃς, ὅτι πρεσβυτέρα γινομένη, ὅσῳ ἂν καὶ ἐμοὶ κοινωνὸς καὶ παισὶν

qui illata ſervet. Non vides, inquam, quo pacto illorum homines miſerari conſueverint, qui pertuſum in dolium aliquid haurire dicuntur, idque propterea, quod laborare fruſtra putentur? Video certe, ait uxor, ac ſunt ſane miſeri, ſi hoc faciunt.

41. Sunt & aliæ, inquam ego, curationes proprie tuæ, mea uxor, futuræ non injucundæ: ut quum imperitam lanificii nacta, peritam efficies, atque ea tibi deinde duplo pluris erit: quum imperitam condendi promendique, & miniſtrandi, nacta, talem efficies, quæ & horum perita, & fida, & in miniſtrando promta, quantivis tibi ſit pretii: quum tibi modeſtos, ac domui tuæ utiles afficere beneficio licebit, ac ſi quis improbus eſſe videatur, punies.

42. Quod denique omnium jucundiſſimum eſt, quum me eſſe melior videberis, meque famulum tuum effeceris, neque verendum tibi ſit, ut ne ætate procedente minus in domo tibi honoris exhibeatur: ſed perſuaſum habueris, te ætate provectiori tanto majore futuram

σὺ οἴκου φύλαξ ἀμείνων γένῃ, τοσούτῳ καὶ τιμιωτέρα ἐν τῷ οἴκῳ ἔσῃ.

μγ'. Τὰ γὰρ καλά τε κἀγαθά, ἐγὼ ἔφην, οὐ διὰ τὰς ὡραιότητας, ἀλλὰ διὰ τὰς ἀρετὰς εἰς τὸν βίον τοῖς ἀνθρώποις ἐπαύξεται. τοιαῦτα μέν, ὦ Σώκρατες, δοκῶ μεμνῆσθαι αὐτῇ τὰ πρῶτα διαλεχθείς.

ΚΕΦ. η'.

Ἦ Καὶ ἐπέγνως τι, ὦ Ἰσχόμαχε, ἔφην ἐγώ, ἐκ τούτων κεκινημένην αὐτὴν μᾶλλον πρὸς τὴν ἐπιμέλειαν; ναὶ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, καὶ δηχθεῖσάν γε αὐτὴν οἶδα, καὶ ἐρυθριάσασαν σφόδρα, ὅτι τῶν εἰσενεχθέντων τι αἰτήσαντος ἐμοῦ, οὐκ εἶχέ μοι δοῦναι.

β'. Καὶ ἐγὼ μέντοι ἰδὼν ἀχθεσθεῖσαν αὐτήν, εἶπον· μηδέν τι (ἔφην) ἀθυμήσῃς, ὦ γύναι, ὅτι οὐκ ἔχεις δοῦναι ὅ, τι σε αἰτῶν τυγχάνω. ἔστι μὲν γὰρ πενία αὕτη σαφής, τὸ δεόμενόν

futuram in honore, quanto tum mihi consors, tum liberis custos domus melior exstiteris.

43. Nam honestorum egregiorumque dignitas non propter elegantiam formæ, sed propter virtutes in vita mortalium incrementa sumunt. Hujusmodi quædam me, mi Socrates, primum cum ipsa colloquutum esse, meminisse videor.

CAP. VIII.

TUm ego: An etiam intellexisti, inquam, nonnihil ex his eam commotam ad diligentiam? Intellexi profecto, inquit Ischomachus, atque etiam memini, quum valde morderetur & erubesceret propterea, quod me quiddam eorum poscente, quæ à me illata fuerant, dare id non posset.

2. Quod ego quum eam graviter & ægre tulisse vidissem: Ne sit hoc, inquam, animo tuo molestum, mea mulier, quod dare non potes id, quod ego nunc forte abs te posco. Nam certa paupertas est, quum alicujus indigeas, uti eo

δεόμενόν τινος μὴ ἔχειν χρῆσθαι· ἀλυποτέρα δὲ αὕτη ἡ ἔνδεια, τὸ μὴ δύνασθαι ζητοῦντά τι λαβεῖν, ἢ τὴν ἀρχὴν μηδὲ ζητεῖν, εἰδότα ὅτι οὐκ ἔστιν. ἀλλὰ γὰρ (ἔφην ἐγὼ) τούτων οὐ σὺ αἰτία, ἀλλ' ἐγώ, ὅτι οὐ τάξας σοι παρέδωκα ὅπου χρὴ ἕκαστα κεῖσθαι, ὅπως εἰδῇς ὅπου γε δεῖ τιθέναι, καὶ ὁπόθεν λαμβάνειν.

γ'. Ἔστι δ' οὐδὲν οὕτως, ὦ γύναι, οὔτ' εὔχρηστον οὔτε καλὸν ἀνθρώποις, ὡς ἡ τάξις. καὶ γὰρ χορὸς ἐξ ἀνθρώπων συγκείμενός ἐστιν. ἀλλ' ὅταν μὲν ποιῶσιν ὅ,τι ἂν τύχῃ ἕκαστος, ταραχή τις φαίνεται, καὶ θεᾶσθαι ἀτερπές. ὅταν δὲ τεταγμένως ποιῶσι καὶ φθέγγωνται, ἅμα οἱ αὐτοὶ οὗτοι καὶ ἀξιοθέατοι δοκοῦσιν εἶναι, καὶ ἀξιάκουστοι.

δ'. Καὶ στρατιά γε, ἔφην ἐγώ, ὦ γύναι, ἄτακτος μὲν οὖσα, ταραχωδέστατον καὶ τοῖς μὲν πολεμίοις εὐχειρωτότατον, τοῖς δὲ φίλοις ἀκλεέστατον ὁρᾶν, καὶ ἀχρηστότατον, ὄνος ὁμοῦ, ὁπλίτης, σκευοφόρος,

eo non posse. Verum minus est in hac penuria molestiæ, quum quid inveniri quærendo non potest, quam si ab initio non quæras; non ignorans scilicet, illud abesse. Enimvero hæc ad te culpa non pertinet, sed ad me: qui non omnia tibi tradiderim designato singulis loco, quo ea collocari deberent, ut tu scires, ubi ea reponenda, & unde rursus essent promenda.

3. Nihil est autem, mea uxor, in rebus humanis vel utilius, vel pulchrius ordine. Nam & chorus ex hominibus constat. Verum ubi quisque quod temere visum est, facit: turbæ cujusdam species se exhibet, ac spectatu quiddam injucundum. At quum omnia recte atq; ordine proferunt & agunt, eadem opera faciunt, ut & spectatu & auditu digni esse videantur.

4. Itidem exercitus, inquam, mea uxor, dum non in ordines digestus est, longe quiddam est turbulentissimum; ac hostium quidem victoriæ maxime expositum, suis autem spectatu fœdissimum, & ad usum minime accommodatum: ubi simul sunt, asinus, gravis armaturæ

ρος, ψιλός, ἱππεύς, ἅμαξα. πῶς γὰρ ἂν πορευθείησαν, ἐὰν ἔχοντες οὕτως ἐπικωλύσωσιν ἀλλήλους· ὁ μὲν βαδίζων, τὸν τρέχοντα· ὁ δὲ τρέχων, τὸν ἑστηκότα· ἡ δὲ ἅμαξα, τὸν ἱππέα· ὁ δὲ ὄνος, τὴν ἅμαξαν· ὁ δὲ σκευοφόρος, τὸν ὁπλίτην;

ε'. Εἰ δὲ καὶ μάχεσθαι δέοι, πῶς ἂν οὕτως ἔχοντες μαχέσαιντο; οἷς γὰρ ἀνάγκη αὐτῶν τοὺς ἐπιόντας φεύγειν, οὗτοι ἱκανοί εἰσι φεύγοντες καταπατῆσαι τοὺς ὅπλα ἔχοντας.

ς'. Τεταγμένη δὲ στρατιὰ κάλλιστον μὲν ἰδεῖν τοῖς φίλοις, δυσχερέστατον δὲ τοῖς πολεμίοις. τίς μὲν γὰρ οὐκ ἂν φίλος ἡδέως θεάσαιτο ὁπλίτας πολλοὺς ἐν τάξει πορευομένους; τίς δ' οὐκ ἂν θαυμάσειεν ἱππέας κατὰ τάξιν ἐλαύνοντας; τίς δὲ οὐκ ἂν πολέμιος φοβηθείη, ἰδὼν διακεκριμένους ὁπλίτας, ἱππέας, πελταστάς, τοξότας, σφενδονήτας, καὶ τοῖς ἄρχουσι τεταγμένως ἑπομένους;

ζ'. Ἀλλὰ

armaturæ pedes, lixa, veles, eques, plaustrum. Nam quo pacto progredi poterunt, si quidem in hac perturbatione mutuo sese impedient; gradatim incedens, currentem; currens, stantem; plaustrum, equitem; asinus, plaustrum; lixa, gravis armaturæ peditem?

5. Quod si etiam dimicandum sit, quomodo tali omnium perturbatione dimicare possint? Nam qui necessario invadentibus terga dare coguntur, illi dum fugiunt, proterere milites etiam armatos possunt.

6. At instructa recte acies quiddam est suis spectatu pulcherrimum, hostibus vero gravissimum. Nam cui suorum non volupe sit multos videre gravis armaturæ pedites instructis ordinibus incedentes? quis non admiretur equites, qui ordines inter equitandum observent? quis hostium metu non percellatur, si recte dispositos gravis armaturæ pedites, equites, cetratos, sagittarios, funditores viderit, eosdemque suos imperatores composite sequentes?

7. Immo

ζ΄. Ἀλλὰ καὶ πορευομένων ἐν τάξει, κἂν πολλαὶ μυριάδες ὦσιν, ὁμοίως ὥσπερ εἷς ἕκαστος καθ᾽ ἡσυχίαν πάντες πορεύονται. εἰς γὰρ τὸ κενούμενον ἀεὶ οἱ ὄπισθεν ἐπέρχονται.

η΄. Καὶ τριήρης δέ τοι ἡ σεσαγμένη ἀνθρώπων, διὰ τί ἄλλο φοβερόν ἐστι πολεμίοις, ἢ φίλοις ἀξιοθέατον, ἢ ὅτι ταχὺ πλεῖ; διὰ τί δὲ ἄλλο ἄλυποι ἀλλήλοις εἰσὶν οἱ ἐμπλέοντες, ἢ διότι ἐν τάξει μὲν καθῆνται, ἐν τάξει δὲ προνεύουσιν, ἐν τάξει δ᾽ ἀναπίπτουσιν, ἐν τάξει δ᾽ ἐμβαίνουσι καὶ ἐκβαίνουσιν;

θ΄. Ἡ δ᾽ ἀταξία ὅμοιόν τι μοὶ δοκεῖ εἶναι, οἷόν περ εἰ γεωργὸς ὁμοῦ ἐμβάλοι κριθὰς, καὶ πυροὺς, καὶ ὄσπρια· κἄπειτα, ὁπότε δέοι ἢ μάζης ἢ ἄρτου ἢ ὄψου, διαλέγειν δέοι αὐτῷ, ἀντὶ τοῦ λαβόντα διακεκριμένοις χρῆσθαι.

ι΄. Καὶ σὺ οὖν, ὦ γύναι, ἵνα τοῦ μὲν ταράχου τούτου μὴ δέοιο, βούλοιο δ᾽ ἀκριβῶς διοικεῖν τὰ ὄντα εἰδέναι, καὶ

7. Immo etiam si multa millia sint, tamen quamdiu sic incedunt, ut ordines servent, pergunt omnes placide, non aliter atque singuli progrediuntur, succedentibus semper vacuum in locum illis qui à tergo sunt.

8. Etiam triremis hominibus onusta quam aliam ob causam vel hostibus est terrori, vel amicis jucunda spectatu, nisi ob navigationem celerem? Quam aliam ob caussam molesti sibi mutuo non sunt vectores, nisi quod ordine sedeant, ordine propendendo in remos incumbant, ordine se retro flectant, ordine tum ingrediantur, tum egrediantur?

9. Ordinis autem perturbatio quiddam mihi simile videtur esse, ac si agricola eodem loco conjiciat hordeum, triticum, legumina. Deinde si vel offa, vel pane, vel obsonio sit opus, necesse sit eum singula seligere, pro eo, quod jam secreta sumere ad usum debebat.

10. Itaque tu etiam, mea uxor, ut hoc modo te conturbari necesse non sit, & ut studeas scire administrandi facultates nostras rationem,

καὶ τῶν ὄντων εὐπόρως λαμβάνουσα ὅτῳ ἂν δέῃ χρῆσθαι, καὶ ἐμοί, ἐάν τι αἰτῶ, ἐν χάριτι διδόναι, χώραν τε δοκιμασώμεθα τὴν προσήκουσαν ἑκάστοις ἔχειν, καὶ ἐν ταύτῃ θέντες, διδάξωμεν τὴν διάκονον λαμβάνειν τε ἐντεῦθεν, καὶ κατατιθέναι πάλιν εἰς ταύτην· καὶ οὕτως εἰσόμεθα τά τε σῶα ὄντα, καὶ τὰ μή. ἡ γὰρ χώρα αὐτὴ τὸ μὴ ὂν ποθήσει· καὶ δεομένων θεραπείας ἐξετάσει ἡ ὄψις, καὶ τὸ εἰδέναι ὅπου ἕκαστόν ἐστι, ταχὺ ἐγχειριεῖ, ὥστε μὴ ἀπορεῖν χρῆσθαι.

ια'. Καλλίστην δέ ποτε καὶ ἀκριβεστάτην ἔδοξα σκευῶν τάξιν ἰδεῖν, ὦ Σώκρατες, εἰσβὰς ἐπὶ θέαν εἰς τὸ μέγα πλοῖον τὸ Φοινικόν. πλεῖστα γὰρ σκεύη ἐν μικροτάτῳ ἀγγείῳ διακεχωρισμένα ἐθεασάμην.

ιβ'. Διὰ πολλῶν μὲν γὰρ δήπου, ἔφη, ξυλίνων σκευῶν καὶ πλεκτῶν ὁρμίζεται ναῦς καὶ ἀνάγεται, διὰ πολλῶν δὲ τῶν κρεμαστῶν καλουμένων πλεῖ, πολλοῖς δὲ μηχανήμασιν

nem, ac fine difficultate fumas id quod utendum fit, mihique fi quid popofcero, fic tradas ut gratam mihi rem facias: inquiramus fane locum fingulis convenientem, eoque pofita re quavis moneamus ancillam, ut inde fumat, ac rurfus ibidem collocet. Ita nimirum fciemus, quæ nobis fuperfint, quæ fint amiffa. Nam locus ipfe quod abeft, requiret: quodque curandum erit, adfpectus ipfe arguet: denique quod fciamus, ubi quodque fit, id ipfum fingula nobis exhibebit, ut ad ufum nihil defideraturi fimus.

11. Atque equidem, mi Socrates, pulcherrimum aliquando, longeque accuratiffimum inftrumentorum ordinem infpicere mihi vifus fum, quum fpectandi caufsa ingentem illam navim Punicam ingreffus effem. Armamenta namque plurima feparatim collocata exiguo in receptaculo contemplabar.

12. Etenim navis multis ligneis & intortis inftrumentis in portum deducitur, ac viciffim folvit: multorum adjumento, quæ penfilia vocant, impellitur; multis machinamentis

μασιν ἀνθώπλισται πρὸς τὰ πολέμια πλοῖα, πολλὰ δὲ ὅπλα τοῖς ἀνδράσι συμπεριάγει, πάντα δὲ σκεύη, ὅσοις περ ἐν οἰκίᾳ χρῶνται ἄνθρωποι, τῇ συσσιτίᾳ ἑκάστῃ κομίζει. γέμει δὲ παρὰ πάντα φορτίων, ὅσα ναύκληρος κέρδους ἕνεκα ἄγεται.

ιγ'. Καὶ ὅσα λέγω, ἔφη, πάντα οὐκ ἐν πολλῷ τινι μείζονι χώρᾳ ἔκειτο, ἢ ἐν δεκακλίνῳ στέγῃ συμμέτρῳ. καὶ οὕτω κατακείμενα ἕκαστα κατενόησα, ὡς οὔτε ἄλληλα ἐμποδίζει, οὔτε μαστευτοῦ δεῖται, οὔτε ἀσυσκεύαστά ἐστι, οὔτε δυσλύτως ἔχει, ὥστε διατριβὴν παρέχειν ὅταν τῳ ταχὺ δέῃ χρῆσθαι.

ιδ'. Τὸν δὲ τοῦ κυβερνήτου διάκονον, ὃς πρῳρεὺς τῆς νεὼς καλεῖται, οὕτως εὗρον ἐπιστάμενον ἑκάστων τὴν χώραν, ὡς καὶ ἀπὼν ἂν εἴποι, ὅπου ἕκαστα κεῖται, καὶ ὁπόσα ἐστὶν, οὐδὲν ἧττον, ἢ ὁ γράμματα ἐπιστάμενος εἴποι ἂν, Σωκράτους καὶ ὁπόσα γράμματα, καὶ ὅπου ἕκαστον τέτακται.

ιε'. Εἶδον δὲ, ἔφη ὁ Ἰσχόμαχος, καὶ ἐξετάζοντα τοῦτον

αὐτὸν

mentis adversus hostiles naves armatur: multa etiam hominum arma vehit: omnia vasa, quibus in domo utuntur homines, pro quolibet una victitantium contubernio vehit: denique præter hæc omnia referta est oneribus, quæ naviculator quæstus caussa secum vehit.

13. Atque hæc omnia, quæ dico, non multo ampliori loco sita erant, quam sit conclave decem lectulorum mediocriter capax. Animadverti autem sic omnia fuisse condita, ut nihil alteri esset impedimento, neque vestigatore egeret, nec imparatum esset, nec solutu difficile, quo moram afferret, ubi subito esset aliquo utendum.

14. Ministrum autem gubernatoris, quem proretam in navi vocant, ita cujusque loci gnarum reperi; ut vel absens dicere posset, ubi singula sita essent, & quam essent multa: non minus atque is qui literas norit, quot in Socratis nomine literæ sint, dicere possit, & ubi singulæ sunt collocatæ.

15. Eundem etiam vidi, ait Ischomachus, per otium omnia lustran-

αὐτὸν ἐν τῇ σχολῇ πάντα, ὁπόσοις ἄρα δέοι ἐν τῷ πλοίῳ χρῆσθαι. θαυμάσας δὲ (ἔφη) τὴν ἐπίσκεψιν αὐτοῦ, ἠρόμην τί πράττοι. ὁ δ' εἶπεν· ἐπισκοπῶ, ἔφη, ὦ ξένε, εἴ τι συμβαίνοι γίγνεσθαι, πῶς κεῖται, ἔφη, τὰ ἐν τῇ νηΐ, ἢ εἴ τι ἀποστατεῖ, ἢ εἰ δυστραπέλως τι σύγκειται.

ιϛʹ. Οὐ γὰρ (ἔφη) ἐγχωρεῖ, ὅταν χειμάζῃ ὁ Θεὸς ἐν τῇ θαλάσσῃ, οὔτε μαστεύειν ὅτου ἂν δέῃ, οὔτε δυστραπέλως ἔχοι διδόναι. ἀπειλεῖ γὰρ ὁ Θεὸς, καὶ κολάζει τοὺς βλάκας. ἐὰν δὲ μόνον μὴ ἀπολέσῃ τοὺς μὴ ἁμαρτάνοντας, πάνυ ἀγαπητόν. ἐὰν δὲ καὶ πάνυ καλῶς ὑπηρετοῦντας σώζῃ, πολλὴ χάρις (ἔφη) τοῖς Θεοῖς.

ιζʹ. Ἐγὼ οὖν κατιδὼν ταύτην τὴν ἀκρίβειαν τῆς κατασκευῆς, ἔλεγον τῇ γυναικί· ὅτι πάνυ ★ ἂν ἡμῶν εἴη βλακικὸν, εἰ οἱ μὲν ἐν τοῖς πλοίοις καὶ μικροῖς οὖσι χώρας εὑρίσκουσι, καὶ σαλεύοντες ἰσχυρῶς ὅμως σώζουσι τὴν τάξιν, καὶ ὑπερφοβούμενοι ὅμως εὑρίσκουσι

lustrantem, quibus utendum in navi esset. Quumque hanc ejus inspectionem admiratus essem, quærebam quid ageret? Respondebat ille: Inspicio, mi hospes, si forte quid accidat, quo pacto sita sint omnia in navi, ac num quid absit, vel inconcinne collocatum sit.

16. Nec enim ubi tempestatem Deus in mari excitat, spatii quidquam reliquum est, vel inquirendi, quocunque tandem opus sit, vel tradendi, quod incondite collocatum sit. Nam minis terrere Deus & punire stolidos homines solet, ac si quidem illos, qui nihil perperam agunt, saltim non perdit, bene cum eis agitur. Quod si etiam rectissime omnia administrantes servat, magna Diis habenda est gratia.

17. Quamobrem quum collocationem ego tam accuratam inspexissem, dicebam uxori, admodum in nobis stolidum fore, si isti in navigiis, quæ exigua sunt, loca tamen invenirent; magnis tempestatibus jactati, nihilominus ordinem servarent; ingenti metu perculsi, nihilominus ea, quæ sumere

σι τὸ δέον λαμβάνειν. ἡμεῖς δὲ, καὶ διῃρημένων ἑκάστοις θηκῶν ἐν τῇ οἰκίᾳ μεγάλων, καὶ βεβηκυίας τῆς οἰκίας ἐν δαπέδῳ, εἰ μὴ εὑρήσομεν καλὴν καὶ εὐεύρετον χώραν ἑκάστοις αὐτῶν, πῶς οὐκ ἂν πολλὴ ἡμῶν ἀσυνεσία εἴη.

ιη'. Ὡς μὲν δὴ ἀγαθὸν τετάχθαι σκευῶν κατασκευὴν, καὶ ὡς ῥᾴδιον χώραν ἑκάστοις αὐτῶν εὑρεῖν, ἐν οἰκίᾳ θεῖναι ὡς ἑκάστοις συμφέρει, εἴρηται.

ιθ'. Ὡς δὲ καλὸν φαίνεται, ἐπειδὰν ὑποδήματα ἐφεξῆς κέηται, κἂν ὁποῖα ᾖ, καλὸν δὲ ἱμάτια κεχωρισμένα ἰδεῖν, κἂν ὁποῖα ᾖ, καλὸν δὲ στρώματα, καλὸν δὲ χαλκία, καλὸν δὲ τὰ ἀμφὶ τραπέζας, καλὸν δὲ καὶ ὃ πάντων καταγελάσειεν ἂν μάλιστα οὐχ ὁ σεμνὸς, ἀλλ' ὁ κομψὸς, ὅτι καὶ χύτρας φασὶν εὔρυθμον φαίνεσθαι εὐκρινῶς κειμένας.

κ'. Τὰ δὲ ἄλλα ἤδη που ἀπὸ τούτου ἅπαντα καλλίω φαίνεται κατὰ κόσμον κείμενα. χορὸς γὰρ σκευῶν ἕκαστα φαίνεται. καὶ τὸ

μέσον

mere neceſſe ſit, reperirent: nos, quum cellas habeamus in ædibus amplas, eaſque ſingillatim diſtinctas, & in ædium pavimento ſitas, non ſingulis aptum & inventu facilem locum reperire: quonam modo non magna ſit iſtæc inſcitia?

18. Dictum hactenus, quam utile ſit ordine collocatam eſſe vaſorum ſupellectilem, quamque ſit facile ſingulis invenire locum, quo in ædibus reponantur.

19. Quam vero pulchra ſpecies eſt, calceamenta, qualiacunque ſint, ordine collocata eſſe: pulchrum, veſtimenta ſeorſum condita videre, qualiacunq; ſint: pulchrum, idem in ſtragulis, in vaſis æreis, in iis quæ ad menſam pertinent: pulchrum etiam, licet maxime ridiculum ſit non homini gravi, ſed faceto, quod ollas quoque concinnitatis quandam habere ſpeciem, ſi diſtincte collocatæ ſint, aiunt.

20. Jam cætera quoque deinceps pulchriorem ſpeciem exhibent, decenter repoſita. Nam ſingula quidam quaſi chorus vaſorum eſſe videntur. Quin etiam

quod

μέσον δὲ τούτων καλὸν φαίνεται, ἐκ ποδῶν ἑκάστου κειμένου· ὥσπερ κύκλιος χορὸς οὐ μόνον αὐτὸς καλὸν θέαμά ἐστιν, ἀλλὰ καὶ τὸ μέσον αὐτοῦ καλὸν καὶ καθαρὸν φαίνεται.

κα'. Εἰ δ' ἀληθῆ ταῦτα λέγω, ἔξεστιν, ἔφην, ὦ γύναι, καὶ πεῖραν λαμβάνειν αὐτῶν, οὔτε τι ζημιωθέντας, οὔτε τι πολλὰ πονήσαντας. ἀλλὰ μὴν οὐδὲ τοῦτο δεῖ ἀθυμῆσαι, ὦ γύναι, ἔφην ἐγώ, ὡς χαλεπὸν εὑρεῖν τὸν μαθησόμενόν τε τὰς χώρας, καὶ μεμνησόμενον καταχωρίζειν ἕκαστα.

κβ'. Ἴσμεν γὰρ δήπου, ὅτι μυριοπλάσια ἡμῶν ἅπαντα ἔχει ἡ πᾶσα πόλις· ἀλλ' ὅμως ὁποῖον ἂν τῶν οἰκετῶν κελεύσῃς πριάμενόν τι σοὶ ἐξ ἀγορᾶς ἐνεγκεῖν, οὐδεὶς ἀπορήσει, ἀλλὰ πᾶς εἰδὼς φανεῖται, ὅποι χρὴ ἐλθόντα λαβεῖν ἕκαστα. τούτου μέντοι, ἔφην ἐγώ, οὐδὲν ἄλλο αἴτιόν ἐστιν, ἢ ὅτι ἐν χώρᾳ κεῖται τεταγμένῃ.

κγ'. Ἄνθρωπον δέ γε ζητῶν, καὶ ταῦτα ἐνίοτε ἀντιζητοῦντα, πολλάκις

quod medio loco est interjectum, pulchrum est, remotis inde cæteris; quemadmodum chorus circularis non ipse modo pulchrum spectaculum est, sed etiam id, quod in ejus est medio, pulchrum purumque cernitur.

21. An autem hæc à me vere dicantur, licet mea uxor, inquam, periculum faciamus, nullo cum nostro neque detrimento, neque labore magno. Ne hoc quidem, inquam, molestum animo nostro esse debet, uxor, quod sit difficile reperire aliquem, qui loca cognoscere discat, & meminerit singula suo loco reponere.

22. Scimus enim, hac civitate decies millies amplius contineri, quam apud nos: & nihilominus, quemcunque famulorum jusseris è foro emtum aliquid afferre, nemo dubitabit; sed quemvis scire apparebit, quo ire debeat, atque unde singula petere. Cujus rei nulla est alia caussa, inquam ego, quam quod certo sita loco sint.

23. Atsi hominem quæras, qui quidem nonnunquam vicissim & ipse te quærat, sæpenumero

πολλάκις ἄν τις πρότερον, πρὶν εὕροι, ἀπείποι. καὶ τούτου αὖ οὐδὲν ἄλλο αἴτιόν ἐστιν, ἢ τὸ μὴ εἶναι τεταγμένον, ὅπου ἕκαστον δεῖ ἀναμένειν. περὶ μὲν δὴ τάξεως σκευῶν, καὶ χρήσεως, τοιαῦτα αὐτῇ διαλεχθεὶς δοκῶ μεμνῆσθαι.

ΚΕΦ. θʹ.

Καὶ τί δή; ἡ γυνὴ ἐδόκει σοι (ἔφην ἐγὼ) ὦ Ἰσχόμαχε πως τι ἐπακούειν, ὧν σὺ ἐσπούδαζες διδάσκων; τί δέ, εἰ μὴ ὑπισχνεῖτό γε ἐπιμελήσεσθαι, καὶ φανερὰ ἦν ἡδομένη ἰσχυρῶς, ὥσπερ ἐξ ἀμηχανίας εὐπορίαν τινὰ εὑρηκυῖα· καὶ ἐδεῖτό μου ὡς τάχιστα, ᾗπερ ἔλεγον, διατάξαι.

βʹ. Καὶ πῶς δή, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, διέταξας αὐτῇ; τί δέ, εἰ μὴ τῆς οἰκίας τὴν δύναμιν ἔδοξέ μοι πρῶτον ἐπιδεῖξαι αὐτῇ; οὐ γὰρ ποικίλμασι κεκόσμηται,

ὦ

mero citius re desperata desines, quam ipsum invenias. Atque ejus etiam alia nulla caussa est, quam quod constitutum non sit, ubi quemque exspectare oporteat. Ac de ordine quidem vasorum, ac usu, cum ea me hujusmodi quædem colloquutum esse meminisse videor.

CAP. IX.

Quid autem? num uxor, inquam ego, mi Ischomache, visa tibi est attendere iis quæ tu docere cupiebas? Quid aliud, quam quod polliceretur, diligentiam se adhibituram, ac præ se ferret, quasi maximam voluptatem caperet, uti quæ magna ex inopia insignem copiam rerum invenisset? Etiam me rogabat, uti quam primum eo, quem explicassem, modo singula ordine disponerem.

2. Et qui tandem, mi Ischomache, inquam ego, disposuisti? Qui aliter, quam quod initio ipsi ostendendum arbitrarer, quæ domus esset nostræ commoditas? Nec enim variis ea picturis est ornata,

ὦ Σώκρατες, ἀλλὰ τὰ οἰκήματα ᾠκοδόμηται πρὸς αὐτὸ τοῦτο ἐσκεμμένα, ὅπως ἀγγεῖα ὡς συμφορώτατα ᾖ τοῖς μέλλουσιν ἐν αὐτοῖς ἔσεσθαι· ὥστε αὐτὰ ἐκάλει τὰ πρέποντα εἶναι ἑκάστῳ.

γ'. Ὁ μὲν γὰρ θάλαμος ἐν ὀχυρῷ ὢν, τὰ πλείστου ἄξια καὶ στρώματα καὶ σκεύη παρεκάλει· τὰ δὲ ξηρὰ τῶν στεγῶν, τὸν σῖτον· τὰ δὲ ψυχεινὰ, τὸν οἶνον· τὰ δὲ φανὰ, ὅσα φάους δεόμενα ἔργα τε καὶ σκεύη ἐστί.

δ'. Καὶ διαιτητήρια δὲ τοῖς ἀνθρώποις ἐπεδείκνυον αὐτῇ κεκαλλωπισμένα τοῦ μὲν θέρους ἔχειν ψυχεινὰ, τοῦ δὲ χειμῶνος ἀλεεινά. καὶ σύμπασαν δὲ τὴν οἰκίαν ἐπέδειξα αὐτῇ, ὅτι πρὸς μεσημβρίαν ἀναπέπταται, ὥστε εὔδηλον εἶναι ὅτι χειμῶνος μὲν εὐήλιός ἐστι, τοῦ δὲ θέρους εὔσκιος.

ε'. Ἔδειξα δὲ καὶ τὴν γυναικωνῖτιν αὐτῇ θύρᾳ βαλανείῳ ὡρισμένην ἀπὸ τῆς ἀνδρωνίτιδος, ἵνα μήτε ἐκφέρηται ἔνδοθεν ὅ, τι μὴ δεῖ, μήτε τεκνοποιῶνται οἱ οἰκέται

nata, mi Socrates, sed omnes cellæ tali consideratione sunt exstructæ, ut quamcommodissima sint iis receptacula, quæ in eis collocanda sunt. Itaque tunc ipsæmet sibi convenientia velut arcessebant.

3. Nam penetralia loco sita munito, vestes stragulas vasaque maximi pretii sibi deposcebant: quæ vero partes ædificii siccæ sunt, frumentum; quæ frigidæ, vinum; quæ plenæ lucis, opera & vasa maxime lumen requirentia.

4. Præterea demonstrabam ei loca hominum usui & habitationi destinata, eaque perpulchre ornata, ut per æstatem essent frigida, per hiemem calida. Adeoque domum universam ei commonstrabam, meridiem versus apertam: de quo obscurum esse non posset, hieme illam sat habere solis, æstate umbrarum.

5. Et gynæcei fores per balneum à virorum contubernio secretas ei ostendebam, ne vel foras aliquid efferretur, quod non deberet; vel famuli absque consensu

κέται ἄνευ τῆς ἡμετέρας γνώμης. οἱ μὲν γὰρ χρηστοὶ παιδοποιησάμενοι, εὐνούστεροι ὡς ἐπιτοπολύ· οἱ δὲ πονηροὶ συζυγέντες, εὐπορώτεροι πρὸς τὸ κακουργεῖν γίγνονται.

ϛ'. Ἐπεὶ δὲ ταῦτα διήλθομεν, ἔφη, οὕτω δὴ ἤδη κατὰ φυλὰς διεκρίνομεν τὰ ἔπιπλα. ἠρχόμεθα δὲ πρῶτον, ἔφη, ἀθροίζοντες οἷς ἀμφὶ θυσίας χρώμεθα. μετὰ ταῦτα κόσμον γυναικὸς τὸν εἰς ἑορτὰς διῃροῦμεν, ἐσθῆτα ἀνδρὸς τὴν εἰς ἑορτὰς καὶ πόλεμον, καὶ στρώματα ἐν γυναικωνίτιδι, στρώματα ἐν ἀνδρωνίτιδι, ὑποδήματα γυναικεῖα, ὑποδήματα ἀνδρεῖα.

ζ'. Ὅπλων ἄλλη φυλὴ, ἄλλη ταλασιουργικῶν ὀργάνων, ἄλλη σιτοποιικῶν, ἄλλη ὀψοποιικῶν, ἄλλη τῶν ἀμφὶ λουτρὸν, ἄλλη ἀμφὶ μάκτρας, ἄλλη ἀμφὶ τραπέζας. καὶ ταῦτα πάντα διεχωρίσαμεν οἷς τε ἀεὶ δεῖ χρῆσθαι, καὶ τὰ θοιναστικά.

η'. Χωρὶς δὲ καὶ τὰ κατὰ μῆνα δαπανώμενα ἀφείλομεν,

sensu nostro liberis operam darent. Nam qui probi sunt, postea quam liberos procrearunt, plerumque sunt benevolentiores: perversi vero inter se copulati, ad malefaciendum fiunt instructiores.

6. Posteaquam hæc percurrissemus, inquit, ita deinde supellectilem per classes distinximus. Ordiebamur autem primum à colligendis iis quibus ad rem sacram utimur. Secundum id mundum muliebrem, qui feriis conveniret, distinguebamus: itemque vestes viriles tam festorum quam belli: stragula in gynæceo, stragula virorum in contubernio: calceamenta muliebria, calceamenta virilia.

7. Classis alia armorum, alia instrumentorum lanificii, alia necessariorum ad molendum frumentum, alia ad conficienda obsonia, alia ad lavationem, alia vasis pistoriis, alia ad mensas. Atque hæc omnia locis distinximus, tum quibus semper utendum est, tum quæ ad epulationes festas pertinent.

8. Seorsum etiam ab aliis auferebamus, quæ menstruo spatio absumerentur;

λοῦμεν, δίχα δὲ καὶ τὰ εἰς ἐνιαυτὸν ἀπολελογισμένα κατέθεμεν. οὕτω γὰρ ἧττον λανθάνει ὅπως πρὸς τὸ τέλος ἐκβήσεται. ἐπεὶ δὲ ἐχωρίσαμεν πάντα κατὰ φυλὰς τὰ ἔπιπλα, εἰς τὰς χώρας τὰς προσηκούσας ἕκαστα διηνέγκαμεν.

θ'. Μετὰ δὲ τοῦτο ὅσοις μὲν τῶν σκευῶν καθημέραν χρῶνται αἱ οἰκέται, οἷον σιτοποιικοῖς, ὀψοποιικοῖς, ταλασιουργικοῖς, καὶ εἴ τι ἄλλο τοιοῦτο, ταῦτα μὲν αὐτοῖς τοῖς χρωμένοις δείξαντες ὅπου δεῖ τιθέναι, παρεδώκαμεν, καὶ ἐπετάξαμεν σῶα παρέχειν.

ι'. Ὅσοις δ' εἰς ἑορτὰς ἢ ξενοδοχίας χρώμεθα, ἢ εἰς τὰς διὰ χρόνου πράξεις, ταῦτα δὲ τῇ ταμίᾳ παρεδώκαμεν, καὶ δείξαντες τὰς χώρας αὐτῶν, καὶ ἀπαριθμήσαντες καὶ γραψάμενοι ἕκαστα, εἴπομεν αὐτῇ διδόναι τούτων ὅτῳ δέοι ἕκαστον, καὶ μεμνῆσθαι ὅτῳ ἄν τι διδῷ, καὶ ἀπολαμβάνουσαν καταθεῖναι πάλιν ὅθεν περ ἂν ἕκαστα λαμβάνῃ.

ια'. Τὴν

merentur; & feorfum, quæ rationibus fubductis in annum effent deftinata, collocabamus. Sic enim minus obfcurum eft, qui futurus fit exitus. Pofteaquam fupellectilem univerfam in claffes fecrevimus, ad convenientia loca fingula detulimus.

9. Deinde vafa omnia, quibufcunque quotidie famuli utuntur, verbi gratia, quibus cibi conficiuntur, quibus obfonia, quæ ad lanificium pertinent, & fi qua funt ejufmodi, tradidimus iis qui uti his deberent, commonftrato loco, ubi ea reponerent: fimul imperavimus, ut ea nobis integra præftarent.

10. Quibus autem ad feftos dies, vel ad hofpites excipiendos, vel ad negotia quædam rara utimur, ea tradidimus promæ; locifque horum indicatis, & adnumeratis confignatifque fingulis juffimus, ut quidvis horum ei daret, cui dandum effet, & cuinam quid daret, memoria complecteretur; & ubi quid reciperet, rurfus unde fingula fumfiffet, reponeret.

11. At

ια'. Τὴν δὲ ταμίαν ἐποιησάμεθα ἐπισκεψάμενοι ἥτις ἡμῖν ἐδόκει εἶναι ἐγκρατεστάτη καὶ γαστρὸς, καὶ οἴνου, καὶ ὕπνου, καὶ ἀνδρῶν συνουσίας. πρὸς τούτοις δὲ, ἣ τὸ μνημονικὸν μάλιστα ἐδόκει ἔχειν, καὶ τὸ προνοεῖν, μή τι κακὸν λάβῃ παρ' ἡμῶν ἀμελοῦσα, καὶ σκοπεῖν, ὅπως χαριζομένη τι ἡμῖν, ὑφ' ἡμῶν ἀντιτιμήσεται.

ιβ'. Ἐδιδάσκομεν δὲ αὐτὴν καὶ εὐνοϊκῶς ἔχειν πρὸς ἡμᾶς, ὅτ' εὐφραινοίμεθα, τῶν εὐφροσυνῶν μεταδιδόντες, καὶ εἴ τι λυπηρὸν εἴη, εἰς ταῦτα παρακαλοῦντες. καὶ τὸ προθυμεῖσθαι δὲ συναύξειν τὸν οἶκον ἐπαιδεύομεν αὐτὴν, ἐπιγιγνώσκειν αὐτὴν ποιοῦντες, καὶ τῆς εὐπραγίας αὐτῇ μεταδιδόντες.

ιγ'. Καὶ δικαιοσύνην δ' αὐτῇ ἐνεποιοῦμεν, τιμιωτέρους τιθέντες τοὺς δικαίους τῶν ἀδίκων, καὶ ἐπιδεικνύοντες πλουσιώτερον καὶ ἐλευθεριώτερον βιοτεύοντας τῶν ἀδίκων. καὶ αὐτὴν δὲ ἐν αὐτῇ τῇ χώρᾳ κατετάττομεν.

ιδ'. Ἐπὶ

11. At munus promæ mandavimus alicui, postquam consideraſſemus, quæ nobis videretur, & gulæ maxime temperans, & in vino, & ſomno, & virorum conſuetudine. Præterea quam memoria plurimum valere judicaremus, & proſpiciendo, ne ob negligentiam à nobis puniretur, & conſiderando, qua ratione gratum aliquid nobis faceret, ac viciſſim ipſa honore à nobis adficeretur.

12. Eandem ut benevolo eſſet erga nos animo, conſuefaciebamus, communicando cum ea lætitiam noſtram, quoties læti eſſemus: ac ſi quid accidiſſet triſte, ad hoc illam quoque advocando. Inſtituebamus itidem, ut cupida eſſet ad augendam rem noſtram familiarem, dum quæ illa eſſet, non celaremus, noſtræque fortunæ proſperæ participem faceremus.

13. Etiam juſtitiæ ſtudium excitabamus in ea, dum majori juſtos honore quam injuſtos proſequeremur; eoſque vitam agere tum opulentiorem, tum magis liberalem, quam injuſtos, declararemus. Atq; huic tali locũ hunc adtribuebamus.

14. Cete-

ιδ'. Ἐπὶ δὲ τούτοις πᾶσιν εἶπον, ἔφη, ὦ Σώκρατες, ἐγὼ τῇ γυναικί, ὅτι πάντων τούτων οὐδὲν ὄφελος, εἰ μὴ αὐτὴ ἐπιμελήσεται, ὅπως διαμένῃ ἑκάστῳ ἡ τάξις. ἐδίδασκον δὲ αὐτήν, ὅτι καὶ ἐν ταῖς εὐνομουμέναις πόλεσιν οὐκ ἀρκεῖν δοκεῖ τοῖς πολίταις, ἢν νόμους καλοὺς γράψωνται, ἀλλὰ καὶ νομοφύλακας προσαιροῦνται, οἵτινες ἐπισκοποῦντες τὸν μὲν ποιοῦντα τὰ νόμιμα ἐπαινοῦσιν, ἢν δέ τις παρὰ τοὺς νόμους ποιῇ, ζημιοῦσι.

ιε'. Νομίσαι οὖν ἐκέλευον (ἔφη) τὴν γυναῖκα καὶ αὐτὴν νομοφύλακα τῶν ἐν τῇ οἰκίᾳ εἶναι, καὶ ἐξετάζειν δὲ (ὅταν δόξῃ αὐτῇ) τὰ σκεύη, ὥσπερ ὁ φρούραρχος τὰς φυλακὰς ἐξετάζει, καὶ δοκιμάζειν εἰ καλῶς ἕκαστον ἔχει, ὥσπερ ἡ βουλὴ ἵππους καὶ ἱππέας δοκιμάζει, καὶ ἐπαινεῖν δὲ καὶ τιμᾶν, ὥσπερ βασίλισσαν, τὸν ἄξιον ἀπὸ τῆς παρούσης δυνάμεως, καὶ λοιδορεῖν καὶ κολάζειν τὸν τούτων δεόμενον.

ις'. Πρὸς δὲ τούτοις ἐδίδασκον αὐτήν, ἔφη, ὡς οὐκ ἂν

ἄχθοιτο

14. Ceterum præter hæc omnia, mi Socrates, ait, uxori meæ dixi, nullum esse horum omnium usum, nisi studiose daret operam ipsa, ut hic ordo in singulis maneret. Quinetiam docebam illam, in urbibus præclare constitutis non videri civibus satis esse, si leges egregiæ scribantur: sed deligi quoque custodes earum, qui omnes inspiciendo, legibus obtemperantes laudent, & adversus eas delinquentes puniant.

15. Quamobrem, inquit, hortabar ut existimaret, uxorem domo præfectam esse quasi legum custodem: ac ubi visum ipsi sit, lustrare vasa debere, quemadmodum præsidii magister vigilum copias lustrat: eidem explorandum esse, num recte habeant omnia, quemadmodum senatus equos & equites explorat: etiam laudari ac ornari ab ipsa debere dignos tanquam à regina, pro ea quidem copia, quæ adsit, & probris incessi ac puniri eos quos par esset.

16. Præterea docebam, inquit, eam non esse cur merito

molestè

ἄχθοιτο δικαίως, εἰ πλείω αὐτῇ πράγματα προστάττω, ἢ τοῖς οἰκέταις περὶ τὰ κτήματα· ἐπιδεικνύων, ὅτι τοῖς μὲν οἰκέταις μέτεστι τῶν δεσποσύνων χρημάτων τοσοῦτον, ὅσον φέρειν, ἢ θεραπεύειν, ἢ φυλάττειν, χρῆσθαι δὲ οὐδενὶ αὐτῶν ἔξεστιν, ὅτῳ ἂν μὴ δῷ ὁ κύριος.

ιζ'. Δεσπότου δὲ ἅπαντά ἐστιν, ὡς ἂν βούληται ἑκάστῳ χρῆσθαι. ὅτῳ οὖν καὶ σωζομένων μεγίστη ὄνησις, καὶ φθειρομένων μεγίστη βλάβη, τούτῳ καὶ τὴν ἐπιμέλειαν μάλιστα προσήκουσαν ἀπέφαινον.

ιη'. Τί οὖν; ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, ταῦτα ἀκούσασα ἡ γυνὴ πῶς σοι ὑπήκουε; τί δὲ, ἔφη, εἰ μὴ εἶπέ γέ μοι, ὦ Σώκρατες, ὅτι οὐκ ὀρθῶς γινώσκοιμι, εἰ οἰοίμην χαλεπὰ ἐπιτάττειν, διδάσκων ὅτι ἐπιμελεῖσθαι δεῖ τῶν ὄντων. χαλεπώτερον γὰρ ἂν ἔφη φάναι, εἰ αὐτῇ ἐπέταττον ἀμελεῖν τῶν ἑαυτῆς, ἢ εἰ ἐπιμελεῖσθαι δεήσει τῶν οἰκείων ἀγαθῶν.

ιθ'. Πεφυ-

molefte ferret, fi fortunas quod noftras adtineret, plus ei laboris imponerem, quam famulis. Oftendebam enim, fervos herilium facultatum eatenus participes effe, quatenus eas geftent, aut curent, aut cuftodiant: quum nemini conceffus illarum fit ufus, nifi cui tribuat hoc is cujus funt in poteftate.

17. Heri autem omnia funt, ac ejufdem eft, uti fingulis pro libitu fuo. Qui ergo ex confervatis hifce facultatibus commodum maximum perciperet, & maximum ex diffipatis detrimentum; ei curam quoque de his maximam convenire declarabam.

18. Quid autem, Ifchomache? inquam ego, quum audiiffet hæc uxor tua, quo pacto tibi obtemperabat? Quid aliud, inquit, nifi quod refpondit mihi, mi Socrates, non recte me de ipfa judicare, fi dū eam docerem fortunarum noftrarū curam habendam effe, molefta me ipfi mandare putarem. Nam gravius longe futurum, dixiffe illam aiebat, fi præciperem, fuarum ut rerum effet negligens potius, quam ut bona propria ftudiofe curaret.

19. Sic

ιθʹ. Πεφυκέναι γὰρ δοκεῖ, ἔφη, ὥσπερ καὶ τέκνων ῥᾷον τὸ ἐπιμελεῖσθαι τῇ σώφρονι τῶν ἑαυτῆς, ἢ ἀμελεῖν, οὕτω καὶ τῶν κτημάτων, ὅσα ἴδια ὄντα εὐφραίνει; ἥδιον τὸ ἐπιμελεῖσθαι νομίζειν ἔφη εἶναι τῇ σώφρονι τῶν ἑαυτῆς ἢ ἀμελεῖν.

ΚΕΦ. ιʹ.

ΚΑΙ ἐγὼ ἀκούσας, ἔφη ὁ Σωκράτης, ἀποκρίνασθαι τὴν γυναῖκα αὐτῷ ταῦτα, εἶπον· νὴ τὴν Ἥραν, ἔφην, ὦ Ἰσχόμαχε, ἀνδρικήν γε ἐπιδεικνύεις τὴν διάνοιαν τῆς γυναικός. καὶ ἄλλα τοίνυν, ἔφη ὁ Ἰσχόμαχος, θέλω σοὶ πάνυ μεγαλόφρονα αὐτῆς διηγήσασθαι, ἅ μου ἅπαξ ἀκούσασα ταχὺ ἐπείθετο. τὰ ποῖα; ἔφην ἐγώ, λέγε· ὡς ἐμοὶ πολὺ ἥδιον ζώσης ἀρετὴν γυναικὸς καταμανθάνειν, ἢ εἰ Ζεῦξις μοι καλὴν εἰκάσας γραφῇ γυναῖκα ἐπεδείκνυεν;

βʹ. Ἐντεῦθεν δὴ λέγει ὁ Ἰσχόμαχος· ἐγὼ τοίνυν (ἔφη) ἰδών ποτε

19. Sic enim à natura comparatum esse videtur, inquit, ut quemadmodum pudicæ modestæque mulieri suorum liberûm curam habere facilius est, quam eos negligere: ita etiam feminæ modestæ curam suscipere fortunarum suarum, quæ quia propriæ sunt, exhilarant nos, jucundius esse arbitrer, quam easdem negligere.

CAP. X.

QUæ quum uxorem ei respondisse, ait Socrates, audivissem: Ita me Juno amet, inquam, mi Ischomache, virilem uxoris tuæ animum esse demonstras. Etiam alia, subjecit Ischomachus, commemorare tibi de ea volo, magno ab animo profecta; quam mihi celeriter, auditis quibusdam ex me, paruerit. Quænam? inquam ego, dic quæso. Nam mihi longe jucundius est vivæ mulieris virtutem cognoscere, quam si mihi Zeuxis formosam feminam pictura expressam ostendat.

2. Secundum illa Ischomachus: Quum igitur, inquit, aliquando eam

ποτε αὐτὴν, ὦ Σώκρατες, ἐντετριμμένην πολλῷ μὲν ψιμμυθίῳ, ὅπως λευκοτέρα ἔτι δοκοίη εἶναι ἢ ἦν, πολλῇ δὲ ἐγχούσῃ, ὅπως ἐρυθροτέρα φαίνοιτο τῆς ἀληθείας, ὑποδήματα δ' ἔχουσαν ὑψηλά, ὅπως μείζων δοκοίη εἶναι ἢ ἐπεφύκει.

γʹ. Εἰπέ μοι, ἔφην, ὦ γύναι, ποτέρως ἄν με κρίναις ἀξιοφίλητον μᾶλλον εἶναι χρημάτων κοινωνὸν, εἴ σοι αὐτὰ τὰ ὄντα ἀποδεικνύοιμι, καὶ μήτε κομπάζοιμι, ὡς πλείω τῶν ὄντων ἐστί μοι, μήτε ἀποκρυπτοίμην τι τῶν ὄντων μηδὲν, ἢ εἰ ἐπειρώμην σε ἐξαπατᾶν, λέγων τε ὡς πλείω τῶν ὄντων ἐστί μοι, ἐπιδεικνύς τε ἀργύριον κίβδηλον καὶ ὅρμους ὑποξύλους, καὶ πορφυρίδας ἐξιτήλους, φαίην ἀληθινὰς εἶναι;

δʹ. Καὶ ὑπολαβοῦσα εὐθύς· εὐφήμει, ἔφη, μὴ γένοιο σὺ τοιοῦτος. οὐ γὰρ ἂν ἔγωγε δυναίμην, εἰ τοιοῦτος εἴης, ἀσπάσασθαί σε ἐκ τῆς ψυχῆς. Οὐκοῦν (ἔφην ἐγὼ) συνεληλύθαμεν, ὦ γύναι, ὡς καὶ τῶν σωμάτων κοινω-

eam conſpexiſſem, mi Socrates, multum infricaſſe ſibi ceruſſæ, ut candidior etiam videretur, quam eſſet; multum item rubricæ, ut quam eſſet reapſe, rubicundior appareret; atque etiam calceos haberet altos, ut procerior, quam eſſet à natura, videretur:

3. Dic mihi, mea uxor, inquam, utro modo me conſortem facultatum amore digniorem judicares: num ſi eas ipſas tibi demonſtrarem, ac neque gloriarer ampliores mihi eſſe, quam eſſent, neque quidquam celarem: an vero ſi fallere te conarer, narrando plura mihi bona eſſe, quam eſſent; ac adulterinum argentum oſtendendo, & monilia, quibus materia ſubeſſet lignea, veſteſque purpureas coloris evanidi, veras eſſe prædicarem?

4. Tum illa continuo ſermonem meum excipiens: Bona verba quæſo, inquit, ne tu mihi talis ſis. Non enim te, ſi talis eſſes, ex animo complecti poſſem. Ergone, inquam ego, mea uxor, ſic convenimus, ut inter nos etiam corporum eſſet

κοινωνήσοντες ἀλλήλοις; φασὶ γοῦν, ἔφη, οἱ ἄνθρωποι.

ε'. Ποτέρως ἂν οὖν (ἔφην ἐγὼ) τοῦ σώματος αὖ δοκοίην εἶναι ἀξιοφίλητος μᾶλλον κοινωνὸς, εἴ σοι τὸ σῶμα πειρώμην παρέχειν τὸ ἐμαυτοῦ ἐπιμελόμενος ὅπως ὑγιαῖνόν τε καὶ ἐῤῥωμένον ἔσται, καὶ διὰ ταῦτα τῷ ὄντι εὔχρως σοι ἔσομαι, ἢ εἴ σοι μίλτῳ ἀλειφόμενος, καὶ τοὺς ὀφθαλμοὺς ὑπαλειφόμενος ἀνδρεικέλῳ, ἐπιδεικνύοιμί τε ἐμαυτὸν, καὶ συνείην ἐξαπατῶν σε, καὶ παρέχων ὁρᾶν καὶ ἅπτεσθαι μίλτου ἀντὶ τοῦ ἐμαυτοῦ χρωτός;

ς'. Ἐγὼ μὲν (ἔφη ἐκείνη) οὔτ' ἂν μίλτου ἁπτοίμην ἥδιον ἢ σοῦ, οὔτ' ἂν ἀνδρεικέλου χρῶμα ὁρῴην ἥδιον ἢ τὸ σὸν, οὔτ' ἂν τοὺς ὀφθαλμοὺς ὑπαληλιμμένους ἥδιον ὁρῴην τοὺς σοὺς, ἢ ὑγιαίνοντας.

ζ'. Καὶ ἐμὲ τοίνυν νόμιζε, εἰπεῖν ἔφη ὁ Ἰσχόμαχος, ὦ γύναι, μήτε ψιμμυθίου μήτε ἐγχύσης χρώματι ἥδεσθαι μᾶλλον ἢ τῷ σῷ. ἀλλ' ὥσπερ οἱ Θεοὶ ἐποίησαν ἵπποις μὲν ἵππους, βουσὶ δὲ βοῦς ἥδιστον, προβάτοις δὲ πρόβατα,

οὕτω

esset communicatio? Sic homines aiunt, inquit.

5. Utro igitur modo, inquam ego, etiam corporis particeps viderer amore dignior, num si corpus meum conarer tibi studiose curando sanum ac validum exhibere, ac reipsa bono tibi colore præditus essem: an vero si oblitus minio, & oculis purpurisso sublitis tibi me ostentarem, atque ita tecum versarer, ut te deciperem, cutisque loco minium tibi spectandum & adtrectandum præberem?

6. Equidem, respondit illa, neque minium lubentius adtrectarem, quam te; neque purpurissi colorem lubentius, quam tuum adspicerem; neque tuos oculos sublitos intuerer lubentius, quam sanos.

7. Itaque me etiam putato, dixisse se narrabat Ischomachus, mea uxor, neque cerussæ, neque rubricæ colore magis quam tuo delectari: sed quemadmodum Dii fecerunt, ut equis equi, bobus boves, oves ovibus gratissimæ sint; ita etiam

homi-

οὕτω καὶ οἱ ἄνθρωποι ἀνθρώπου σῶμα καθαρὸν οἴονται ἥδιστον εἶναι.

η'. Αἱ δ' ἀπάται αὗται τοὺς μὲν ἔξω πως δύναιντ' ἂν ἀνεξελέγκτως ἐξαπατᾶν, συνόντας δὲ ἀεὶ ἀνάγκη ἁλίσκεσθαι, ἂν ἐπιχειρῶσιν ἐξαπατᾶν ἀλλήλους. ἢ γὰρ ἐξ εὐνῆς ἁλίσκονται ἐξανιστάμενοι πρὶν παρασκευάσασθαι, ἢ ὑπὸ ἱδρῶτος ἐλέγχονται, ἢ ὑπὸ δακρύων βασανίζονται, ἢ ὑπὸ λουτροῦ ἀληθινῶς κατωπτεύθησαν.

θ'. Τί οὖν πρὸς Θεῶν, ἔφην ἐγώ, πρὸς ταῦτα ἀπεκρίνατο; τί δέ, ἔφη, εἰ μὴ τοῦ λοιποῦ τοιοῦτον μὲν οὐδὲν πώποτε ἔτι ἐπραγματεύσατο, καθαρὰν δὲ καὶ πρεπόντως ἔχουσαν ἐπειρᾶτο ἑαυτὴν ἐπιδεικνύναι; καὶ ἐμὲ μέντοι ἠρώτα, εἴ τι ἔχοιμι συμβουλεῦσαι, ὡς ἂν τῷ ὄντι καλὴ φαίνοιτο, ἀλλὰ μὴ μόνον δοκοίη.

ι'. Καὶ ἐγὼ μέντοι, ὦ Σώκρατες, ἔφη, συνεβούλευον αὐτῇ μὴ δουλικῶς ἀεὶ καθῆσθαι, ἀλλὰ σὺν τοῖς Θεοῖς πειρᾶσθαι δεσποτικῶς πρὸς μὲν τὸν ἱστὸν προστᾶσαν, ὅ,τι

homines purum hominis corpus esse jucundissimum putant.

8. Atque hæ fraudes possint illæ quidem aliquo modo extraneos sic fallere, ut non convincantur: verum eos, qui semper una versantur, si decipere se mutuo conentur, deprehendi necesse est. Nam vel quum de lecto surgunt, deprehenduntur ante quam ornentur, vel coarguuntur à sudore, vel per lacrymas explorantur, vel per lavationem prorsus oculis produntur.

9. Quæso te per Deos immortales, inquam ego, quid ad hæc respondit? Quid aliud dicam? ait, nisi quod ex eo tempore nihil ejusmodi unquam hactenus instituerit, sed puram ac decenter ornatam conata mihi sit semet exhibere? Quærebat etiam ex me, num quid ei dare consilii possem, ut esset reabse pulchra specie, neque tantum esse videretur.

10. Itaque, mi Socrates, inquit, hoc ei consilii dedi, ne perpetuo serviliter sederet, sed cum ope Deûm eniteretur herilem in modum ante telam adstando, quidquid

ὅ,τι μὲν βέλτιον ἄλλου ἐπίσταιτο, ἐπιδιδάξαι, ὅ,τι δὲ χεῖρον, ἐπιμαθεῖν· ἐπισκέψασθαι δὲ καὶ σιτοποιόν, παραστῆναι δὲ καὶ ἀπομετρούσῃ τῇ ταμίᾳ, περιελθεῖν δ' ἐπισκοπουμένην καὶ εἰ κατὰ χώραν ἔχει ᾗ δεῖ ἕκαστα. ταῦτα γὰρ ἐδόκει μοι ἅμα ἐπιμέλεια εἶναι, καὶ περίπατος.

ια'. Ἀγαθὸν δὲ ἔφην εἶναι γυμνάσιον καὶ τὸ δεῦσαι, καὶ μάξαι, καὶ ἱμάτια καὶ στρώματα ἀνασεῖσαι καὶ συνθεῖναι. γυμναζομένην δὲ ἔφην οὕτως ἂν καὶ ἐσθίειν ἥδιον, καὶ ὑγιαίνειν μᾶλλον, καὶ εὐχροωτέραν φαίνεσθαι τῇ ἀληθείᾳ.

ιβ'. Καὶ ὄψις δὲ ὁπόταν ἀνταγωνίζηται διακόνῳ, καθαρωτέρα οὖσα, πρεπόντως τε μᾶλλον ἀμφιεσμένη, κινητικὸν γίνεται, ἄλλως τε καὶ ὁπόταν τὸ ἑκοῦσαν χαρίζεσθαι προσῇ, ἀντὶ τοῦ ἀναγκαζομένην ὑπηρετεῖν.

ιγ'. Αἱ δ' ἀεὶ καθήμεναι σεμνῶς, πρὸς τὰς κεκοσμημένας καὶ ἐξαπατώσας κρίνεσθαι παρέχουσιν ἑαυτάς. καὶ νῦν, ἔφη,

quid aliis rectius sciret, docere: quod autem minus, addiscere: præterea pistorem inspicere: promæ aliquid emetienti adsistere: circumeuntem spectare, num suo quæque loco sita sint. Hæc enim mihi videbatur simul & diligentia quædam esse, & obambulatio.

11. Aiebam quoque bonum esse exercitium, macerare ac subigere farinam, vestes & stragula excutere atque componere. Atque hoc modo exercitam jucundius sumturam cibos dicebam, & valetudine commodiori usuram, & revera cum colore venusto apparituram.

12. Etiam facies ipsa si purior sit, ac decentius amicta, in contentione cum ancilla, nonnihil incitationis habet; præsertim si malit ea sponte gratificari, quam coacta obsequi.

13. Quæ vero mulieres perpetuo quadam cum gravitate desident, eæ faciunt, ut non aliter de ipsis judicetur, atque de illis ornatis, ac fraude utentibus. Ac meam quidem uxorem, mi

ἔφη, ὦ Σώκρατες, οὕτως (εὖ ἴσθι) ἡ γυνή μου κατεσκευασμένη βιοτεύει, ὥσπερ ἐγὼ ἐδίδασκον αὐτὴν, καὶ ὥσπερ νῦν σοι λέγω.

ΚΕΦ. ια'.

Ἐνθεῦθεν δὲ ἐγὼ εἶπον· (β) ὦ Ἰσχόμαχε, τὰ μὲν δὴ περὶ τῶν τῆς γυναικὸς ἔργων ἱκανῶς μοι δοκῶ ἀκηκοέναι τὴν πρώτην, καὶ ἄξιά γε πάνυ ἐπαίνου ἀμφοτέρων ὑμῶν. τὰ δὲ αὖ σὰ ἔργα (ἔφην ἐγὼ) ἤδη μοι λέγε, ἵνα σύ τε ἐφ' οἷς εὐδοκιμεῖς διηγησάμενος ἡσθῇς, κἀγὼ τὰ τοῦ καλοῦ κἀγαθοῦ ἀνδρὸς ἔργα τελέως διακούσας καὶ καταμαθὼν, ἢν δύνωμαι, πολλήν σοι χάριν εἰδῶ.

β'. Ἀλλὰ νὴ Δί', ἔφη ὁ Ἰσχόμαχος, καὶ πάνυ ἡδέως σοι, ὦ Σώκρατες, διηγήσομαι, ἃ ἐγὼ ποιῶν διατελῶ, ἵνα καὶ μεταρρυθμίσῃς με, ἐάν τι σοὶ δοκῶ μὴ καλῶς ποιεῖν.

γ'. Ἀλλ' ἐγὼ μὲν δὴ (ἔφην) πῶς ἂν δικαίως μεταρρυθμίσαιμι

mi Socrates, ait, ſcire debes ita nunc inſtructam vivere, quemadmodum ipſam ego docui, ac modo tibi commemoro.

CAP. XI.

Tum ego: De uxoris quidem tuæ operibus, inquam, mi Iſchomache, primo loco ſatis audiſſe mihi videor, ac utriuſque veſtrûm valde laudabilia. Nunc tui muneris actiones mihi exponito, inquam, ut & tu commemorando ea de quibus magnam es gloriam conſequutus, voluptatem aliquam capias: & ego boni & honeſti viri actionibus auditione cognitis & animadverſis, ſi quidem id potero, magnam tibi gratiam habeam.

2. Ego vero, mi Socrates, inquit, perlubenter profecto ſum tibi commemoraturus, quæ nunquam non ago, ut me corrigendo concinniorem efficias, ſi quid tibi non recte agere videbor.

3. At enim qui par ſit, inquam, me illum corrigendo concinniorem

σαιμι ἄνδρα ἀπειργασμένον καλόν τε κἀγαθόν, καὶ ταῦτα ὢν ἀνήρ, ὃς ἀδολεσχεῖν τε δοκῶ, καὶ ἀερομετρεῖν, καὶ (ὃ πάντων δὴ ἀνοητότατον δοκοῦν εἶναι ἔγκλημα) πένης καλοῦμαι.

δ'. Καὶ πάνυ μὲν τ' ἄν, ὦ Ἰσχόμαχε, ἦν ἐν πολλῇ ἀθυμίᾳ τῷ ἐπικλήματι τούτῳ, εἰ μὴ πρώην ἀπαντήσας τῷ Νικίου τοῦ ἐπηλύτου ἵππῳ, εἶδον πολλοὺς ἀκολουθοῦντας αὐτῷ θεατάς, πολὺν δὲ λόγον ἐχόντων τινῶν περὶ αὐτοῦ ἤκουον· καὶ δῆτα ἠρόμην προσελθὼν τὸν ἱπποκόμον, εἰ πολλὰ εἴη χρήματα τῷ ἵππῳ.

ε'. Ὁ δέ, προσβλέψας με ὡς οὐδὲν ὑγιαίνοντα τῷ ἐρωτήματι, εἶπε· πῶς δ' ἂν ἵππῳ χρήματα γένοιτο; οὕτω δὴ ἐγὼ ἀνέκυψα, ἀκούσας ὅτι ἔστιν ἄρα θεμιτὸν καὶ πένητι ἵππῳ ἀγαθῷ γενέσθαι, εἰ τὴν ψυχὴν φύσει ἀγαθὴν ἔχοι.

ς'. Ὡς οὖν θεμιτὸν καὶ ἐμοὶ ἀγαθῷ ἀνδρὶ γενέσθαι, διηγοῦ τελέως τὰ σὰ ἔργα, ἵνα ὅ,τι ἂν δύνωμαι ἀκούων καταμαθεῖν,

μαθεῖν,

rem reddere, qui jam vir bonus & honestus absolute sit elaboratus, præsertim quum ego sim is qui hominum opinione nugatorie garriat, & aera metiatur; &, quod omnium ineptissimum videtur esse crimen, pauper adpelletur.

4. Atque equidem, mi Ischomache, adpellationem hanc molestissime ferrem, nisi nuper equo Niciæ illius advenæ factus obviam, multos ipsum spectatores sequi vidissem. Quumque quid complures de ipso dixissent, audivissem: accedens equi curatorem, num magnas is equus facultates haberet, quærebam.

5. Ille me intuitus, ut qui tale quid rogans satis sanus non essem: Quî facultates, ait, equus habere possit? Ita tum ego his auditis oculos adtollere sum ausus, propterea quod fas sit etiam pauperem equum bonum esse, si quidem animum à natura bonum haberet.

6. Quamobrem mihi, cui & fas sit esse viro bono, penitus exponito actiones tuas: ut si quid audiendo animadvertere possim,

&

μαθεῖν, πειρῶμαι καὶ ἐγώ σε ἀπὸ τῆς αὔριον ἡμέρας ἀρξάμενος μιμεῖσθαι. καὶ γὰρ ἀγαθή ἐστιν (ἔφην ἐγὼ) ἡμέρα ὡς ἀρετῆς ἄρχεσθαι.

ζ'. Σὺ μὲν παίζεις, ἔφη ὁ Ἰσχόμαχος, ὦ Σώκρατες. ἐγὼ δὲ ὅμως σοι διηγήσομαι, ἃ ἐγώ, ὅσον δύναμαι, πειρῶμαι ἐπιτηδεύων διαπεράν τὸν βίον.

η'. Ἐπεὶ γὰρ καταμεμαθηκέναι δοκῶ, ὅτι οἱ Θεοὶ τοῖς ἀνθρώποις ἄνευ μὲν τοῦ γιγνώσκειν τε ἃ δεῖ ποιεῖν, καὶ ἐπιμελεῖσθαι ὅπως ταῦτα περαίνηται, οὐ θεμιτὸν ἐποίησαν εὖ πράττειν, φρονίμοις δ' οὖσι καὶ ἐπιμελέσι τοῖς μὲν διδόασιν εὐδαιμονεῖν, τοῖς δ' οὔ· οὕτω δὴ ἐγὼ ἄρχομαι μὲν τοὺς Θεοὺς θεραπεύειν, πειρῶμαι δὲ ποιεῖν ὡς ἂν θέμις ᾖ μοι εὐχομένῳ καὶ ὑγιείας τυγχάνειν, καὶ ῥώμης σώματος, καὶ τιμῆς ἐν πόλει, καὶ εὐνοίας ἐν φίλοις, καὶ ἐν πολέμῳ καλῆς σωτηρίας, καὶ πλούτου καλῶς αὐξομένου.

θ'. Καὶ ἐγὼ ἀκούσας ταῦτα· μέλει γὰρ δή σοι, ὦ Ἰσχόμαχε, ὅπως πλουτῇς, καὶ πολλὰ χρήματα ἔχων, πολλὰ ἔχῃς πράγματα

& ipse à die craſtino incipiens imitari te coner. Etenim is dies percommodus eſt, inquam, ad ordiendam virtutem.

7. Ludis tu quidem, mi Socrates, ait Iſchomachus. Verum ego nihilo minus tibi narrare conabor, quibus inſtitutis ac ſtudiis enitar ego vitam hanc tranſire.

8. Nam quia videor animadvertiſſe, Deos hominibus abſque rerum earum cognitione, quæ ſuſcipiendæ ſunt, & perficiendi eas ſtudio, non fas eſſe voluiſſe, ut proſperitate fruerentur, ac prudentibus & ſtudioſis partim conceſſiſſe felicitatem, partim non: idcirco equidem ordior à cultu divino, atque efficere conor, ut mihi precanti fas ſit & valetudinem bonam contingere, & corporis robur, & honorem in republica, & benevolentiam ab amicis, & honeſtam incolumitatem in bello, & incrementum divitiarum honeſtum.

9. Quibus ego auditis: Tibine hoc curæ eſt, inquam, Iſchomache, ut opulentus fias, ac magnas facultates nactus, in earum curatione

πράγματα τούτων ἐπιμελόμενος; καὶ πάνυ γε, ἔφη ὁ Ἰσχόμαχος, μέλει μοι τούτων, ὧν ἐρωτᾷς. ἡδὺ γάρ μοι δοκεῖ, ὦ Σώκρατες, καὶ θεοὺς μεγαλείως τιμᾶν, καὶ φίλους (ἤν τινος δέωνται) ἐπωφελεῖν, καὶ τὴν πόλιν μηδὲν κατ' ἐμὲ χρήμασιν ἀκόσμητον εἶναι.

ι'. Καὶ γὰρ καλά, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, ἐστὶν ἃ σὺ λέγεις, καὶ δυνατοῦ γε ἰσχυρῶς ἀνδρός. πῶς γὰρ οὔ; ὅτε πολλοὶ μὲν εἰσιν ἄνθρωποι, οἳ οὐ δύνανται ζῆν ἄνευ τῶν ἄλλων δεῖσθαι, πολλοὶ δ' ἀγαπῶσιν, ἢν δύνωνται τὰ ἑαυτοῖς ἀρκοῦντα πορίζεσθαι; οἱ δὲ δυνάμενοι μὴ μόνον τὸν ἑαυτῶν οἶκον διοικεῖν, ἀλλὰ καὶ περιποιεῖν, ὥστε καὶ τὴν πόλιν κοσμεῖν, καὶ τοὺς φίλους ἐπικουφίζειν, πῶς τούτους οὐχὶ βαθεῖς τε καὶ ἐρρωμένους ἄνδρας χρὴ νομίσαι;

ια'. Ἀλλὰ γὰρ ἐπαινεῖν μὲν (ἔφην ἐγώ) τοὺς τοιούτους πολλοὶ δυνάμεθα. σὺ δέ μοι λέξον, ὦ Ἰσχόμαχε, ἀφ' ὧνπερ ἤρξω, πῶς ὑγιείας ἐπιμελῇ; πῶς τῆς τοῦ σώματος ῥώμης; πῶς θέμις ἐστί σοι καὶ ἐκ πολέμου καλῶς σώζεσθαι;

curatione multum negotii habeas? Omnino, ait Iſchomachus, ea mihi curæ ſunt, de quibus rogas. Nam mihi jucundum eſſe videtur, mi Socrates, Deos magnifice colere, & amicis indigentibus prodeſſe, & urbem hanc, me quod adtinet, opum ornamento non carere.

10. Sunt illa ſane præclara, inquam, Iſchomache, quæ commemoras, hominiſque valde potentis. Quid ni enim? quum multi ſint, qui ſine aliorum ope ne vivere quidem poſſint; multi boni conſulant, ſi parare poſſint, quantum ipſis ſufficiat. At vero qui non modo domum ſuam adminiſtrare poſſunt, ſed etiam nonnihil facere lucri; de quo & reipublicæ ornamentum accedat, & amici ſubleventur; cur illi non & copioſi, & potentes exiſtimari debeant?

11. Enimvero, inquam, plerique prædicare viros hujuſmodi poſſumus: verum tu mihi dicito, Iſchomache, unde cepiſti, quo pacto valetudinem curas: quo pacto corporis robur? quo pacto licet tibi honeſte etiam bello incolumi evadere?

σώζεσθαι; τὸ δὲ χρηματίσεως πέρι καὶ μετὰ ταῦτα, ἔφην ἐγὼ, ἀρκέσει ἀκούειν.

ιβ'. Ἀλλ' ἔστι μὲν, ἔφη ὁ Ἰσχόμαχος, ὥς γε ἐμοὶ δοκεῖ, ὦ Σώκρατες, ἀκόλουθα ταῦτα πάντα ἀλλήλων. ἐπεὶ γὰρ ἐσθίειν τις τὰ ἱκανὰ ἔχοι, ἐκπονοῦντι μὲν ὀρθῶς μᾶλλον δοκεῖ μοι ἡ ὑγίεια παραμένειν, ἐκπονοῦντι δὲ μᾶλλον ἡ ῥώμη προσγίγνεσθαι, ἀσκοῦντι δὲ τὰ τοῦ πολέμου κάλλιον σώζεσθαι, ὀρθῶς δὲ ἐπιμελουμένῳ, καὶ μὴ καταμαλακιζομένῳ, μᾶλλον εἰκὸς τὸν οἶκον αὔξεσθαι.

ιγ'. Ἀλλὰ μέχρι μὲν τούτου ἕπομαι, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, ὅτι ἐκπονοῦντα φῂς, καὶ ἐπιμελούμενον, καὶ ἀσκοῦντα ἄνθρωπον μᾶλλον τυγχάνειν τῶν ἀγαθῶν. ὁποίῳ δὲ πόνῳ χρῇ πρὸς τὴν εὐεξίαν καὶ ῥώμην, καὶ ὅπως ἀσκεῖς τὰ τοῦ πολέμου, καὶ ὅπως ἐπιμελῇ τοῦ περιουσίαν ποιεῖν, ὡς καὶ φίλους ἐπωφελεῖν, καὶ πόλιν ἐπισχύειν, ταῦτα ἂν ἡδέως (ἔφην ἐγὼ) πυθοίμην.

ιδ'. Ἐγὼ

evadere? Nam de ratione rei faciundæ mihi ſatis erit, inquam, vel deinceps aliquid audire.

12. Hæc omnia, ſubjecit Iſchomachus, ſemetipſa conſequuntur, mi Socrates. Nam qui quo veſcatur ſatis habet, is laborando cibos conficiens, recte mihi valetudinem ſuam poſſe conſervare videtur, & majus robur adquirere; ac ſi res bellicas exerceat, honeſtius incolumis evadere: denique conſentaneum eſt, rem familiarem hujus magis augeſcere, ſi quidem recte ſua curet, ac non remiſſior ignaviorque fiat.

13. Hactenus ego te adſequor, inquam, Iſchomache, quod hominem laborando cibos conficientem, & curam adhibentem, & exercentem ſe, magis bona conſequi dicis. At quo labore utaris, ut & valetudo commoda, & robur corporis tibi contingat, quoque pacto te bellicis in rebus exerceas, quo ſtudio efficias ut copiis abundes, quibus tum amicis prodeſſe tum vires aliquas huic civitati poſſis addere: hæc, inquam, perlubenter velim quærendo percipere.

14. Ego

ιδ'. Εγὼ τοίνυν, ἔφη, ὦ Σώκρατες, ὁ Ἰσχόμαχος, ἀνίσταμαι μὲν ἐξ εὐνῆς εἰθισμαι, ἡνίκα ἔτι ἔνδον καταλαμβάνοιμι, εἴ τινα δεόμενος ἰδεῖν τυγχάνοιμι. κἂν μέν τι κατὰ πόλιν δέῃ πράττειν, ταῦτα πραγματευόμενος περιπάτῳ τούτῳ χρῶμαι.

ιε'. Ην δὲ μηδὲν ἀναγκαῖον ᾖ κατὰ πόλιν, τὸν μὲν ἵππον ὁ παῖς προάγει εἰς ἀγρὸν, ἐγὼ δὲ περιπάτῳ χρῶμαι τῇ εἰς ἀγρὸν ὁδῷ ἴσως ἄμεινον, ὦ Σώκρατες, ἢ εἰ ἐν τῷ (ῥ)ξυστῷ περιπατοίην.

ις'. Επειδὰν δὲ ἔλθω εἰς ἀγρὸν, ἤν τε μοι φυτεύοντες τυγχάνωσιν, ἤν τε νεοποιοῦντες, ἤν τε σπείροντες, ἤν τε καρπὸν προσκομίζοντες, ταῦτα ἐπισκεψάμενος ὅπως ἕκαστα γίγνεται, μεταῤῥυθμίζω, ἐὰν ἔχω τι βέλτιον τοῦ παρόντος.

ιζ. Μετὰ δὲ ταῦτα ὡς τὰ πολλὰ ἀναβὰς ἐπὶ τὸν ἵππον, ἱππασάμην ἱππασίαν ὡς ἂν ἐγὼ δύνωμαι ὁμοιοτάτην ταῖς ἐν τῷ πολέμῳ ἀναγκαίαις ἱππασίαις, οὔτε πλαγίου, οὔτε καταντοῦς, οὔτε τάφρου, οὔτε ὀχετοῦ ἀπεχόμενος. ὡς μέντοι δυνατὸν ταῦτα ποιοῦντα ἐπιμέλομαι μὴ ἀποχωλεῦσαι τὸν ἵππον.

ιη'. Επει-

14. Ego vero, mi Socrates, ait Iſchomachus, ſurgere de lecto conſuevi, quo tempore adhuc domi reperturus ſim aliquem, quem forte me videre neceſſe ſit. Ac ſi quid in urbe ſit agendum, id in hunc modum obambulans efficio.

15. Sin rei neceſſariæ nihil ſit, quod in urbe geratur, equum puer ante me rus deducit, ego vero iter hoc quo rus eo, loco ambulationis fortaſſe rectius utor, mi Socrates, quam ſi in xyſto deambularem.

16. Poſteaquam rus venio, ſive qui mihi ſerunt, ſeu novales inſtruunt, ſive ſeminant, ſeu fructus important, inſpectis omnibus, quo pacto fiant ſingula, corrigendo concinnius facio, ſi quid opere præſenti melius teneo..

17. Secundum ea plerumque conſcenſo equo quam ſimillimas iis quæ in bello neceſſariæ ſunt, equitationes inſtituo, neque tranſverſa, neque acclivia, neque foſſas, neque aquarum ductus vito. Atque interea curam adhibeo, ne facientem hæc equum claudum efficiam.

18. His

ιη΄. Ἐπειδὰν δὲ ταῦτα γένηται, ὁ παῖς ἐξαλίσας τὸν ἵππον οἴκαδε ἀπάγει, ἅμα φέρων ἀπὸ τοῦ χώρου, ἤν τι δεώμεθα, εἰς ἄστυ. ἐγὼ δὲ τὰ μὲν βάδην, τὰ δὲ ἀποδραμὼν οἴκαδε, ἀπεστλεγγισάμην. εἶτα δὲ ἀριστῶ, ὦ Σώκρατες, ὅσα μήτε κενὸς μήτε ἄγαν πλήρης διημερεύειν.

ιθ΄. Νὴ τὴν Ἥραν, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, ἀρεσκόντως γέ μοι ταῦτα ποιεῖς. τὸ γὰρ ἐν τῷ αὐτῷ χρόνῳ συνεσκευασμένως χρῆσθαι τοῖς τε πρὸς τὴν ὑγίειαν καὶ πρὸς τὴν ῥώμην παρασκευάσμασι, καὶ τοῖς εἰς τὸν πόλεμον ἀσκήμασι, καὶ ταῖς τοῦ πλούτου ἐπιμελείαις, ταῦτα πάντα ἀγαστά μοι δοκεῖ εἶναι.

κ΄. Καὶ γὰρ ὅτι ὀρθῶς ἑκάστου τούτων ἐπιμελῇ, ἱκανὰ τεκμήρια παρέχῃ. ὑγιαίνοντά τε γὰρ, καὶ ἐρρωμένον ὡς ἐπιτοπολὺ σὺν τοῖς Θεοῖς σε ὁρῶμεν, καὶ ἐν τοῖς ἱππικωτάτοις τε καὶ πλουσιωτάτοις λεγόμενον σε ἐπιστάμεθα.

κα΄. Ταῦτα τοίνυν ἐγὼ ποιῶν, ἔφη, ὦ Σώκρατες, ὑπὸ πολλῶν

18. His peractis equum puer volutatum domum abducit, simul rure secum ferens in urbem, si quo nobis opus est. Ego vero nunc pedetentim incedens, nunc currens, domum ut veni, strigile utor. Deinde tantum, mi Socrates, in prandio sumo, ut eum diem neque vacuus, neque valde repletus exigam.

19. Ita me Juno amet, inquam, facis hæc ita tu, Ischomache, ut omnino mihi placeant. Nam eodem tempore uti apparatu, qui & valetudini & viribus conducat, itemque exercitationibus uti ad rem militarem pertinentibus, & curatione opum: eorum nihil est, quod non admirandum mihi videatur.

20. Etenim te recte hæc singula suscipere, satis magna de te indicia præbes. Nam & commoda valetudine utentem te plerumque robustumque Deûm beneficio videmus; & inter peritissimos artis equestris, ac opulentissimos recenseri te scimus.

21. Hæc igitur, mi Socrates, ait, quum agam, vehementer multorum

πολλῶν πάνυ συκοφαντοῦμαι. σὺ δ' ἴσως ᾤου με ἐρεῖν, ὡς ὑπὸ πολλῶν καλὸς κἀγαθὸς κέκλημαι.

κβ'. Ἀλλὰ καὶ ἔμελλον δὲ ἐγὼ, ἔφην, ὦ Ἰσχόμαχε, τοῦτο ἐρήσεσθαι, εἴ τινα καὶ τούτου ἐπιμέλειαν ποιῇ, ὅπως δύνῃ λόγον διδόναι καὶ λαμβάνειν, ἤν τινί ποτε δέῃ. οὐ γὰρ δοκῶ σοι, ἔφη, ὦ Σώκρατες, αὐτὰ ταῦτα διατελεῖν μελετῶν, ἀπολογεῖσθαι μὲν, ὅτι οὐδένα ἀδικῶ, εὖ δὲ ποιῶ πολλοὺς ὅσους ἂν δύνωμαι. κατηγορεῖν δὲ οὐ δοκῶ σοι μελετᾷν ἀνθρώπων, ἀδικοῦντας μὲν καὶ ἰδίᾳ πολλοὺς καὶ τὴν πόλιν καταμανθάνων τινὰς, εὖ δὲ ποιοῦντα οὐδένα;

κγ'. Ἀλλ' εἰ καὶ ἑρμηνεύειν τοιαῦτα μελετᾷς, τοῦτό μοι, ἔφην ἐγὼ, ἔτι, ὦ Ἰσχόμαχε, δήλωσον. οὐδὲν μὲν οὖν, ὦ Σώκρατες, παύομαι, ἔφη, λέγειν μελετῶν. ἢ γὰρ κατηγοροῦντός τινος τῶν οἰκετῶν, ἢ ἀπολογουμένου ἀκούσας, ἐλέγχειν πειρῶμαι ὅ, τι ἂν ψεύδηται,

ἢ

multorum calumniis exagitor. Tu vero fortasse dicturum me putabas, quod à multis vir bonus & honestus appeller.

22. At hoc quoque, inquam, Ischomache, quærere volebam, ecquid operæ studiique ponas in eo, ut si quando sit opus, rationem reddere tuarum actionum, & vicissim ab aliis exigere possis. Tu vero, mi Socrates, inquit, non idipsum me perpetuo meditari putas? defendendi quidem mei rationem, dum nemini sum injurius, atque etiam pro viribus meis bene de multis mereor. Accusationes vero quorundam ut instituam, non meditari tibi videor, quum privatim multos injustos esse animadvertam, & nonnullos etiam erga rempublicam, nemine interim bene mereri volente?

23. An autem mediteris hæc etiam oratione exponere, velim mihi significes, Ischomache. Equidem, ait, mi Socrates, in dicendo me exercere non desino. Nam sive accusantem aliquem in familia, seu defendentem se audiero, quidquid mentiatur, redarguere conor:

vel

ἢ μέμφομαί τινα πρὸς τοὺς φίλους, ἢ ἐπαινῶ, ἢ διαλλάττω τινὰς τῶν ἐπιτηδείων, πειρώμενος διδάσκειν, ὡς συμφέρει αὐτοῖς φίλους εἶναι μᾶλλον, ἢ πολεμίους.

κδ'. Ἐπιτιμῶμεν τινι στρατηγῷ συμπαρόντες, ἢ ἀπολογούμεθα ὑπέρ του, εἴ τις ἀδίκως αἰτίαν ἔχει, ἢ κατηγοροῦμεν πρὸς ἀλλήλους, εἴ τις ἀδίκως τιμᾶται. πολλάκις δὲ καὶ βουλευόμενοι, ἃ μὲν ἂν ἐπιθυμῶμεν πράττειν, ταῦτα ἐπαινοῦμεν· ἃ δ' ἂν μὴ βουλώμεθα πράττειν, ταῦτα μεμφόμεθα.

κε'. Ἤδη δ', ἔφη, ὦ Σώκρατες, καὶ διειλημμένως πολλάκις ἐκρίθην ὅ,τι χρὴ παθεῖν ἢ ἀποτῖσαι. ὑπὸ τοῦ; ἔφην ἐγώ, ὦ Ἰσχόμαχε. ἐμὲ γὰρ δὴ τοῦτο ἐλάνθανεν. ὑπὸ τῆς γυναικός, ἔφη. καὶ πῶς δή, ἔφην ἐγώ, ἀγωνίζῃ; ὅταν μὲν ἀληθῆ λέγειν συμφέρῃ, πάνυ ἐπιεικῶς· ὅταν δὲ ψευδῆ, τὸν ἥττω λόγον, ὦ Σώκρατες, οὐ μὰ τὸν Δία οὐ δύναμαι κρείττω ποιεῖν. καὶ ἐγὼ εἶπον· ἴσως γάρ, ὦ Ἰσχόμαχε, τὸ ψεῦδος οὐ δύνασαι ἀληθὲς ποιεῖν.

ΚΕΦ.

vel de aliquo ad amicos queror, vel aliquem laudo, vel necessarios quosdam reconcilio, dum ostendere ipsis enitor, potius eis conducere, ut amici sint, quam hostes.

24. Quum militiæ prætori adsumus, increpamus aliquem, vel caussam alicujus defendimus, si præter meritum culpa in eum confertur; vel inter nos mutuo accusationes instituimus, si cui honos immerito defertur. Sæpenumero etiam consultantes, quæ agere cupimus, laudamus; quæ nolumus agere, vituperamus.

25. Jam vero, mi Socrates, etiam sæpenumero distinctè factum est de me judicium, quid me perpeti, quidve multæ nomine oporteret exsolvere. A quonam? inquam ego, mi Ischomache. Nam equidem hoc antehac ignorabam. Ab uxore, inquit. Et quonam pacto, inquam ego, caussam agis? Quum vera dicere conducit, egregie admodum: quum falsa, caussam deteriorem, mi Socrates, non possum profecto meliorem facere. Fortasse non potes, inquam ego, quod falsum est, verum facere.

CAP.

ΚΕΦ. ιβ'.

Ἀλλὰ γάρ, ἔφην ἐγώ, μή σε κατακωλύω, ὦ Ἰσχόμαχε, ἀπιέναι ἤδη βουλόμενον; μὰ Δί', ἔφη, ὦ Σώκρατες. ἐπεὶ οὐκ ἂν ἀπέλθοιμι πρὶν παντάπασιν ἡ ἀγορὰ λυθῇ.

β'. Νὴ Δί', ἔφην ἐγώ. φυλάττῃ γὰρ ἰσχυρῶς, μὴ ἀποβάλῃς τὴν ἐπωνυμίαν, τὸ ἀνὴρ καλὸς κἀγαθὸς κεκλῆσθαι. νῦν γὰρ πολλῶν σοι ἴσως ὄντων ἐπιμελείας δεομένων, ἐπεὶ συνέθου τοῖς ξένοις, ἀναμένεις αὐτούς, ἵνα μὴ ψεύσῃ. ἀλλά τοι, ἔφη ὁ Ἰσχόμαχος, ὦ Σώκρατες, οὐδ' ἐκεῖνά μοι ἀμελεῖται, ἃ σὺ λέγεις. ἔχω γὰρ ἐπιτρόπους ἐν τοῖς ἀγροῖς.

γ'. Πότερα δέ, ἐγὼ ἔφην, ὦ Ἰσχόμαχε, ὅταν δεηθῇς ἐπιτρόπου, καταμαθὼν ἤν που ᾖ ἐπιτροπευτικὸς ἀνήρ, τοῦτον πειρᾷ ὠνεῖσθαι, ὥσπερ ὅταν τέκτονος δεηθῇς, καταμαθὼν (εὖ οἶδ') ὅτι ἤν που ἴδῃς τεκτονικόν, τοῦτον πειρᾷ κτᾶσθαι, ἢ αὐτὸς παιδεύεις τοὺς ἐπιτρόπους;

δ'. Αὐτὸς

CAP. XII.

Verum num te, Ischomache, detineo discedere volentem? Non profecto, mi Socrates, ait. Etenim prius quam penitus finis concionis fuerit, discessurus non sum.

2. Vehementer enim profecto caves, inquam, ne cognomentum illud, quo vir bonus & honestus appellaris, amittas. Nam tametsi jam fortasse multa tibi necessario curanda sint, quia tamen ita convenit inter vos, hospites illos opperiris, ne mentiaris. Atqui, mi Socrates, ait Ischomachus, ne illa quidem negliguntur, de quibus tu loqueris. Quippe villicos in prædiis habeo.

3. Utrum vero, inquam, Ischomache, quum villico tibi est opus, exploras an alicubi sit quispiam ad hanc procurationem idoneus, eumque das operam ut emas; veluti quum fabro tibi est opus, sat scio, si cubi peritum fabricæ noveris, eum te operam dare uti compares: an vero ipse villicos tuos instituis?

4. Ego

δ'. Αὐτὸς νὴ Δί', ἔφη, ὦ Σώκρατες, πειρῶμαι παιδεύειν. καὶ γὰρ ὅστις μέλλει ἀρκέσειν, ὅταν ἐγὼ ἀπῶ, ἀντ' ἐμοῦ ἐπιμελόμενος, τί αὐτὸν καὶ δεῖ ἄλλο ἐπίστασθαι, ἢ ἅπερ ἐγώ; εἴπερ γὰρ ἱκανός εἰμι τῶν ἔργων προστατεύειν, κἂν ἄλλον δήπου δυναίμην διδάξαι ἅπερ αὐτὸς ἐπίσταμαι.

ε'. Οὐκοῦν εὔνοιαν πρῶτον, ἔφην ἐγώ, δεήσει αὐτὸν ἔχειν σοὶ καὶ τοῖς σοῖς, εἰ μέλλοι ἀρκέσειν ἀντὶ σοῦ παρών. ἄνευ γὰρ εὐνοίας τί ὄφελος καὶ ὁποιαστινοσοῦν ἐπιτρόπου ἐπιστήμης γίγνεται; οὐδὲν μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος· ἀλλά τοι τὸ εὐνοεῖν ἐμοὶ καὶ τοῖς ἐμοῖς ἐγὼ πρῶτον πειρῶμαι παιδεύειν.

ϛ'. Καὶ πῶς; ἐγὼ ἔφην, πρὸς τῶν Θεῶν εὔνοιαν ἔχειν σοὶ καὶ τοῖς σοῖς διδάσκεις, ὅντινα ἂν βούλῃ; εὐεργετῶν νὴ Δί', ἔφη ὁ Ἰσχόμαχος, ὅταν τινὸς ἀγαθοῦ οἱ Θεοὶ ἀφθονίαν διδῶσιν ἡμῖν.

ζ'. Τοῦτο οὖν λέγεις, ἔφην ἐγώ, ὅτι οἱ ἀπολαύοντες τῶν σῶν ἀγαθῶν,

4. Ego ipſe profectò, mi Socrates, ait, in hoc incumbo, ut eos inſtituam. Nam ſi qui talis eſſe debeat, ut me abſente rem meam ſatis idonee curet, quid eum ſcire aliud, quam meipſum, oporteat? Quippe ſi ſum ego ſatis ad hoc idoneus, ut præſim operis illis, etiam alium ſcilicet docere poſſum, quæ ipſe teneo.

5. Primum igitur, inquam ego, neceſſe eſt benevolo ſit erga te ac tuos animo, ſi quidem ejus præſentia tuo loco ſufficere debeat. Nam ſine benevolentia quiſnam ſcientiæ procuratoriæ fuerit uſus, qualiſcunque tandem illa ſit? Nullus profecto, inquit Iſchomachus. Verum ego primum ſic eos conor inſtituere, ut erga me meoſque benevolo ſint animo.

6. At obſecro te per Deos immortales, inquam, quo pacto quemcunque vis, doces; ut benevolentia te tuoſque complectatur? Benefaciundo, ait, quoties boni alicujus copiam Dii nobis largiuntur.

7. Ergo tu dicere vis, inquam, in eis, qui bonis tuis fruantur, bene-

ἀγαθῶν, εὖνοί σοι γίγνονται, καὶ ἀγαθόν τι σὲ βούλονται πράττειν. τοῦτο γὰρ ὄργανον, ὦ Σώκρατες, εὐνοίας ἄριστον ὁρῶ ὄν.

η'. Ην δὲ δὴ εὔνους σοι γένηται, ἔφην, ὦ Ἰσχόμαχε, ἦ τούτου ἕνεκα ἱκανὸς ἔσται ἐπιτροπεύειν; οὐχ' ὁρᾷς, ὅτι καὶ ἑαυτοῖς εὖνοι πάντες ὄντες (ὡς εἰπεῖν) ἄνθρωποι, πολλοὶ αὐτῶν εἰσιν, οἳ οὐκ ἐθέλουσιν ἐπιμελεῖσθαι, ὅπως αὐτοῖς ἔσται ταῦτα ἃ βούλονται εἶναι σφίσι τὰ ἀγαθά;

θ'. Αλλὰ ναὶ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, ἐγὼ τοιούτους ὅταν ἐπιτρόπους βούλωμαι καθιστάναι, καὶ ἐπιμελεῖσθαι διδάσκω.

ι'. Πῶς, ἔφην ἐγὼ, πρὸς τῶν Θεῶν; τοῦτο γὰρ δὴ ἐγὼ παντάπασιν οὐ διδακτὸν ᾤμην εἶναι, τὸ ἐπιμελῆ ποιῆσαι. οὐδὲ γὰρ ἐστὶν, ἔφη, ὦ Σώκρατες, ἐφεξῆς γε οὕτως οἷόν τε πάντας διδάξαι ἐπιμελεῖς εἶναι.

ια'. Ποίους μὲν δὴ, ἐγὼ ἔφην, οἷόν τε; πάντως μοι σαφῶς τούτους διασήμηνον. πρῶτον μὲν, ἔφη, ὦ Σώκρατες, τοὺς

benevolentiam erga te excitari, atque illos bene tibi facere velle. Esse enim, mi Socrates, instrumentum hoc benevolentiæ optimum video.

8. At si quis benevolentiam erga te concipiat, inquam, Ischomache, an propterea satis ad procurationem erit idoneus? An non vides, quod quum homines, ut ita dicam, universi bene sibi velint; multi tamen sint, qui curam adhibere nolint, ut ea bona consequantur, quæ sibi cupiant evenire?

9. Ego vero, inquit Ischomachus, quum tales villicos constituere volo, etiam eos doceo curam adhibere.

10. Qui hoc? quæso per Deos, inquam. Etenim id ego plane sub doctrinam non cadere putabam, ut quis diligens efficiatur. Sane fieri non potest, mi Socrates, ait, ut quis serie quadam omnes diligentes esse doceat.

11. Quinam igitur, inquam ego, doceri possunt? Velim omnino mihi hos perspicue indices. Primum eos, ait, mi Socrates, qui

τοὺς οἴνου ἀκρατεῖς οὐκ ἂν δύναιο ἐπιμελεῖς ποιῆσαι. τὸ γὰρ μεθύειν λήθην ἐμποιεῖ πάντων τῶν πράττειν δεομένων.

ιβ'. Οἱ οὖν τούτου ἀκρατεῖς μόνοι (ἐγὼ ἔφην) ἀδύνατοί εἰσιν ἐπιμελεῖς ἔσεσθαι, ἢ καὶ ἄλλοι τινές; ναὶ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, καὶ οἵγε τοῦ ὕπνου. οὔτε γὰρ ἂν αὐτὸς δύναιτο καθεύδων τὰ δέοντα ποιεῖν, οὔτε ἄλλους παρέχεσθαι.

ιγ'. Τί οὖν, ἐγὼ ἔφην, οὗτοι αὖ μόνοι ἀδύνατοι ἡμῖν ἔσονται ταύτην τὴν ἐπιμέλειαν διδαχθῆναι, ἢ καὶ ἄλλοι τινὲς πρὸς τούτοις; ἔμοιγέ τοι δοκοῦσιν, ἔφη ὁ Ἰσχόμαχος, καὶ οἱ τῶν ἀφροδισίων δύσερωτες, ἀδύνατοι εἶναι διδαχθῆναι ἄλλου τινὸς μᾶλλον ἐπιμελεῖσθαι, ἢ τούτου.

ιδ'. Οὔτε γὰρ ἐλπίδα, οὔτ' ἐπιμέλειαν ἡδίονα ῥᾳδίαν εὑρεῖν τῆς τῶν παιδικῶν ἐπιμελείας· οὐδὲ μὴν ὅταν παρῇ τὸ πρακτέον, τιμωρίαν χαλεπωτέραν εὐπετές ἐστι, τοῦ ἀπὸ τῶν ἐρωμένων κωλύεσθαι. ὑφίεμαι

οὖν,

qui à vino ſibi temperare nequeunt, diligentes efficere non potes. Nam ebrietas oblivionem omnium, quæ agi oportet, inducit.

12. Num igitur, inquam ego, qui ab hoc ſe continere non poſſunt, ſoli diligentes eſſe nequeunt, an & alii quidam? Profecto, ait Iſchomachus, etiam illi, qui ſomno moderari non poſſunt. Quippe nec ipſe dormiens facere, quæ debebat, nec alios ad hoc poſſet impellere.

13. Quid igitur? inquam ego, ſoli ſunt hi, quibus hæc diligentia tradi non poteſt, an præterea quidam alii? Sane mihi videntur; ait Iſchomachus, etiam illi qui perdite rebus venereis dediti ſunt, ut alterius rei majorem curam habeant, quam illius, doceri non poſſe.

14. Nam neque ſpes, neque cura reperiri alia jucundior facile poteſt, quam ſit amoris occupatio: nec invenire ſupplicium gravius in proclivi eſt, quam ſi rerum expediundarum cura ſuis ab amoribus aliquis avocetur. Quamobrem

σθω, καὶ οὓς ἂν τοιούτους γνῶ ὄντας, μηδ' ἐπιχειρεῖν ἐπιμελητὰς τούτων τινὰς καθιστάναι.

ιε'. Τί δὲ, ἔφην ἐγὼ, οἵτινες αὖ ἐρωτικῶς ἔχουσι τοῦ κερδαίνειν, ἦ καὶ οὗτοι ἀδύνατοί εἰσιν εἰς ἐπιμέλειαν τῶν κατ' ἀγρὸν ἔργων παιδεύεσθαι; οὐ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, οὐδαμῶς γε, ἀλλὰ καὶ πάνυ εὐάγωγοί εἰσιν εἰς τὴν τούτων ἐπιμέλειαν. οὐδὲν γὰρ ἄλλο δεῖ, ἢ δεῖξαι μόνον αὐτοῖς, ὅτι κερδαλέον ἐστὶν ἡ ἐπιμέλεια.

ιϛ'. Τοὺς δὲ ἄλλους, ἔφην ἐγὼ, εἰ ἐγκρατεῖς τε εἰσὶν ὧν σὺ κελεύεις, καὶ πρὸς τὸ φιλοκερδεῖς εἶναι μετρίως ἔχουσιν, πῶς ἐκδιδάσκεις, ὡς σὺ βούλει, ἐπιμελεῖς γίγνεσθαι; ἁπλῶς (ἔφη) πάνυ, ὦ Σώκρατες. ὅταν μὲν γὰρ ἐπιμελομένους ἴδω, καὶ ἐπαινῶ καὶ τιμᾶν πειρῶμαι αὐτούς. ὅταν δὲ ἀμελοῦντας, λέγειν τε πειρῶμαι καὶ ποιεῖν, ὁποῖα δήξεται αὐτούς.

ιζ'. Ἴθι, ἐγὼ ἔφην, ὦ Ἰσχόμαχε, καὶ τόδε μοι (παρεκτραπόμενον

quoſcunque tales eſſe animadverto, de iis remiſſius ago, ut ne quidem coner ipſos procuratores conſtituere.

15. Quid autem, inquam ego, ſi quibus ineſt amor lucrifaciundi, num & illi ad adtentionem in rebus ruſticis inſtitui nequeunt? Non profecto, ait Iſchomachus, nequeunt, immo facillime ad hoc ſtudium deduci poſſunt. Quippe nulla heic opus eſt alia re, niſi ut eis duntaxat oſtendas, fructuoſam eſſe diligentiam.

16. Ceteros autem, inquam ego, ſi & iis in rebus ſint continentes, in quibus hoc ab ipſis requiris, & quæſtus mediocriter cupidi ſint, quo tandem pacto doces, ut pro arbitrio tuo ſint diligentes? Per ſane ſimpliciter, ait, mi Socrates. Nam quum eos diligenter ſua curare video, non ſolum collaudo ipſos, ſed etiam ut ornem honore aliquo, do operam: ſin negligentes eſſe, dicere ac facere conor id, quod eos mordeat.

17. Age vero, inquam Iſchomache, nonnihil ab hac oratione de

τετραμμένος τοῦ λόγου περὶ τῶν παιδευομένων εἰς τὴν ἐπιμέλειαν) δήλωσον περὶ τοῦ παιδεύεσθαι, εἰ οἷόν τε ἐστὶν ἀμελῆ αὐτὸν ὄντα, ἄλλους ποιεῖν ἐπιμελεῖς;

ιη΄. Οὐ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, οὐδέν γε μᾶλλον, ἢ ἄμουσον ὄντα αὐτὸν, ἄλλους μουσικοὺς ποιεῖν. χαλεπὸν γὰρ, τοῦ διδασκάλου πονηρῶς τι ὑποδεικνύοντος, καλῶς τοῦτο ποιεῖν μαθεῖν, καὶ ἀμελεῖν γε ὑποδεικνύοντος τοῦ δεσπότου, χαλεπὸν ἐπιμελῆ θεράποντα γενέσθαι.

ιθ΄. Ὡς δὲ συντόμως εἰπεῖν, πονηροῦ μὲν δεσπότου οἰκέτας οὐ δοκῶ χρηστοὺς καταμεμαθηκέναι· χρηστοῦ μέντοι πονηροὺς ἤδη εἶδον, οὐ μέντοι ἀζημίους γε· τὸν δὲ ἐπιμελητικοὺς βουλόμενον ποιήσασθαί τινας, καὶ ἐφορατικὸν δεῖ εἶναι τῶν ἔργων, καὶ ἐξεταστικὸν, καὶ χάριν θέλοντα τῶν καλῶς τελουμένων ἀποδιδόναι τῷ αἰτίῳ, καὶ δίκην μὴ ὀκνοῦντα τὴν ἀξίαν ἐπιτιθέναι τῷ ἀμελοῦντι.

κ΄. Καλῶς

de iis qui ad diligentiam instituuntur, deflectens, etiam illud mihi de instituendi ratione declarato: num fieri possit, ut quis ipse negligens alios efficere diligentes possit?

18. Nequaquam, ait Ischomachus, nulloque modo magis, quam si quis ipse musicæ imperitus, alios efficere musicos velit. Est enim difficile, doctore non recte monstrante, discere, ut bene aliquid efficias: itidem quum exemplum negligentiæ dominus suppeditat, difficile est seruũ diligentem fieri.

19. Atque breviter ut dicam, futilis domini servos nunquam fuisse frugi animadvertisse videor. Frugi autem domini servos equidem nullius momenti quosdam vidi, non tamen tales, qui suis heris detrimento non essent. At qui reddere quosdam velit ad adtentionem idoneos, eum & inspicere opera necesse est, & in ea inquirere, & non illubenter auctori eorum, quæ bene perfecta sunt, gratiam referre, & non vereri merito illum supplicio adficere, qui negligens sit.

 20. Etiam

κʹ. Καλῶς δέ μοι δοκεῖ ἔχειν, ἔφη ὁ Ἰσχόμαχος, καὶ ἡ τοῦ βαρβάρου λεγομένη ἀπόκρισις, ὅτε βασιλεὺς ἄρα ἵππου ἐπιτυχὼν ἀγαθοῦ, παχῦναι αὐτὸν ὡς τάχιστα βουλόμενος, ἤρετο τῶν δεινῶν τινὰ ἀμφ᾽ ἵππους δοκούντων εἶναι, τί ταχιστα παχύνει ἵππον; τὸν δ᾽ εἰπεῖν λέγεται, ὅτι δεσπότου ὀφθαλμός. οὕτω δ᾽, ἔφη, ὦ Σώκρατες, καὶ τἄλλα μοι δοκεῖ δεσπότου ὀφθαλμὸς τὰ καλά τε κἀγαθὰ μάλιστα ἐργάζεσθαι.

ΚΕΦ. ιγʹ.

Ὅταν παραστήσῃς τινὶ (ἔφην ἐγὼ) τοῦτο καὶ πάνυ ἰσχυρῶς, ὅτι δεῖ ἐπιμελεῖσθαι ὧν ἂν σὺ βούλῃ, ἦ ἱκανὸς ἤδη ἔσται ὁ τοιοῦτος ἐπιτροπεύειν, ἤ τι καὶ ἄλλο προσμαθητέον αὐτῷ ἔσται, εἰ μέλλει ἐπίτροπος ἱκανὸς ἔσεσθαι;

βʹ. Ναὶ μὰ Δί᾽, ἔφη ὁ Ἰσχόμαχος, ἔτι μέντοι λοιπὸν αὐτῷ ἐστι γνῶναι ὅ,τι τε ποιητέον, καὶ ὁπότε, καὶ ὅπως. εἰ δὲ

20. Etiam illud mihi hominis cujuſdam barbari reſponſum præclarum videtur, quum rex ſcilicet equum nactus bonum, quem cuperet quamprimum ſaginari; quendam inprimis equeſtris rei peritum interrogaret: quidnam equum breviſſimo ſpatio pinguem efficeret. Fertur enim is reſpondiſſe, Oculus domini. Sic mihi videtur, inquit, Socrates, etiam alia plurima domini oculus quam maxime pulchra & egregia efficere.

CAP. XIII.

Ceterum ubi, inquam ego, jam alicui vehementer inculcaveris, diligenter eſſe curanda, quæ tu velis; num is idoneus ad procurationem erit? an & aliud quippiam præterea diſcendum erit ei, ſi quidem villicus eſſe ſatis aptus velit?

2. Erit profecto, inquit Iſchomachus. Nam reſtat, ut & quid, & quando, & quo pacto ſit agendum, intelligat. Nam abſque

δὲ μὴ, τί μᾶλλον ἐπιτρόπου ἄνευ τούτων ὄφελος, ἢ ἰατροῦ, ὃς ἐπιμελοῖτο μὲν κάμνοντός τινος, πρωΐ τε ἰὼν, καὶ ὀψέ· ὅ,τι δὲ συμφέρει τῷ κάμνοντι ποιεῖν εἴη, τοῦτο μὴ εἰδείη;

γ'. Ἐὰν δὲ καὶ τὰ ἔργα μάθῃ ὡς ἐστὶν ἐργαστέα, ἔτι τινὸς (ἔφην ἐγὼ) προσδεήσεται, ἢ ἀποτετελεσμένος ἤδη οὗτός σοι ἔσται ἐπίτροπος; ἄρχειν γε, ἔφη, οἶμαι δεῖν αὐτὸν μαθεῖν τῶν ἐργαζομένων.

δ'. Ἡ οὖν, ἔφην ἐγὼ, καὶ σὺ ἄρχειν ἱκανοὺς εἶναι παιδεύεις τοὺς ἐπιτρόπους; πειρῶμαί γε δὴ, ἔφη ὁ Ἰσχόμαχος. καὶ πῶς δὴ (ἔφην ἐγὼ) πρὸς τῶν Θεῶν, τὸ ἀρχικοὺς εἶναι ἀνθρώπων παιδεύεις; φαύλως (ἔφη) πάνυ, ὦ Σώκρατες, ὥστε ἴσως ἂν καὶ καταγελάσαις ἀκούων.

ε'. Οὐ μὴν δὴ ἄξιόν γ', ἔφην ἐγὼ, τὸ πρᾶγμα καταγέλωτος, ὦ Ἰσχόμαχε. ὅστις γὰρ τοι ἀρχικοὺς ἀνθρώπων δύναται ποιεῖν, δῆλον ὅτι οὗτος καὶ δεσποτικοὺς ἀνθρώπων δύναται διδάσκειν· ὅστις δὲ δεσποτικοὺς

absque hoc quis villici usus potior fuerit, quam medici, qui haberet ille quidem ægrotantis alicujus curam, tum mane, tum vesperi eum conveniendo; verum quid ægrotus facere possit, quod ei conducat, nesciat?

3. Quod si didicerit, inquam ego, quo pacto faciunda sint opera, num adhuc aliquid desiderabitur, an jam talis villicus tibi absolutus erit? Equidem arbitror, ait, discendam ei esse rationem imperandi operariis.

4. Num igitur, inquam ego, tu quoque villicos instituis, ut ad imperandum sint idonei? Sane id enitor facere, ait Ischomachus. Quæso te per Deos, inquam, quo pacto eos instituis in hoc, ut rationem regendi alios teneant? Sane vulgariter, ait, mi Socrates, quo fit, ut fortassis etiam hæc audiens, risurus sis.

5. Certe, inquam ego, minime risu digna res est, Ischomache. Nã qui efficere quosdam potest idoneos ad imperandum hominibus, eum patet etiam herilem quandam disciplinam posse tradere; quam qui

τικούς, δύναται ποιεῖν καὶ βασιλικούς. ὥστε οὐ καταγέλωτός μοι δοκεῖ ἄξιος εἶναι, ἀλλ' ἐπαίνου μεγάλου, ὁ τοῦτο δυνάμενος ποιεῖν.

ς'. Οὐκοῦν, ἔφη, ὦ Σώκρατες, τὰ μὲν ἄλλα ζῶα ἐκ δυοῖν τούτοιν τὸ πείθεσθαι μανθάνουσιν, ἔκ τε τοῦ, ὅταν ἀπειθεῖν ἐπιχειρῶσι, κολάζεσθαι, καὶ ἐκ τοῦ, ὅταν προθύμως ὑπηρετῶσιν, εὖ πάσχειν.

ζ'. Οἵ τε γοῦν πῶλοι καταμανθάνουσιν ὑπακούειν τοῖς πωλοδάμναις, τῷ, ὅταν μὲν πείθωνται, τῶν ἡδέων τι αὐτοῖς γίγνεσθαι, ὅταν δὲ ἀπειθῶσιν, πράγματα ἔχειν, ἔστ' ἂν ὑπηρετήσωσι κατὰ τὴν γνώμην τοῦ πωλοδάμνου.

η'. Καὶ τὰ κυνίδια δὲ, πολὺ τῶν ἀνθρώπων καὶ τῇ γνώμῃ καὶ τῇ γλώσσῃ ὑποδεέστερα ὄντα, ὅμως καὶ περιτρέχειν, καὶ κυβιστᾷν, καὶ ἄλλα πολλὰ μανθάνει τῷ αὐτῷ τούτῳ τρόπῳ. ὅταν μὲν γὰρ πείθηται, λαμβάνει τι ὧν δεῖται· ὅταν δὲ ἀμελῇ, κολάζεται.

θ'. Ἀνθρώπους δ' ἐστὶ πιθανωτέρους ποιεῖν καὶ λόγῳ, ἐπι-

qui teneat, possit item tradere regiam. Itaque non irrisionem, sed magnam laudem mereri videtur, qui hoc efficere possit.

6. Cetera igitur animalia, mi Socrates, ait, duabus hisce rebus parere discunt: partim quod, ubi nolunt obtemperare, puniantur; partim quod, ubi alacriter obsequuntur, benigne cum eis agatur.

7. Ita pulli equorum obedire domitoribus suis ea re discunt, quod quum parent, suave quid consequantur: contumaces autem molestias quasdam experiantur, donec voluntati domitoris obsequantur.

8. Etiam catelli, qui hominibus & intelligentia & lingua longe sunt inferiores, nihilominus & circumcursitare, & saltando se in caput devolvere, & alia multa eodem hoc modo discunt. Nam ubi parent, aliquid eorum, quæ expetunt, consequuntur: ubi vero negligenter se gerunt, dant pœnas.

9. Homines autem etiam oratione reddi obedientiores possunt, si

ἐπιδεικνύοντα ὡς συμφέρει αὐτοῖς πείθεσθαι. τοῖς δὲ δούλοις καὶ ἡ δοκοῦσα θηριώδης παιδεία εἶναι, πάνυ ἐστὶν ἐπαγωγὸς πρὸς τὸ πείθεσθαι διδάσκειν. τῇ γὰρ γαστρὶ αὐτῶν ἐπὶ ταῖς ἐπιθυμίαις προσχαριζόμενος ἄν, πολλὰ ἀνύτοις παρ᾽ αὐτῶν. αἱ δὲ φιλότιμοι τῶν φύσεων καὶ τῷ ἐπαίνῳ παροξύνονται. πεινῶσι γὰρ τοῦ ἐπαίνου οὐχ ἧττον ἔνιαι τῶν φύσεων, ἢ ἄλλαι τῶν σίτων τε καὶ ποτῶν.

ι΄. Ταῦτά τε οὖν, ὅσαπερ αὐτὸς ποιῶν οἶμαι πιθανωτέροις ἀνθρώποις χρῆσθαι, διδάσκων οὓς ἂν ἐπιτρόπους βούλωμαι καταστῆσαι, καὶ τάδε συλλαμβάνω αὐτοῖς. ἱμάτιά τε γὰρ, ὅσα δεῖ παρέχειν ἐμὲ τοῖς ἐργαστῆρσι, καὶ ὑποδήματα, οὐχ ὅμοια πάντα ποιῶ, ἀλλὰ τὰ μὲν χείρω, τὰ δὲ βελτίω, ἵνα ᾖ τὸν κρείσσω τοῖς βελτίοσι τιμᾷν, τῷ δὲ χείρονι τὰ ἥττω διδόναι.

ια΄. Πάνυ γάρ μοι (ἔφη) δοκεῖ, ὦ Σώκρατες, ἀθυμία ἐγγίγνεσθαι τοῖς ἀγαθοῖς, ὅταν ὁρῶσι τὰ μὲν ἔργα δι᾽ αὐτῶν κατεργαζόμενα, τῶν δὲ ὁμοίων τυγχάνοντας ἑαυτοῖς

τοὺς

si quis demonstret ipsis expedire, ut pareant. Servis ea quoque disciplina, quæ belluina videtur esse, valde conducit ad hoc, ut parere discant. Nam si gratificeris cupiditatibus gulæ ipsorum, multum apud eos effeceris. Naturæ autem ambitiosæ etiam laude exacuuntur. Nam in nonnullis ingeniis non minor est fames laudis, quam in aliis cibi ac potus.

10. Quum igitur eos docens, quos villicos volo constituere, ipse illa præsto, quibus effecturum me puto, ut homines magis obsequentes habeam: etiam hac ipsos in parte juvo. Nam & vestes, & calceamenta, quæcunque tribuenda sunt operariis, non omnia fieri æqualia curo, sed quædam deteriora, quædam meliora: ut rectius se gerentem melioribus ornem, & pejori dem deteriora.

11. Videtur enim mihi, mi Socrates, inquit, omnino in bonis magnum quendam animi mœrorem oriri, quum opera per se fieri vident, ac nihilominus æqualia secum præmia consequi eos, qui quũ

opus

τοὺς μήτε πονεῖν, μήτε κινδυνεύειν ἐθέλοντας, ὅταν δέῃ.

ιβ'. Αὐτός τε οὖν οὐδ' ὁπωστιοῦν τῶν ἴσων ἀξιῶ τοὺς ἀμείνους τοῖς κακίοσι τυγχάνειν, τούς τε ἐπιτρόπους, ὅταν μὲν εἴδω διαδεδωκότας τοῖς πλείστου ἀξίοις τὰ κράτιστα, ἐπαινῶ· ἣν δὲ ἴδω ἢ κολακεύμασί τινα προτιμώμενον, ἢ καὶ ἄλλῃ τινὶ ἀνωφελεῖ χάριτι, οὐκ ἀμελῶ, ἀλλ' ἐπιπλήττω, καὶ πειρῶμαι διδάσκειν, ὦ Σώκρατες, ὅτι οὐδ' αὐτῷ σύμφορα ταῦτα ποιεῖ.

ΚΕΦ. ιδ'.

ΟΤαν δὲ, ὦ Ἰσχόμαχε, ἔφην ἐγὼ, καὶ ἄρχειν ἤδη ἱκανός σοι γένηται, ὥστε πειθομένους παρέχεσθαι, ἦ ἀποτετελεσμένον ἤδη τοῦτον ἡγῇ ἐπίτροπον, ἢ ἔτι τινὸς προσδεῖται ὁ ταῦτα ἔχων, ἃ σὺ εἴρηκας;

β'. Ναὶ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, τοῦ τε ἀπέχεσθαι τῶν δεσποσυνῶν, καὶ μὴ κλέπτειν. εἰ γὰρ ὁ τοὺς

καρποὺς

opus eſt, neque laborare, neque adire pericula volunt.

12. Quamobrem nequaquam meliores cum deterioribus præmiis æqualibus dignor, ac villicos meos laudo, quum eos optima diſtribuiſſe video in maxime dignos: ſin quem vel per adulationes, vel alia quapiam inutili gratificatione video potiorem honorem conſequutum; id equidem non negligo, ſed objurgo villicum, eumque docere, mi Socrates, conor fieri ea ne cum ipſius quidem commodo.

CAP. XIV.

QUum autem, inquam ego, villicus tibi ſatis, Iſchomache, ad imperandum aliis idoneus factus eſt, ut jam illos obſequentes reddere poſſit; num illum jam perfectum tibi putas, an adhuc aliquid in eo deſideratur, qui hæc, quæ tu narraſti, habet?

2. Deſideratur profecto, inquit Iſchomachus, nimirum herilibus à rebus ut abſtineat, neque quidquam furto ſubtrahat. Nam ſi is, qui

καρποὺς μεταχειριζόμενος τολμᾷ ἀφανίζειν, ὥστε μὴ λείπειν λυσιτελοῦντας τοῖς ἔργοις, τί ἂν ὄφελος εἴη τὸ διὰ τῆς τούτου ἐπιμελείας γεωργεῖν;

γ'. Ἢ καὶ ταύτην οὖν, ἔφην ἐγώ, τὴν δικαιοσύνην σὺ ὑποδύῃ διδάσκειν; καὶ πάνυ, ἔφη ὁ Ἰσχόμαχος. οὐ μέντοι γε πάντας ἐξ ἑτοίμου εὑρίσκω ὑπακούοντας τῆς διδασκαλίας ταύτης.

δ'. Καί τοι τὰ μὲν καὶ ἐκ τῶν Δράκοντος νόμων, τὰ δὲ καὶ ἐκ τῶν Σόλωνος πειρῶμαι (ἔφη) λαμβάνων, ἐμβιβάζειν εἰς τὴν δικαιοσύνην τοὺς οἰκέτας. δοκοῦσι γάρ μοι (ἔφη) καὶ οὗτοι ὦ ἄνδρες θεῖναι πολλοὺς τῶν νόμων ἐπὶ δικαιοσύνῃ τῆς τοιαύτης διδασκαλίας.

ε'. Γέγραπται γὰρ ζημιοῦσθαι ἐπὶ τοῖς κλέμμασι, καὶ δεδέσθαι ἤν τις ἁλῷ ποιῶν, καὶ θανατοῦσθαι τοὺς ἐγχειροῦντας. δῆλον οὖν (ἔφη) ὅτι ἔγραφον αὐτὰ βουλόμενοι ἀλυσιτελῆ ποιῆσαι τοῖς ἀδίκοις τὴν αἰσχροκέρδειαν.

ς'. Ἐγὼ οὖν (ἔφη) καὶ τούτων προσφέρων ἔνια, καὶ ἄλλα τῶν βασιλικῶν

qui fructus habet in manibus, ausit eos sic intervertere, ut qui relinquuntur, operibus rusticis non prosint; cui quæso fuerit usui curatio hujus in agricultura?

3. Num igitur, inquam ego, hanc quoque justitiam tu docendam suscipis? Omnino, ait Ischomachus. Neque tamen omnes ad parendum huic doctrinæ satis promtos invenio.

4. Quamobrem partim ex legibus Draconis, partim Solonis, quædam adsumere conor, quibus efficiam, ut in justitia famuli mei proficiant. Videntur enim mihi etiam hi viri multas leges de justitia doctrinæ hujus condidisse.

5. Nam perscripserunt multandos esse, qui furtum faciant, ac deprehensos, esse vinciendos, morteque afficiendos, qui aggrediantur. Quamobrem perspicuum est, eos has leges sic perscripsisse, ut qui turpem illum quæstum vellent injustis inutilem reddere.

6. De his igitur quædam producens, atque alia de legibus regiis,

βασιλικῶν νόμων προσφερόμενος, πειρῶμαι δικαίους περὶ τὰ διαχειριζόμενα ἀπεργάζεσθαι τοὺς οἰκέτας.

ζ'. Ἐκεῖνοι μὲν γὰρ οἱ νόμοι ζημίαι μόνον εἰσὶ τοῖς ἁμαρτάνουσιν, οἱ δὲ βασιλικοὶ νόμοι οὐ μόνον ζημιοῦσι τοὺς ἀδικοῦντας, ἀλλὰ καὶ ὠφελοῦσι τοὺς δικαίους. ὥστε ὁρῶντες πλουσιωτέρους γιγνομένους τοὺς δικαίους τῶν ἀδίκων πολλοί, καὶ φιλοκερδεῖς ὄντες, εὖ μάλα ἐπιμένουσι τῷ μὴ ἀδικεῖν.

η'. Οὓς δ' ἂν αἰσθάνωμαι (ἔφη) ὅμως καὶ εὖ πάσχοντας, ἔτι ἀδικεῖν πειρωμένους, τούτους ὡς ἀνηκέστους πλεονέκτας ὄντας ἤδη καὶ τῆς χρήσεως ἀποπαύω.

θ'. Οὓς δ' ἂν αὖ καταμάθω μὴ τῷ πλέον ἔχειν μόνον διὰ τὴν δικαιοσύνην ἐπαιρομένους δικαίους εἶναι, ἀλλὰ καὶ τοῦ ἐπαινεῖσθαι ἐπιθυμοῦντας ὑπ' ἐμοῦ, τούτοις ὥσπερ ἐλευθέροις ἤδη χρῶμαι, οὐ μόνον πλουτίζων, ἀλλὰ καὶ τιμῶν ὡς καλούς τε κἀγαθούς.

ι'. Τούτῳ γάρ μοι δοκεῖ, ἔφη, ὦ Σώκρατες, διαφέρειν ἀνὴρ φιλότιμος ἀνδρὸς φιλοκερδοῦς, τῷ ἐθέλειν ἐπαίνου καὶ τιμῆς

ἕνεκα

regiis, famulos efficere justos in iis tractandis enitor, quæ in manibus habent.

7. Nam illæ quidem leges, tantum pœnas delinquentibus constituunt; at regiæ non injustos tantum puniunt, sed justis etiam emolumentum afferunt. Quo fit, ut plerique injusti, dum justos locupletiores esse factos vident, præsertim quia lucri sunt cupidi, egregie se contineant, ne quid injuste faciant.

8. Quos autem animadverto beneficiis affectos, nihilominus injusta moliri; illis, ut insanabilis avaritiæ hominibus, uti deinceps desino.

9. Rursum quos animadvertero non tantum elatis esse animis, quod ob justitiam meliori conditione sint, sed etiam laudari à me cupere: hos velut ingenuos tracto, neque divites tantum facio, sed etiam honore prosequor, ut viros bonos & honestos.

10. Nam in hoc mihi, Socrates, differre vir honoris cupidus à lucri cupido videtur, quod laudis honorisque caussa & labores susci-

ἕνεκα καὶ ποιεῖν, ὅπου δεῖ, καὶ κινδυνεύειν, καὶ αἰσχρῶν κερδῶν ἀπέχεσθαι.

ΚΕΦ. ιέ.

Ἀλλὰ μέντοι ἐπειδάν γε ἐμποιήσῃς τινὶ τὸ βούλεσθαί σοι εἶναι τἀγαθά, ἐμποιήσῃς δὲ τῷ αὐτῷ τούτῳ ἐπιμελεῖσθαι, ὅπως ταῦτά σοι ἐπιτελῆται, ἔτι δὲ πρὸς τούτοις ἐπιστήμην κτήσῃ αὐτῷ, ὡς ἂν ποιούμενα ἕκαστα τῶν ἔργων ὠφελιμώτερα γίγνοιτο, πρὸς δὲ τούτοις, ἄρχειν ἱκανὸν αὐτὸν ποιήσῃς, ἐπὶ δὲ τούτοις πᾶσιν, ἤδη τε σοὶ τὰ ἐκ τῆς γῆς ὡραῖα ἀποδεικνύοντα ὅτι πλεῖστα, ὥσπερ σὺ σαυτῷ, οὐκέτι ἐρήσομαι περὶ τούτου, εἰ ἔτι τινὸς ὁ τοιοῦτος προσδεῖται. πάνυ γάρ μοι δοκεῖ ἤδη πολλοῦ ἂν ἄξιος εἶναι ἐπίτροπος, ὢν τοιοῦτος. ἐκεῖνο μέντοι, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, μὴ ἀπολίπῃς, ὃ ἡμῖν ἀργότατα ἐπιδεδράμηται τοῦ λόγου.

β'. Τὸ ποῖον; ἔφη ὁ Ἰσχόμαχος. ἔλεξας δήπου, ἔφην ἐγώ, ὅτι μέγιστον εἴη μαθεῖν, ὅπως δεῖ ἐξεργάζεσθαι ἕκαστα. εἰ δὲ μή,

ſuſcipere, quum opus eſt, velit; & adire pericula, & à turpibus lucris abſtinere.

CAP. XV.

Sed enim poſtquam hoc alicujus animo indidiſti, ut proſpere tibi omnia cedere velit, atque etiam ut curam adhibeat ad perficiendum hæc tibi; ac præterea comparaſti ei ſcientiam, ut opera ſingula majori cum utilitate fiant, idoneum inſuper ad regendum effeciſti, deniq; talem, ut tibi terra nata ſuo tempore uberrima exhibeat itidem, ac tu ipſe tibi: non jam amplius de hoc interrogabo, num quid in eo deſideretur. Nam mihi videtur hoc modo villicus eſſe quantivis pretii, qui quidem talis ſit. Verum hoc, inquam, Iſchomache, ne omiſeris, quod à nobis dicendo leviſſime percurſum eſt.

2. Quid hoc eſt? ait Iſchomachus. Dixiſti ſcilicet, inquam, maximum eſſe quiddam diſcere, quo pacto ſint elaboranda omnia. Quod niſi fiat, ne

μὴ, οὐδὲ τῆς ἐπιμελείας ἔφησθα ὄφελος οὐδὲν γίγνεσθαι, εἰ μή τις ἐπίσταιτο ἃ δεῖ, καὶ ὡς δεῖ ποιεῖν.

γ'. Ἐνταῦθα δὴ εἶπεν ὁ Ἰσχόμαχος· τὴν τέχνην με ἤδη, ὦ Σώκρατες, κελεύεις αὐτὴν διδάσκειν τῆς γεωργίας; αὕτη γὰρ ἴσως, ἔφην ἐγώ, ἤδη ἐστὶν ἡ ποιοῦσα τοὺς μὲν ἐπισταμένοις αὐτὴν πλουσίοις, τοῖς δὲ μὴ ἐπισταμένοις, πολλὰ ποιοῦντας, ἀπόρως βιοτεύειν.

δ'. Νῦν τοίνυν, ἔφη, ὦ Σώκρατες, καὶ τὴν φιλανθρωπίαν ταύτης τῆς τέχνης ἀκούσῃ. τὸ γὰρ ὠφελιμωτάτην οὖσαν, καὶ ἡδίστην ἐργάζεσθαι, καὶ καλλίστην, καὶ προσφιλεστάτην θεοῖς τε καὶ ἀνθρώποις, ἔτι πρὸς τούτοις καὶ ῥᾴστην εἶναι μαθεῖν, πῶς οὐχὶ γενναῖόν ἐστι; γενναῖα δὲ δήπου καλοῦμεν καὶ τῶν ζώων ὁπόσα καλά, καὶ μεγάλα, καὶ ὠφέλιμα ὄντα, πρᾳέα ἐστὶ πρὸς τοὺς ἀνθρώπους.

ε'. Ἀλλὰ ταῦτα μὲν ἐγώ, ἔφην, ὦ Ἰσχόμαχε, ἱκανῶς δοκῶ καταμεμαθηκέναι ᾗ εἶπας, καθὰ δεῖ διδάσκειν τὸν ἐπι-

ne ſtudii quidem & curæ aiebas uſum ullum eſſe, niſi quis videlicet intelligeret, quæ, & qua ratione facienda ſint.

3. Tum Iſchomachus: Tune me, inquit, artem ipſam agriculturæ jam docere jubes, Socrates? Nimirum, inquam ego, hæc ea eſt, quæ peritos ipſius locupletes efficit; imperitos autem, tametſi magnopere laborent, nihilominus in rerum inopia vitam agere ſinit.

4. Ergo jam, mi Socrates, quæ artis hujus erga homines ſit benignitas, audies. Nam quo pacto non generoſum ſit aliquid, eam & utiliſſimam eſſe, & exercendo jucundiſſimam, & pulcherrimam, & acceptiſſimam tum Diis tum hominibus, ac præter hæc etiam facillimam ad perdiſcendum? Nimirum & animalia generoſa vocamus, quæcunque quum pulchra ſint, & procera, & utilia, manſueta ſunt erga homines.

5. At enim iſta, inquam, Iſchomache, quo pacto abs te ſunt expoſita, ſatis intellexiſſe videor, quomodo ſcilicet villicus inſti-tuendus

ἐπίτροπον. καὶ γὰρ ἣ ἔφησθα εὔνουν σοι ποιεῖν αὐτὸν μαθεῖν δοκῶ, καὶ ἣ ἐπιμελῆ, καὶ ἀρχικὸν, καὶ δίκαιον.

ς'. Ὃ δὲ εἶπας, ὡς δεῖ μαθεῖν τὸν μέλλοντα ὀρθῶς γεωργίας ἐπιμελεῖσθαι, καὶ ἃ δεῖ ποιεῖν, καὶ ὡς δεῖ, καὶ ὁπότε ἕκαστα, ταῦτά μοι δοκοῦμεν (ἔφην ἐγὼ) ἀργότερόν πως ἐπιδεδραμηκέναι τῷ λόγῳ.

ζ'. Ὥσπερ εἰ εἴποις, ὅτι δεῖ γράμματα ἐπίστασθαι τὸν μέλλοντα δυνήσεσθαι τὰ ὑπαγορευόμενα γράφειν, καὶ τὰ γεγραμμένα ἀναγινώσκειν. ταῦτα γὰρ ἐγὼ ἀκούσας, ὅτι μὲν δεῖ γράμματα ἐπίστασθαι, ἠκηκόειν ἄν· τοῦτο δὲ εἰδὼς, οὐδέν τι (οἶμαι) μᾶλλον ἂν ἐπισταίμην γράμματα.

η'. Οὕτω δὲ καὶ νῦν ὅτι μὲν δεῖ ἐπίστασθαι γεωργίαν τὸν μέλλοντα ὀρθῶς ἐπιμελεῖσθαι αὐτῆς, ῥᾳδίως πέπεισμαι· τοῦτο μέντοι εἰδὼς, οὐδέν τι μᾶλλον ἐπίσταμαι, ὅπως δεῖ γεωργεῖν.

θ'. Ἀλλ' εἴ μοι αὐτίκα μάλα δόξειε γεωργεῖν, ὅμοιος ἄν μοι δοκῶ εἶναι τῷ περιϊόντι ἰατρῷ, καὶ ἐπισκοποῦντι τοὺς κάμνον-

tuendus sit. Nam didicisse me arbitror, qua ratione dixeris efficiundum, ut benevolo sit erga te animo, & diligens, & ad regendum idoneus, & justus.

6. Quod autem aiebas, discendum esse illi, qui recte rem rusticam curare velit, quæ faciunda sint, & quomodo, & quando singula: ea mihi videmur, inquam, levius nonnihil oratione nostra percurrisse.

7. Perinde ac si dicas, esse necessarium, ut litteras sciat is, qui scribere, quæ dictantur, & scripta relegere velit. Nam his auditis, equidem huic litteras esse notas oportere, audiverim: id vero si sciam, nihilo magis, mea quidem sententia, literas scivero.

8. Sic nunc quoque peritum esse debere illum agriculturæ, qui curationem ejus recte suscipere velit, facile persuasus sum: sed quum id scio, nihilo magis teneo, quo pacto agricultura sit exercenda.

9. Adeoque si statuero mox agrum colere, similis esse mihi videbor medico, qui circumeat ille quidem, & ægrotantes inspiciat:

χειμῶνας, εἰδότι δὲ οὐδὲν ὅ,τι συμφέρει τοῖς χειμῶσιν. Ἵν' οὖν μὴ τοιοῦτος ὦ, ἔφην ἐγώ, δίδασκέ με αὐτὰ τὰ ἔργα τῆς γεωργίας.

ι'. Ἀλλὰ μήν, ἔφη, ὦ Σώκρατες, οὐχ ὥσπερ γε τὰς ἄλλας τέχνας κατατρίβεσθαι δεῖ μανθάνοντας, πρὶν ἄξια τῆς τροφῆς ἐργάζεσθαι τὸν διδασκόμενον, οὐχ οὕτω καὶ ἡ γεωργία δύσκολός ἐστι μαθεῖν· ἀλλὰ τὰ μὲν ἰδὼν ἂν ἐργαζομένους, τὰ δὲ ἀκούσας, εὐθὺς ἂν ἐπίσταιο, ὥστε καὶ ἄλλον, εἰ βούλοιο, διδάσκειν.

ια'. Οἴομαι δ' (ἔφη) πάνυ καὶ λεληθέναι πολλὰ σεαυτὸν ἐπιστάμενον αὐτῆς. καὶ γὰρ δὴ οἱ μὲν ἄλλοι τεχνῖται ἀποκρύπτονταί πως τὰ ἐπικαιριώτατα ἧς ἕκαστος ἔχει τέχνης, τῶν δὲ γεωργῶν ὁ κάλλιστα μὲν φυτεύων, μάλιστ' ἂν ἥδοιτο, εἴ τις αὐτὸν θεῷτο, ὁ κάλλιστα δὲ σπείρων, ὡσαύτως.

ιβ'. Ὅ,τι δὲ ἔροιο τῶν καλῶς πεποιημένων, οὐδὲν ὅ,τι ἄν σε ἀποκρύψαιτο, ὅπως ἐποίησεν. οὕτω καὶ τὰ ἤθη, ὦ Σώκρατες,

ſpiciat: verum nihil ſciat, quod eis ſit uſui. Quapropter ne talis ſim, inquam, ipſa me agriculturæ opera doceto.

10. Enimvero, mi Socrates, ait, non ſic ad diſcendum agricultura difficilis eſt, ut artes cæteræ, quibus diſcendis prope conſumi neceſſe eſt prius quam diſcipulus exercere opus poſſit, quod ipſi alendo ſatis ſit: ſed partim operarios inſpiciendo, partim audiendo tantum, mox cognoveris, ut etiam alium, ſi velis, docere poſſis.

11. Quinetiam arbitror, inquit, ne ipſum quidem te ſcire, quod magnam ejus partem jam teneas. Nam cæteri quidem artifices aliquo modo celant ea quæ ſunt in arte cujuſvis opportuniſſima: verum ex agricolis qui egregie conſerit, maximam voluptatem capit, ſi eum alius adſpectet; itidem putabis de eo qui ſemina rectiſſime ſpargit.

12. Quod ſi etiam roges de iis quæ pulcherrime ſunt elaborata, nihil te celabit, quo pacto ſingula fecerit. Adeo, mi Socrates,

κράτες, ἔφη, γενναιοτάτους τοὺς αὐτῇ συνόντας ἡ γεωργία ἔοικε παρέχεσθαι.

ιγ΄. Ἀλλὰ τὸ μὲν προοίμιον (ἔφην ἐγὼ) καλὸν, καὶ οὐχ οἷον ἀκούσαντα ἀποτρέπεσθαι τοῦ ἐρωτήματος. σὺ δὲ, ὅτι εὐπρεπὲς ἐστὶ μαθεῖν, διά γε τοῦτο πολύ μοι μᾶλλον διέξιθι αὐτήν. οὐ γάρ σοι αἰσχρὸν, τὰ ῥᾴδια διδάσκειν, ἐστὶν, ἀλλ᾽ ἐμοὶ πολὺ αἴσχιον, μὴ ἐπίστασθαι, ἄλλως τε καὶ εἰ χρήσιμα ὄντα τυγχάνει.

ΚΕΦ. ιϛ΄.

Πρῶτον μὲν τοίνυν, ἔφη, ὦ Σώκρατες, τοῦτο ἐπιδεῖξαι βούλομαί σοι, ὡς οὐ χαλεπόν ἐστιν, ὃ λέγουσι ποικιλώτατον τῆς γεωργίας εἶναι οἱ λόγῳ μὲν ἀκριβέστατα αὐτὴν διεξιόντες, ἥκιστα δὲ ἐργαζόμενοι.

β΄. Φασὶ γὰρ τὸν μέλλοντα ὀρθῶς γεωργήσειν, τὴν φύσιν χρῆναι πρῶτον τῆς γῆς εἰδέναι. ὀρθῶς γε, ἔφην ἐγὼ, ταῦτα λέγοντες. ὁ γὰρ μὴ εἰδὼς ὅ,τι δύναται ἡ γῆ φέρειν, οὐδὲ ὅ,τι

tes, ait, etiam mores quod attinet, agricultura generosissimos efficere videtur illos qui in ea versantur.

13. Enimvero, inquam ego, procemium ipsum pulchrum est, neque auditorem ab interrogando avertet. Tu vero propterea, quod decorum sit discere, multo magis eam mihi enarrato. Nam tibi turpe non est, quæ facilia sunt, docere: sed mihi longe turpius, ea nescire, præsertim quum sint utilia.

CAP. XVI.

Primum igitur, ait, mi Socrates, demonstrare tibi volo, non esse difficile, quod in agricultura maxime varium esse prædicant, qui de illa plurimum verbis disserunt, quum eam exercendo non attingant.

2. Aiunt enim illi, qui agrum recte colere velit, primum soli naturam esse debere cognitam. Ac recte quidem, inquam ego, idipsum aiunt. Nam qui compertum non habet, quid ferre solum

ὅ,τι σπείρειν, οἴομαι, οὐδὲ ὅ,τι φυτεύειν δεῖ, εἰδείη ἄν.

γʹ. Οὐκοῦν, ἔφη ὁ Ἰσχόμαχος, καὶ ἀλλοτρίας γῆς τοῦτό ἐστι γνῶναι ὅ,τι τε δύναται φέρειν, καὶ ὅ,τι μὴ δύναται, ὁρῶντα τοὺς καρποὺς καὶ τὰ δένδρα. ἐπειδὰν μέντοι γνῷ τις, οὐκέτι συμφέρει θεομαχεῖν. οὐ γὰρ ἂν ὅτου δέοιτο αὐτὸς, τοῦτο σπείρων καὶ φυτεύων, μᾶλλον ἂν ἔχοι τὰ ἐπιτήδεια, ἢ ὅ,τι ἡ γῆ ἥδοιτο φύουσα καὶ τρέφουσα.

δʹ. Ἢν δ᾽ ἄρα δι᾽ ἀργίαν τῶν ἐχόντων αὐτὴν μὴ ἔχῃ τὴν ἑαυτῆς δύναμιν ἐπιδεικνύναι, ἔστι καὶ παρὰ γείτονος τόπου πολλάκις ἀληθέστερα περὶ αὐτῆς γνῶναι, ἢ παρὰ γείτονος ἀνθρώπων πυθέσθαι.

εʹ. Καὶ χερσεύουσα δὲ ὅμως ἐπιδείκνυσι τὴν αὑτῆς φύσιν. ἡ γὰρ τὰ ἄγρια καλὰ φύουσα, δύναται θεραπευομένη καὶ τὰ ἥμερα καλὰ ἐκφέρειν. φύσιν μὲν δὴ γῆς οὕτω καὶ οἱ μὴ πάνυ ἔμπειροι γεωργίας ὅμως δύνανται διαγιγνώσκειν.

ϛʹ. Ἀλλὰ

solum possit: is etiam, mea sane sententia, quæ semina spargenda, quid conserendum sit, scire non poterit.

3. Id vero, subjecit Ischomachus, vel alieno in solo licet cognoscere, quid ferre vel possit, vel non possit, si quis & fructus & arbores inspiciat. Posteaquam vero quis hoc cognovit, non amplius cum Deo bellum expedit gerere. Non enim id, quo indiget, seminando & conserendo, majorem victus copiam consequetur: quam quantam solum lubens proferet ac educabit.

4. At si ob ignaviam possessorum vires suas declarare nequeat, sæpenumero ex loco vicino veriora de ejus natura cognosci possunt, quam si vicinum aliquem interroges.

5. Quinetiam incultum si sit, nihilominus naturam suam indicat. Etenim quod producit etiam agrestes fructus pulchros, si colatur, mites quoque fructus pulchros proferre poterit. Ac soli naturam hoc modo etiam ii, qui agriculturæ non admodum periti sunt, discernere possunt.

6. Enim-

ϛʹ. Ἀλλὰ τοῦτο μέν, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, ἱκανῶς ἤδη μοι δοκῶ ἀποτεθαρρηκέναι, ὡς οὐ δεῖ φοβούμενον, μὴ οὐ γνῷ τὴν τῆς γῆς φύσιν, ἀπέχεσθαι γεωργίας.

ζʹ. Καὶ γὰρ δὴ (ἔφην) ἀνεμνήσθην τὸ τῶν ἁλιέων, ὅτι θαλασσουργοὶ ὄντες, καὶ οὔτε καταστήσαντες ἐπὶ θέαν, οὔθ' ἡσυχῇ βαδίζοντες, ἀλλὰ παρατρέχοντες ἅμα τοὺς ἀγρούς, ὅταν ὁρῶσι τοὺς καρποὺς ἐν τῇ γῇ, ὅμως οὐκ ὀκνοῦσιν ἀποφαίνεσθαι περὶ τῆς γῆς, ὁποία τε ἀγαθά ἐστι, καὶ ὁποία κακή· ἀλλὰ τὴν μὲν ψέγουσι, τὴν δ' ἐπαινοῦσι. καὶ πάνυ τοίνυν τοῖς ἐμπείροις γεωργίας ὁρῶ αὐτοὺς τὰ πλεῖστα κατὰ ταὐτὰ ἀποφαινομένους περὶ τῆς ἀγαθῆς γῆς.

ηʹ. Πόθεν οὖν βούλει, ἔφη, ὦ Σώκρατες, ἄρξωμαί σε τῆς γεωργίας ὑπομιμνήσκειν; οἶδα γάρ, ὅτι ἐπισταμένῳ σοι πάνυ πολλὰ φράσω ὡς δεῖ γεωργεῖν.

θʹ. Ἐκεῖνό μοι δοκῶ, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, πρῶτον ἂν ἡδέως μανθάνειν (φιλοσόφου γὰρ μάλιστά ἐστιν ἀνδρὸς) ὅπως

ἂν

6. Enimvero hac in parte, inquam, Iſchomache, ſatis jam mihi confidere videor; ut metuendum non ſit, ne, quod ſoli naturam cognitam non habeam, abſtineam me ab agricultura.

7. Nam recordor, quid piſcatores faciant, qui quum in mari occupentur, neque conſiſtant ad inſpectionem, neque lente progrediantur, ſed rura curſu prætereant: nihilominus ubi fructus ſoli vident, haudquaquam pronuntiare de ſolo, quodnam bonum, quodve malum ſit, dubitant: ſed hoc vituperant, illud laudant. Adeoque video illos eodem modo de bono ſolo pronuntiare, quo ſolent agriculturæ periti.

8. Unde vis igitur, inquit, mi Socrates, ut incipiam de agricultura tibi quædam in mentem revocare? Nam futurum ſcio, ut quo pacto colendus ſit ager, indicaturus ſim tibi, qui horum maximam partem ſcis.

9. Videor, inquam, primum hoc libenter ſcire cupere, mi Iſchomache, quandoquidem hominis eſt maxime ſapientiæ ſtudioſi, quo

O pacto,

ἂν ἐγώ, εἰ βουλοίμην, γῆν ἐργαζόμενος, πλείστας κριθὰς, καὶ πλείστους πυροὺς λαμβάνοιμι.

ι'. Οὐκοῦν τοῦτο μὲν οἶσθα, ὅτι τῷ σπόρῳ νεὸν δεῖ ὑπεργάζεσθαι; οἶδα γάρ, ἔφην ἐγώ. εἰ οὖν ἀρχοίμεθα (ἔφη) ἀροῦν τὴν γῆν χειμῶνος; ἀλλὰ πηλὸς ἂν εἴη, ἐγὼ ἔφην. ἀλλὰ τοῦ θέρους σοι δοκεῖ; σκληρὰ (ἔφην ἐγὼ) ἔσται ἡ γῆ κινεῖν τῷ ζεύγει.

ια'. Κινδυνεύει ἔαρος (ἔφη) εἶναι τούτου τοῦ ἔργου ἀρκτέον. εἰκὸς γάρ, ἔφην ἐγώ, ἐστὶ μάλιστα χεῖσθαι τὴν γῆν τηνικαῦτα κινουμένην. καὶ τὴν πόαν γε ἀναστρεφομένην, ἔφη, ὦ Σώκρατες, τηνικαῦτα κόπρον μὲν τῇ γῇ ἤδη παρέχειν, καρπὸν δ' οὔπω καταβαλεῖν, ὥστε φύεσθαι.

ιβ'. Οἶμαι γὰρ δὴ καὶ τοῦτό ἐστι γιγνώσκειν, ὅτι εἰ μέλλει ἀγαθὴ ἡ νεὸς ἔσεσθαι, ὕλης τε δεῖ καθαρὰν αὐτὴν εἶναι, καὶ ὀπτὴν ὅτι μάλιστα πρὸς τὸν ἥλιον. πάνυ γε, ἔφην ἐγώ, καὶ ταῦτα οὕτως ἡγοῦμαι χρῆναι ἔχειν.

ιγ'. Ταῦτ'

pacto, si ita lubeat, terram exercendo maximam hordei, maximam tritici copiam consequi possim.

10. Ergone nosti, novalem præparari oportere ad sationem? Novi, inquam. Quid igitur, ait, si solum hiemis tempore incipiamus arare? At vero, inquam ego, tum non nisi lutum fuerit. Num igitur æstate tibi faciundum id videtur? Durior, inquam, erit terra, quam ut moveri à jumentis possit.

11. Fortassis igitur, inquit, verno tempore fuerit hoc opus inchoandum. Nimirum consentaneum est, inquam, tum solum maxime motum diffundi. Immo etiam herbam ipsam aratro inversam, mi Socrates, ait, tunc fimi quidem aliquid solo suppeditare; sed nondum semen de se spargere, de quo possit aliquid enasci.

12. Nam mea sane sententia, puto id quoque intelligi posse, si bona futura sit novalis, necessario puram à materia esse debere, ac ad solem maxime tostam. Omnino, inquam, existimo debere ad hunc modum hæc sese habere.

13. Tunc

ιγ'. Ταῦτ' οὖν (ἔφη) σὺ ἄλλως πως νομίζεις μᾶλλον ἂν γίγνεσθαι, ἢ εἰ ἐν τῷ θέρει ὅτι πλειστάκις μεταβάλοι τις τὴν γῆν; οἶδα μὲν οὖν (ἔφην) ἀκριβῶς, ὅτι οὐδαμῶς ἂν μᾶλλον ἡ μὲν ὕλη ἐπιπολάζοι καὶ αὐαίνοιτο ὑπὸ τοῦ καύματος, ἡ δὲ γῆ ὀπτῷτο ὑπὸ τοῦ ἡλίου, ἢ εἴ τις αὐτὴν ἐν μέσῳ τῷ θέρει καὶ ἐν μέσῃ τῇ ἡμέρᾳ κινοίη τῷ ζεύγει.

ιδ'. Εἰ δὲ ἄνθρωποι σκάπτοντες τὴν νέον ποιοῖεν, ἔφη, οὐκ εὔδηλον, ὅτι καὶ τούτους δίχα δεῖ ποιεῖν τὴν γῆν καὶ τὴν ὕλην; καὶ τὴν μέν γε ὕλην, ἔφην ἐγὼ, καταβάλλειν, ὡς αὐαίνηται ἐπιπολῆς, τὴν δὲ γῆν στρέφειν, ὡς ἡ ὠμὴ αὐτῆς ὀπτῷτο.

ΚΕΦ. ιζ'.

Περὶ μὲν τῆς νεοῦ ὁρᾷς, ἔφη, ὦ Σώκρατες, ὡς ἀμφοτέροις ἡμῖν ταὐτὰ δοκεῖ. δοκεῖ γὰρ οὖν, ἔφην ἐγώ. περί γε μέντοι τοῦ σπόρου ὥρας ἄλλο τι, ἔφη, ὦ Σώκρατες, γιγνώσκεις, ἢ τὴν ὥραν σπείρειν, ἧς πάντες μὲν οἱ πρόσθεν ἄνθρωποι

13. Tunc vero putas, inquit, aliter fieri ea poſſe potius, quam ſi quis ſæpiſſime per æſtatem terram invertat? Equidem accurate ſcio, inquam, nullo modo magis fieri, ut materia ſummo in ſolo appareat, & ab æſtu exſiccetur, ſolum vero à ſole torreatur; quam ſi quis terram æſtate media, atque etiam in meridie jumentis moveat.

14 Quod ſi homines fodiendo novalem faciant, ait, an non perſpicuum eſt, eos quoque ſolum à materia ſeparare debere? Ac materiam quidem, inquam ego, projicere, ut in agri ſuperficie areſcat; terram autem invertere, ut pars ejus cruda torreatur.

CAP. XVII.

De novali, inquit, vides mi Socrates, utrique noſtrum eadem videri. Videtur ſane, inquam ego. De ſementis autem tempore, num aliquid aliud ſtatuis, ait, mi Socrates; quam id ejus eſſe tempus, quod omnes ſuperiorum ætatum homines experti,

θρωποι πεῖραν λαβόντες, πάντες δὲ οἱ νῦν λαμβάνοντες, ἐγνώκασι κράτιστον εἶναι;

β'. Ἐπειδὰν γὰρ ὁ μετοπωρινὸς χρόνος ἔλθῃ, πάντες πού οἱ ἄνθρωποι πρὸς τὸν Θεὸν ἀποβλέπουσιν, ὁπότε βρέξας τὴν γῆν ἀφήσει αὐτοὺς σπείρειν. ἐγνώκασι δέ γ', ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, καὶ τὸ μὴ ἐν ξηρᾷ σπείρειν ἑκόντες εἶναι πάντες ἄνθρωποι, δηλονότι πολλαῖς ζημίαις παλαίσαντες οἱ πρὶν κελευσθῆναι ὑπὸ τοῦ Θεοῦ σπείροντες.

γ'. Οὐκοῦν ταῦτα μὲν, ἔφη ὁ Ἰσχόμαχος, ὁμογνωμονοῦμεν πάντες οἱ ἄνθρωποι. ἃ γὰρ ὁ Θεὸς διδάσκει, ἔφην ἐγώ, οὕτω γίγνεται ὁμονοεῖν. οἷον ἅμα πᾶσι δοκεῖ βέλτιον εἶναι, ἐν τῷ χειμῶνι παχέα ἱμάτια φορεῖν, ἢν δύνωνται· καὶ πῦρ κάειν ἅμα πᾶσι δοκεῖ, ἢν ξύλα ἔχωσιν.

δ'. Ἀλλ' ἐν τῷδε, ἔφη ὁ Ἰσχόμαχος, πολλοὶ ἤδη διαφέρονται, ὦ Σώκρατες, περὶ τοῦ σπόρου, πότερον ὁ πρώϊμος κράτιστος, ἢ ὁ μέσος, ἢ ὁ ὀψιμώτατος.

καὶ

perti, itidemque qui nunc vivunt, experiundo optimum esse animadverterunt?

2. Nam quum autumni tempus advenerit, homines omnes ad Deum respiciunt, quando terra irrigata seminandi potestatem eis facturus sit. Et sunt certe, inquam ego, mi Ischomache, omnes in ea sententia homines, ut sua quidem cum voluntate nequaquam arido in solo semen jaciant: nimirum quod multis cum damnis conflictati essent, qui prius sementem fecerant, quam jussi à Deo fuissent.

3. Ergo in his, inquit Ischomachus, omnium hominum eadem est sententia: Nimirum quæ Deus docet, inquam ego, in iis accidit, ut consentiamus. Verbi gratia, videtur omnibus melius esse, ut hyeme vestes crassiores, si quidem possint, homines gestent. Etiam tum statuunt omnes ignem accendendum esse, si ligna suppetant.

4. Verum in hoc, ait Ischomachus, valde diffident multi, mi Socrates, num optima sit sementis præcox, an media, an serotina.

Deus

καὶ ὁ Θεὸς (ἔφην ἐγὼ) οὐ τεταγμένως τὸ ἔτος ἄγει· ἀλλὰ τὸ μὲν τῷ πρωΐμῳ κάλλιστα, τὸ δὲ τῷ μέσῳ, τὸ δὲ τῷ ὀψιμωτάτῳ.

ε΄. Σὺ οὖν, ἔφη, ὦ Σώκρατες, πότερον ἡγῇ κρεῖττον εἶναι, ἑνὶ τούτων τῶν σπόρων χρῆσθαι ἐκλεξάμενον, ἐάν τε πολὺ, ἐάν τε ὀλίγον σπέρμα σπείρῃ τις, ἢ ἀρξάμενον ἀπὸ τοῦ πρωϊμωτάτου μέχρι τοῦ ὀψιμωτάτου σπείρειν;

ϛ΄. Καὶ ἐγὼ εἶπον· ἐμοὶ μὲν, ὦ Ἰσχόμαχε, δοκεῖ κράτιστον εἶναι παντὸς μετέχειν τοῦ σπόρου. πολὺ γὰρ νομίζω κρεῖττον εἶναι, ἀεὶ ἀρκοῦντα σῖτον λαμβάνειν, ἢ ποτὲ μὲν πάνυ πολὺν, ποτὲ δὲ μηδ᾽ ἱκανόν. καὶ τοῦτο τοίνυν σύ γε, ἔφη, ὦ Σώκρατες, ὁμογνωμονεῖς ἐμοὶ, ὁ μανθάνων τῷ διδάσκοντι, καὶ ταῦτα πρόσθεν ἐμοῦ τὴν γνώμην ἀποφαινόμενος.

ζ΄. Τί γάρ; ἔφην ἐγὼ, ἐν τῷ ῥίπτειν τὸ σπέρμα ποικίλη τέχνη ἔνεστι; πάντως, ἔφη, ὦ Σώκρατες, ἐπισκεψώμεθα καὶ τοῦτο. ὅτι μὲν γὰρ ἐκ τῆς χειρὸς δεῖ ῥίπτεσθαι

Deus ipſe, inquam ego, non eodem ordine annos vertit, ſed hic præcoci ſementi commodiſſimus eſt, ille mediæ, alius ſerotinæ.

5. Tu ergo, mi Socrates, ait, utrum ducis unam ex his ſementibus eligendam eſſe, ſive quis multum, ſive parum ſeminis jaciat: an facto à maxime præcoce initio, ſeminandum uſque ad maxime ſerotinam?

6. Tum ego: Mihi vero videtur, inquam, Iſchomache, optimum eſſe, ut omnis ſementis participes ſimus. Nam longe melius eſſe arbitror, ſemper tantum frumenti accipere, quantum ſatis ſit: quam aliquando admodum multum, aliquando ne tantum quidem, quantum ſufficiat. Ergo tu, ait, hac etiam in parte mecum eadem es in ſententia, mi Socrates, diſcipulus ſcilicet cum doctore, & quidem ante me, quid tui eſſet judicii, pronuntians.

7. Quid vero? inquam ego, num in ſemine jaciendo varia quædam ars ineſt? Omnino, mi Socrates, ait, hoc etiam conſideremus. Nam de manu quidem ſemen

ῥιπτεῖσθαι τὸ σπέρμα, καὶ σύ που οἶσθα, ἔφη. καὶ γὰρ ἑώρακα, ἔφην ἐγώ. ῥιπτεῖν δέ γε (ἔφη) οἱ μὲν ὁμαλῶς δύνανται, οἱ δ' οὔ. οὐκοῦν τοῦτο μὲν (ἔφην ἐγώ) ἤδη μελέτης δεῖται, ὥσπερ τοῖς κιθαρισταῖς ἡ χείρ, ὅπως δύνηται ὑπηρετεῖν τῇ γνώμῃ. πάνυ μὲν οὖν, ἔφη.

η'. Ἢν δέ γε ᾖ (ἔφη) ἡ γῆ ἡ μὲν λεπτοτέρα, ἡ δὲ παχυτέρα; τί τοῦτο (ἐγὼ ἔφην) λέγεις; ἆρά γε τὴν μὲν λεπτοτέραν, ὥσπερ ἀσθενεστέραν, τὴν δὲ παχυτέραν, ὥσπερ ἰσχυροτέραν. τοῦτ' (ἔφη) λέγω· καὶ ἐρωτῶ γέ σε, πότερον ἴσον ἂν ἑκατέρᾳ τῇ γῇ σπέρμα διδοίης, ἢ ποτέρᾳ ἂν πλεῖον.

θ'. Τῷ μὲν οἴνῳ (ἔφην ἔγωγε) νομίζω τῷ ἰσχυροτέρῳ πλεῖον ἐπιχεῖν ὕδωρ· καὶ ἀνθρώπῳ τῷ ἰσχυροτέρῳ πλεῖον βάρος, ἐὰν δέῃ τι φέρειν, ἐπιτιθέναι· κἂν δέῃ τρέφεσθαί τινας, τοῖς δυνατωτέροις τρέφειν ἂν τοὺς πλείους προστάξαιμι. εἰ δὲ ἡ ἀσθενὴς γῆ ἰσχυροτέρα (ἔφην ἐγὼ) γίγνεται, ἤν τις πλείονα καρπὸν αὐτῇ ἐμβάλῃ, ὥσπερ τὰ ὑποζύγια, τοῦτο σύ με δίδασκε.

ι'. Καὶ ὁ Ἰσχόμαχος γελάσας ἔφη· ἀλλὰ παί-

ζεις

ſemen eſſe projiciendum, opinor te quoque ſcire: Nimirum, inquam, hoc vidi. At projicere alii æqualiter poſſunt, ait; alii non poſſunt. Hoc igitur, inquam ego, indiget exercitatione, perinde ac citharædorum manus, ut inſervire voluntati animi poſſit. Omnino, inquit.

8. At ſi fuerit, ait, ſolum aliud tenuius, aliud denſius? Quid hoc, inquam, dicis? Num tenuius vocas quod eſt imbecillius, denſius autem, quod robuſtius? Hoc ipſum, inquit, dico. Atque adeo te interrogo, num ſeminis tantundem utrique ſolo mandaturus ſis, vel utri plus?

9. Equidem, inquam, vino fortiori plus aquæ adfundere ſoleo: & homini robuſtiori plus oneris, ſi quid portandum ſit, imponere: ac ſi qui ſint alendi, mandaturus ſim, ut plures alant ii, quibus facultates ſint majores. An vero ſolum imbecillum robuſtius fiat, inquam, ſi plus ei injiciatur frugum, perinde ac jumenta, doceto me.

10. Tum ſublato riſu Iſchomachus:

ζεις μὲν σύ γε, ἔφη, ὦ Σώκρατες. εὖ γε μέντοι ἴσθι, ἔφη, εἰ μὲν ἐμβαλὼν τὸ σπέρμα τῇ γῇ, ἔπειτα ἐν ᾧ πολλὴν ἔχει τροφὴν ἡ γῆ ἀπὸ τοῦ οὐρανοῦ, χλόης γενομένης ἀπὸ τοῦ σπέρματος, καταστρέψῃς αὐτὸ πάλιν, τοῦτο γίγνεται σῖτος τῇ γῇ, καὶ ὥσπερ ὑπὸ κόπρου ἰσχὺς αὐτῇ ἐγγίγνεται. ἢν μέντοι ἐκτρέφειν ἐᾷς τὴν γῆν διὰ τέλους τὸ σπέρμα εἰς καρπὸν, χαλεπὸν τῇ ἀσθενεῖ γῇ ἐς τέλος πολὺν καρπὸν ἐκφέρειν. καὶ συῒ δὲ ἀσθενεῖ χαλεπὸν πολλοὺς ἁδροὺς χοίρους ἐκτρέφειν.

ια'. Λέγεις σὺ, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, τῇ ἀσθενεστέρᾳ γῇ μεῖον δεῖν τὸ σπέρμα ἐμβαλεῖν; ναὶ μὰ Δί', ἔφη, ὦ Σώκρατες, καὶ σύ γε συνομολογεῖς λέγων, ὅτι νομίζεις τοῖς ἀσθενεστέροις πᾶσι μείω προστάττειν πράγματα.

ιβ'. Τοὺς δὲ δὴ σκαλέας, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, τίνος ἕνεκα ἐμβάλλετε τῷ σίτῳ; οἶσθα δήπου, ἔφη, ὅτι ἐν τῷ χειμῶνι πολλὰ ὕδατα γίγνεται. τί γὰρ οὐκ; ἔφην ἐγώ. οὐκοῦν θῶμεν τοῦ σίτου καὶ κατακρυφθῆναί τινα ὑπ' αὐτῶν, ἰλύος ἐπιχυθείσης, καὶ ψιλωθῆναί τινας ῥίζας ὑπὸ ῥεύματος.

καὶ

chus: Ludis tu quidem, Socrates, ait. Verum hoc ſcias velim, ſi jacto aliquo in terram ſemine, deinceps ubi multum è cœlo nutrimenti ſolum habuerit, herba de ſemine enata rurſus ſolum aratro inverteris: futurum id ſolo pabuli loco, ac tanquam de ſtercore robur ei accedet. Quod ſi autem ſolum de ſemine prorſus fruges producere ſinas, difficile eſt ſolo imbecillo multum frugum tandem producere: ſicut & imbecillæ ſui difficile eſt multos porcellos majuſculos alere.

11. An tu hoc dicis, inquam, Iſchomache, ſolo imbecilliori minus ſeminis mandandum eſſe? Ita profecto, mi Socrates, inquit, tuque adeo fateris hoc, qui dicis, ſolere te omnibus imbecillioribus minus negotiorum imponere.

12. At ſarcula, inquam ego, quamobrem frugibus immittitis, Iſchomache? An ſcis, inquit, hiemis tempore magnam eſſe aquarum copiam? Cur non? inquam ego. Ponamus ergo fruges aliquas ab his tegi, infuſo limo, ac radices quaſdam nudari à fluxione.

Non-

καὶ ὕλη δὲ πολλάκις ὑπὸ τῶν ὑδάτων δήπου συνεξορμᾷ τῷ σίτῳ, καὶ παρέχει πνιγμὸν αὐτῷ. πάντα (ἔφην ἐγὼ) εἰκὸς ταῦτα γίγνεσθαι.

ιγ'. Οὐκοῦν δοκεῖ σοι (ἔφη) ἐνταῦθα ἤδη ἐπικουρίας τινὸς δεῖσθαι ὁ σῖτος; πάνυ μὲν οὖν, ἔφην ἐγώ. τῷ οὖν καταλυθέντι τί ἂν ποιοῦντες δοκοῦσιν ἄν σοι ἐπικουρῆσαι; ἐπικουφίσαντες (ἔφην ἐγὼ) τὴν γῆν. τί δὲ (ἔφη) τῷ ἐψιλωμένῳ τὰς ῥίζας; ἀντιπροσαμησάμενοι τὴν γῆν, ἔφην ἐγώ.

ιδ'. Τί γὰρ, ἔφη, ἢν ὕλη πνίγῃ συνεξορμῶσα τῷ σίτῳ, καὶ διαρπάζουσα τοῦ σίτου τὴν τροφὴν, ὥσπερ οἱ κηφῆνες διαρπάζουσιν, ἀχρεῖοι ὄντες, τῶν μελισσῶν, ἃ ἂν ἐκεῖναι ἐργασάμεναι τροφὴν καταθῶνται; ἐκκόπτειν ἂν διὰ τὴν τροφὴν, ἔφην ἐγὼ, δέοι τὴν ὕλην, ὥσπερ τοὺς κηφῆνας ἐκ τῶν σμηνῶν ἀφαιρεῖν.

ιε'. Οὐκοῦν, ἔφη, εἰκότως σοὶ δοκοῦμεν ἐμβαλεῖν τοὺς σκαλέας; πάνυ γε. ἀτὰρ ἐνθυμοῦμαι, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, οἷόν ἐστι τὸ εὖ τὰς εἰκόνας ἐπάγεσθαι. πάνυ γὰρ σύ

με

Nonnunquam & materia per aquas una cum frugibus erumpit, easque suffocat. Hæc, inquam, omnia fieri consentaneum est.

13. An non igitur, ait, heic tibi fruges ope quadam egere videntur? Omnino, inquam. Quid autem agendo videntur tibi oppressis limo succurrere posse? Si solum, inquam, levius fecerint. Quid illis, quibus radices nudatæ sunt? Terram vicissim aggerendo, inquam.

14. Quid si materia cum frugibus enata eas suffocet, nutrimentumque illis eripuerit, quemadmodum fuci prorsus inutiles deripiunt ea, quæ apes pro nutrimento sibi elaborata reposuerunt? Oportet, inquam ego, propter nutrimentum frugum excidi materiam illam, quemadmodum fucos ex alvearibus ejici necesse est.

15. Ergone tibi, inquam, ratione quadam consentanea videmur sarcula frugibus immittere? Omnino. Verum equidem cum animo meo cogito, inquam, Ischomache, quale quiddam sit, apte similitudines applicare. Nam

tu

με ἐξώργισας περὶ τῆς ὕλης, τοὺς κηφῆνας εἰπών, πολὺ μᾶλλον, ἢ ὅτε περὶ αὐτῆς τῆς ὕλης ἔλεγες.

ΚΕΦ. ιη΄.

Ἀτὰρ οὖν (ἔφην ἐγὼ) ἐκ τούτου ἄρα θερίζειν εἰκός. Δίδασκε οὖν (εἶπε) εἰ ἔχεις με καὶ εἰς τοῦτο. Ἢν μή γε φανῇς (ἔφη) καὶ εἰς τοῦτο ταὐτὰ ἐμοὶ ἐπιστάμενος. ὅτι μὲν οὖν τέμνειν τὸν σῖτον δεῖ, οἶσθα. τί δ' οὐ μέλλω; ἔφην ἐγώ. πότερα οὖν τέμνεις (ἔφη) στὰς ἔνθα πνεῖ ἄνεμος, ἢ ἀντίος; Οὐκ ἀντίος, ἔφην ἔγωγε. χαλεπὸν γάρ, οἶμαι, καὶ τοῖς ὄμμασι καὶ ταῖς χερσὶ γίγνεται ἀντίον ἀχύρων καὶ ἀθέρων θερίζειν.

β΄. Καὶ ἀκροτομοίης δ' ἄν, ἔφη, ἢ παρὰ γῆν τέμνοις; Ἢν μὲν βραχὺς ᾖ ὁ κάλαμος τοῦ σίτου, ἔγωγ' ἔφην, κάτωθεν ἂν τέμνοιμι, ἵνα ἱκανὰ τὰ ἄχυρα μᾶλλον γίγνηται. ἐὰν δὲ ὑψηλὸς ᾖ, νομίζω ὀρθῶς ἂν ποιεῖν μεσο-

tu valde me ad iram adversus materiam commovisti, posteaquam fecisti fucorum mentionem, multo certe magis, quam quum de ipsa materia diceres.

CAP. XVIII.

SEd enim, inquam, ab hoc jam tempore fruges erunt demetendæ. Quamobrem si quid habes hac etiam in parte, doceto me. Nisi quidem, ait, appareat heic etiam eadem te scire, quæ mihi cognita sunt: fruges quidem resecandas esse nosti. Quid ni nossem? inquam. Num igitur eas ita resecas, ut stes ubi ventus spirat, inquit, an contra ventum? Non certe contra hunc, inquam. Nam & oculis & manibus molestia quædam exhibetur, si quis adversus paleas & aristas metat.

2. Num item malis summos culmos præcidere, an prope terram? Si brevis, inquam, sit culmus, equidem inferius abscinderem, ut palearum majorem copiam consequerer: at si procerus, recte me facturum arbitror, si eum in me-

μεσοτομῶν, ἵνα μήτε οἱ ἀλοῶντες μοχθῶσι περιττὸν πόνον, μήτε οἱ λικμῶντες, ὧν οὐδὲν προσδέονται. τό,τε ἐν τῇ γῇ λειφθὲν ἡγοῦμαι καὶ κατακαυθὲν συνωφελεῖν ἂν τὴν γῆν, καὶ εἰς κόπρον ἐμβληθὲν τὴν κόπρον συμπληθύνειν.

γʹ. Ὁρᾷς, ἔφη, ὦ Σώκρατες, ὡς ἁλίσκῃ ἐπ' αὐτοφώρῳ καὶ περὶ θερισμοῦ εἰδὼς ἅπερ ἐγώ; κινδυνεύω, ἔφην ἐγώ, καὶ βούλομαί γε σκέψασθαι, εἰ καὶ ἀλοᾶν ἐπίσταμαι.

δʹ. Οὐκοῦν (ἔφη) τοῦτο μὲν οἶσθα, ὅτι ὑποζύγια ἀλοᾶσι τὸν σῖτον. τί δ' οὐχ; ἔφην ἐγώ. οἶσθα καὶ ὑποζύγιά τε πάντα καλούμενα ὁμοίως, βοῦς, ἡμιόνους, ἵππους. Οὐκοῦν (ἔφη) ταῦτα μὲν ἡγῇ τοσοῦτο μόνον εἰδέναι, πατεῖν τὸν σῖτον ἐλαυνόμενα; τί γὰρ ἂν ἄλλο, ἔφην ἐγώ, ὑποζύγια εἰδείη;

εʹ. Ὅπως δὲ ὃ δεόμενον κόψουσι, καὶ ὁμαλιεῖται ὁ ἀλοητὸς, τίνι τοῦτο, ὦ Σώκρατες; ἔφη. δῆλον ὅτι (ἔφην ἐγώ) τοῖς ἐπαλωσταῖς. στρέφοντες γὰρ καὶ ὑπὸ τοὺς πόδας ὑποβάλλοντες τὰ ἄτριπτα ἀεὶ, δηλονότι μάλι-

medio resecem; ut neque triturantibus labor supervacaneus addatur, neque ventilantibus. Quod item in solo relictum est, arbitror exustum aliquam solo utilitatem afferre: & in fimum conjectum, eum ipsum aucturum.

3. Vides, inquit, mi Socrates, quo pacto tanquam in ipso facinore deprehendaris, quippe qui etiam de messe scias eadem quæ ego? Videor sane, inquam, & considerare lubet, num etiam triturandi rationem teneam.

4. Scis igitur, ait, jumenta ad trituram adhiberi. Quid ni? inquam. Nosti etiam omnia pariter appellari jumenta, boves, mulos, equos. Atque hæc existimas nihil aliud scire; nisi inter agendum frumenta calcare? Quid enim aliud, inquam ego, scire possint jumenta?

5. Ut autem comminuatur id quod comminui debet, atque tritura fiat æquabilis, cuinam, mi Socrates, hoc tribuis? ait. Haud dubie, inquam, trituratoribus. Nam & invertendo, & subjiciendo pedibus ea quæ necdum trita sunt,

μάλιστα ὁμαλίζοιεν ἂν τὸ δεινόν, καὶ τάχιστα ἀνύτοιεν. Ταῦτα μὲν τοίνυν, ἔφη, οὐδὲν ἐμοῦ λείπῃ γιγνώσκων.

ϛ'. Οὐκοῦν, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, ἐκ τούτου δὴ καθαροῦμεν τὸν σῖτον λικμῶντες· καὶ λέξον γέ μοι, ὦ Σώκρατες, ἔφη ὁ Ἰσχόμαχος, εἰ οἶσθα, ὅτι ἢν ἐκ τοῦ προσηνέμου μέρους τῆς ἅλω ἄρχῃ, δι' ὅλης τῆς ἅλω οἴσεταί σοι τὰ ἄχυρα; ἀνάγκη γάρ, ἔφην ἐγώ.

ζ'. Οὐκοῦν εἰκὸς καὶ ἐπιπίπτειν (ἔφη) αὐτὰ ἐπὶ τὸν σῖτον. πολὺ γάρ ἐστιν, ἔφην ἐγώ, τὸ ὑπερενεχθῆναι τὰ ἄχυρα ὑπὲρ τὸν σῖτον εἰς τὸ κενὸν τῆς ἅλω. ἢν δέ τις (ἔφη) λικμᾷ ἐκ τοῦ ὑπηνέμου ἀρχόμενος, δῆλον (ἔφην ἐγώ) ὅτι εὐθὺς ἐν τῇ ἀχυροδόκῳ ἔσται τὰ ἄχυρα.

η'. Επειδὰν δὲ καθάρῃς (ἔφη) τὸν σῖτον μέχρι τοῦ ἡμίσεως τῆς ἅλω, πότερον εὐθὺς οὕτω κεχυμένου τοῦ σίτου λικμήσεις τὰ ἄχυρα τὰ λοιπά, ἢ συνώσας τὸν καθαρὸν πρὸς * τὸν πόλον ὡς εἰς στενότατον; συνώσας

νὴ

ſunt, ſemper ſcilicet id, quod horridum eſt, egregie exæquaverint, remque maturime confecerint. In his ergo, ait, nihil eſt quod tu minus quam ego, ſcias.

6. Secundum hæc, mi Iſchomache, inquam ego, ventilando frumentum purgamus. Tu vero mihi dicito, mi Socrates, ait Iſchomachus, num ſcias futurum, ut ſi ab ea parte areæ incipias, qua ventus allabitur, paleæ per aream univerſam ſpargantur? Nimirum ita fieri neceſſe eſt, inquam ego.

7. Ergo etiam eſt conſentaneum, ait, eas in frumentum incidere? Multum ſcilicet fuerit, inquam, paleas ſupra frumentum in partem areæ vacuam deferri. Quid ſi quis, ait, ventilandi faciat initium à loco, qui adverſus ſit à vento? Perſpicuum eſt, inquam, paleas mox in ſuo receptaculo fore.

8. Verum ubi jam purgaveris, ait, frumentum uſque ad areæ dimidium, num perges ita reliquas paleas eventilare frumento diffuſo, an parte purgata retro quam artiſſimo loco congeſta? Congeſto,

ſto,

νὴ Δί᾽ (ἔφην ἐγὼ) τὸν καθαρὸν σῖτον, ἵν᾽ ὑπερφέρηταί μοι τὰ ἄχυρα εἰς τὸ κενὸν τῆς ἅλω, καὶ μὴ δὶς ταὐτὰ ἄχυρα δέῃ λικμᾶν.

θ´. Σὺ μὲν δὴ ἄρα, ἔφη, ὦ Σώκρατες, σῖτόν γε ὡς ἂν τάχιστα καθαρὸς γένοιτο, κἂν ἄλλον δύναιο διδάσκειν. Ταῦτα τοίνυν (ἔφην ἐγὼ) ἐλελήθειν ἐμαυτὸν ἐπιστάμενος καὶ πάλαι. ἐννοῶ ἄρα, εἰ λέληθα καὶ χρυσοχοεῖν, καὶ αὐλεῖν, καὶ ζωγραφεῖν ἐπιστάμενος. ἐδίδαξε γὰρ οὔπω ταῦτά με οὐδεὶς, οὔτε γεωργεῖν. ὁρῶ δὲ, ὥσπερ γεωργοῦντας, καὶ τὰς ἄλλας τέχνας ἐργαζομένους ἀνθρώπους.

ι´. Οὐκοῦν, ἔφη ὁ Ἰσχόμαχος, ἔλεγον ἐγώ σοι πάλαι, ὅτι καὶ ταύτῃ εἴη γενναιοτάτη ἡ γεωργικὴ τέχνη, ὅτι καὶ ῥᾴστη ἐστὶ μαθεῖν. ἄγε δὴ, ἔφην ἐγὼ, οἶδα, Ἰσχόμαχε. τὰ μὲν δὴ ἀμφὶ σπόρον ἐπιστάμενος, ἄρα ἐλελήθειν ἐμαυτὸν ἐπιστάμενος.

ΚΕΦ.

sto, inquam, frumento purgato, ut paleæ ultra ipsum in partem areæ vacuam ferantur, ac non bis easdem eventilari paleas necesse sit.

9. Profecto tu, mi Socrates, ait, quo pacto frumentum purgari quam primum possit, vel alium docere queas. At equidem, inquam ego, ignorabam me scire, & quidem jam dudum. Quamobrem in mentem mihi venit, an etiam ignorem ipse, me & auri fundendi, & canendi tibia, & pingendi peritum esse. Nam hæc nemo me docuit, uti nec agri colendi rationem. Video autem homines ita, ut agros colunt; etiam artes alias exercere.

10. Idcirco, ait Ischomachus, jamdudum dicebam tibi, hac etiam in parte agri colendi artem longe generosissimam esse, quod ad discendum sit facillima. Age vero, inquam, novi, mi Ischomache. Nam quum mihi de faciunda semente constaret, ignorabam ipse cognitum id mihi esse.

CAP.

ΚΕΦ. ιθ΄.

ΕΣΤΙΝ οὖν (ἔφην ἐγὼ) τῆς γεωργικῆς τέχνης καὶ ἡ τῶν δένδρων φυτεία; ἔστι γὰρ οὖν, ἔφη ὁ Ἰσχόμαχος. πῶς ἂν οὖν (ἔφην ἐγὼ) τὰ μὲν ἀμφὶ τὸν σπόρον ἐπισταίμην, τὰ δ᾽ ἀμφὶ τὴν φυτείαν οὐκ ἐπίσταμαι;

β΄. Οὐ γὰρ σὺ (ἔφη ὁ Ἰσχόμαχος) ἐπίστασαι; πῶς; ἐγὼ ἔφην· ὅστις μήτ᾽ ἐν ὁποίᾳ τῇ γῇ δεῖ φυτεύειν οἶδα, μήτε ὁπόσον βάθος ὀρύττειν τὸ φυτὸν, μήτε ὁπόσον πλάτος, μήτε ὁπόσον μῆκος τὸ φυτὸν ἐμβαλεῖν, μήτε ὅπως ἂν ἐν τῇ γῇ κείμενον τὸ φυτὸν μάλιστ᾽ ἂν βλαστάνοι.

γ΄. Ἴθι δὴ, ἔφη ὁ Ἰσχόμαχος, μάνθανε ὅ,τι μὴ ἐπίστασαι. βοθύνοις μὲν γὰρ, οἵοις ὀρύττουσι τοῖς φυτοῖς, οἶδ᾽ ὅτι ἑώρακας, ἔφη. καὶ πολλάκις, ἔγωγε ἔφην. ἤδη τινὰ οὖν αὐτῶν εἶδες βαθύτερον τριπόδου; οὐδὲ μὰ Δί᾽ (ἔγωγ᾽ ἔφην) πενθημιποδίου. τί δέ; τὸ πλάτος ἤδη τινὰ

τριπόδου

CAP. XIX.

NUm igitur, inquam, ad artem agriculturæ pertinet etiam arborum consitio? Pertinet sane, ait Ischomachus. Qui ergo, inquam ego, quæ ad sementem faciendam pertinent scio, quum consitionis imperitus sim?

2. Tu vero, inquit Ischomachus, non ejus peritus es? Quo pacto? inquam, qui neque in cujusmodi solo consitio fieri debeat, novi; neque quam ad altitudinem infodi id, quod conseritur; neque ad quam latitudinem, neque quanta longitudine in terram demitti, neque quo potissimum pacto collocari, ut facillime frondescat.

3. Age vero, inquit Ischomachus, disce quod nescis. Vidisse autem scio te scrobes, quas plantis fodiunt. Sæpe quidem, inquam. Num igitur vidisti unquam altiorem tribus pedibus? Non altiorem vidi, inquam ego, pedibus duobus ac semisse. Quid autem? nunquam vidisti aliquando, cujus latitudo tres pedes excederet?

τριπόδου πλέον εἶδες; οὐδὲ μὰ Δί᾽ (ἔφην ἐγὼ) διπόδου.

δ΄. Ἴθι δὴ (ἔφη) καὶ τόδε ἀπόκριναί μοι, ἤδη τινὰ εἶδες τὸ βάθος ἐλάττονα ★ διποδιαίου; οὐδὲ μὰ Δί᾽ (ἔφην ἔγωγε) τριημιποδίου. καὶ γὰρ ἐξορύττοιτο ἂν σκαπτόμενα (ἔφην ἐγὼ) τὰ φυτά, εἰ λίαν γε οὕτως ἐπιπολῆς πεφυτευμένα εἴη.

ε΄. Οὐκοῦν τοῦτο μέν, ἔφη, ὦ Σώκρατες, ἱκανῶς οἶσθα, ὅτι οὔτε βαθύτερον πενθημιποδίου ὀρύττουσιν, οὔτε βραχύτερον τριημιποδίου. ἀνάγκη γὰρ (ἔφην ἐγὼ) τοῦτο ὁρᾶσθαι, οὕτω καταφανὲς ὄν.

ϛ΄. Τί δέ, ἔφη, ξηροτέραν καὶ ὑγροτέραν γῆν γιγνώσκεις ὁρῶν; ξηρὰ μὲν γοῦν μοι δοκεῖ, ἔφην ἐγώ, εἶναι ἡ περὶ τὸν Λυκαβηττόν, καὶ ἡ ταύτῃ ὁμοία· ὑγρὰ δέ, ἡ ἐν τῷ Φαληρικῷ ἕλει, καὶ ἡ ταύτῃ ὁμοία.

ζ΄. Πότερα οὖν (ἔφη) ἐν τῇ ξηρᾷ ἂν βαθὺν ὀρύσσοις βόθρον τῷ φυτῷ, ἢ ἐν τῇ ὑγρᾷ; ἐν τῇ ξηρᾷ,

νὴ

cederet? Immo non ſupra pedes duos, inquam.

4. Age vero, inquit, etiam hoc mihi reſpondeto, num quam vidiſti ſcrobem, quæ pedem unum profunda non eſſet? Immo ne pedis quidem unius & ſemiſſis, inquam ego. Nam plantæ inter paſtinandum effoderentur, ſi quidem uſque adeo in ſumma ſoli ſuperficie conſertæ eſſent.

5. Ergo tu hoc, mi Socrates, inquit, ſatis noſti: non effodi ſcrobes pedibus duobus ac ſemiſſe profundiores, nec minus profundas pede uno cum ſemiſſe. Nimirum id, inquam ego, oculis conſpici neceſſe eſt, quum adeo ſit manifeſtum.

6. Quid vero? ait, num intuendo terram ſicciorem & humidiorem agnoſcis? Siccum mihi videtur, inquam, eſſe ſolum propter Lycabettum, & ſi quod aliud huic eſt ſimile. Humidum vero, quod eſt in palude Phalerica, & ſi quod illi ſimile eſt.

7. Utrum igitur in arido ſolo profundam plantæ ſcrobem foderes, an in humido? Profecto in arido,

νὴ Δί', ἔφην ἐγώ. ἐπεὶ ἔν γε τῇ ὑγρᾷ ὀρύττων βαθὺ, ὕδωρ ἂν εὑρίσκοις, καὶ οὐκ ἂν δύναιο ἔτι ἐν ὕδατι φυτεύειν. καλῶς μοι δοκεῖς (ἔφη) λέγειν. οὐκοῦν ἐπειδὰν ὀρωρυγμένοι ὦσιν οἱ βόθροι, ὁπηνίκα δεῖ τιθέναι ἑκάτερα τὰ φυτὰ, ἤδη εἶδες. μάλιστα, ἔφην ἐγώ.

η'. Σὺ οὖν βουλόμενος ὡς τάχιστα φῦσαι αὐτὰ, πότερον ὑποβαλὼν ἂν τῆς γῆς εἰργασμένης οἴει τὸ βλαστὸν τοῦ κλήματος θᾶττον χωρεῖν διὰ τῆς μαλακῆς, ἢ διὰ τῆς ἀργοῦ εἰς τὸ σκληρόν; δῆλον, ἔφην ἐγὼ, ὅτι διὰ τῆς εἰργασμένης θᾶττον ἂν, ἢ διὰ τῆς ἀργοῦ βλαστάνοι.

θ'. Οὐκοῦν ὑποβλητέα ἂν εἴη τῷ φυτῷ γῆ. τί δ' οὐ μέλλει; ἔφην ἐγώ. πότερα δὲ ὅλον τὸ κλῆμα ὀρθὸν τιθεὶς πρὸς τὸν οὐρανὸν βλέπον ἡγῇ μᾶλλον ἂν ῥιζοῦσθαι αὐτὸ, ἢ καὶ πλάγιόν τι ὑπὸ τῇ ὑποβεβλημένῃ γῇ θείης ἂν, ὥστε κεῖσθαι ὥσπερ γάμμα ὕπτιον;

ι'. Οὕτω νὴ Δία· πλείονες γὰρ ἂν οἱ ὀφθαλμοὶ κατὰ γῆς εἶεν. ἐκ δὲ τῶν ὀφθαλμῶν καὶ ἄνω ὁρῶ βλαστάνοντα τὰ φυτά. καὶ τοὺς

arido, inquam. Nam ſi fodias in humido ſcrobem altam, aquam invenies, neque poteris amplius in aqua plantam conſerere. Recte mihi dicere videris, ait. Ergo tu, quum effoſſæ ſcrobes fuerint, quando utræque plantæ collocandæ ſint, jam vidiſti. Maxime, inquam ego.

8. Quum igitur eas quam celerrime vis enaſci, num germen ſurculi, ſubjectum ſolo culto, citius exiſtimas, per mollem terram penetrare, an per duritiem incultæ? Patet, inquam ego, citius id per cultum quam per incultum ſolum pullulare.

9. Erit igitur, inquit, plantæ terra ſubjicienda. Quid ni? inquam. Utrum vero, ſi totum ſurculum rectum ſtatuas, ut ad cœlum ſpectet, magis eum radices acturum arbitraris, an vero ſi obliquum nonnihil ſub terra ſubjecta depoſueris, ut inſtar litteræ Gamma ſupinæ jaceat?

10. Sic eſt profecto, inquam. Plures enim hoc modo ſub terra fuerint oculi, de quibus plantas ſurſum enaſci video. Quamobrem

τοὺς κατὰ τῆς γῆς οὕτω ὀφθαλμοὺς ἡγοῦμαι τὸ αὐτὸ τοῦτο ποιεῖν. πολλῶν γὰρ φυομένων βλαστῶν τῆς γῆς, ταχὺ ἂν καὶ ἰσχυρὸν τὸ φυτὸν ἡγοῦμαι βλαστάνειν.

ια΄. Κατὰ ταυτὰ τοίνυν (ἔφη) καὶ περὶ τούτων γιγνώσκων ἐμοὶ τυγχάνεις. ἐπαμήσαιο δ᾽ ἂν μόνον (ἔφη) τὴν γῆν, ἢ καὶ σάξαις ἂν εὖ μάλα περὶ τὸ φυτόν; σάττοιμ᾽ ἂν (ἔφην) νὴ Δί᾽ ἐγώ. εἰ μὲν γὰρ μὴ σεσαγμένον εἴη, ὑπὸ μὲν τοῦ ὕδατος εὖ οἶδ᾽ ὅτι πηλὸς ἂν γίγνοιτο ἡ ἄσακτος γῆ, ὑπὸ δὲ τοῦ ἡλίου ξηρὰ μέχρι βυθοῦ, ὥστε τὰ φυτὰ κίνδυνον ὑπὸ μὲν τοῦ ὕδατος σήπεσθαι μὲν δι᾽ ὑγρότητα, αὐαίνεσθαι δὲ διὰ ξηρότητα, ἤγουν χαυνότητα τῆς γῆς, θερμαινομένων τῶν ῥιζῶν.

ιβ΄. Καὶ περὶ ἀμπέλων ἄρα σύ γε (ἔφη) φυτείας, ὦ Σώκρατες, τὰ αὐτὰ ἐμοὶ πάντα γιγνώσκων τυγχάνεις. ἦ καὶ συκῆν (ἔφην ἐγὼ) οὕτω δεῖ φυτεύειν; οἶμαι δ᾽, ἔφη ὁ Ἰσχόμαχος, καὶ τἄλλα ἀκρόδρυα πάντα. τῶν γὰρ ἐν τῇ τῆς ἀμπέλου φυτείᾳ καλῶς ἐχόντων, τί ἂν ἀποδοκιμάσαις εἰς τὰς ἄλλας φυτείας;

ιγ΄. Ἐλαίαν

rem exiſtimo etiam oculos, qui ſub terra ſunt, idem facere. Quippe quum multa germina enaſcantur de terra, puto celeriter plantam pullulare.

11. Quapropter tu de his etiam, ait, idem quod ego intelligis. Utrum vero terram duntaxat aggeſſeris, an etiam bene circum plantam compreſſeris? Profecto comprimerem, inquit. Etenim niſi compreſſa ſit, ſat ſcio ſolum non compreſſum propter aquam inſtar luti futurum, ac per ſolem ad imum uſque ſiccum. Itaque periculum eſſet, ne plantæ ab aqua propter humoris copiam putreſcerent: propter ſiccitatem vero, ſive laxitatem terræ, radicibus calefactis exareſcerent.

12. Itaque de vitium quoque, mi Socrates, conſitione nihil non, quod mihi cognitum ſit, intelligis. Num & ficus, inquam, ſic erit conſerenda? Sic arbitror, ait Iſchomachus, atque etiam arbores frugiferas omnes ita conſerendas eſſe. Nam quæ in vitium conſitione recte conveniunt, cur in aliis conſitionibus improbes?

13. At

ιγ'. Ἐλαίαν δὲ πῶς (ἔφην ἐγώ) φυτεύομεν, ὦ Ἰσχόμαχε. ἀποπειρᾷ μου καὶ τοῦτο (ἔφη) μάλιστα πάντων ἐπιστάμενος. ὁρᾷς μὲν γὰρ δή, ὅτι βαθύτερος ὀρύσσεται τῇ ἐλαίᾳ βόθρος· καὶ γὰρ παρὰ τὰς ὁδοὺς μάλιστα ὀρύσσεται. ὁρᾷς δέ, ὅτι πρέμνα πᾶσι τοῖς φυτευτηρίοις πρόσεστιν. ὁρᾷς δ' (ἔφη) τῶν φυτῶν πηλὸν ταῖς κεφαλαῖς πάσαις ἐπικείμενον, καὶ πάντων τῶν φυτῶν ἐστεγασμένον τὸ ἄνω. ὁρῶ, ἔφην ἐγώ, ταῦτα πάντα.

ιδ'. Καὶ ὁρῶν δή, ἔφη, τί αὐτῶν οὐ γιγνώσκεις; ἢ τὸ ὄστρακον ἀγνοεῖς, ἔφη, ὦ Σώκρατες, πῶς ἂν ἐπὶ τοῦ πηλοῦ ἄνω καταθείης; μὰ τὸν Δί', ἔφην ἐγώ, οὐδὲν ὧν εἶπας, ὦ Ἰσχόμαχε, ἀγνοῶ. ἀλλὰ πάλιν ἐννοῶ, τί ποτε, ὅτε πάλιν ἤρου με συλλήβδην, εἰ ἐπίσταμαι φυτεύειν, οὐκ ἔφην. οὐ γὰρ ἐδόκουν ἔχειν ἂν εἰπεῖν οὐδὲν ἧ δεῖ φυτεύειν. ἐπεὶ δέ με καθ' ἓν ἕκαστον ἐπεχείρησας ἐρωτᾶν, ἀποκρίνομαί σοι, ὡς σὺ φῄς, ἅπερ σὺ γιγνώσκεις, ὁ δεινὸς λεγόμενος γεωργός.

ιε'. Ἆρα,

13. At oleam, inquam ego, quo pacto conferemus? Hac etiam in parte me tentas, ait, quum rectiſſime rem intelligas. Nam vides ſane profundiorem oleæ ſcrobem fodi, quod maxima ex parte ad vias fodiatur. Vides & in omnibus ſeminariis eſſe ſtipites. Vides plantarum omnibus capitibus cœnum imponi, & partes in omnibus plantis ſummas eſſe tectas. Hæc omnia video, inquam.

14. At quum videas, ait, quid eorum tibi cognitum non eſt? Num ignoras, mi Socrates, ait, quo pacto ſupra cœnum teſta collocetur? Nihil iſtorum profecto, inquam, Iſchomache, quæ commemoraſti, ignoro. Sed rurſus mecum ipſe cogito, quamobrem quum tu me ſummatim interrogares, an conſerendi rationem tenerem, id negaverim. Non enim videbar dicere poſſe, quo pacto conſitio fiat. Verum idem poſteaquam ſingillatim interrogare me cœpiſti, ea reſpondeo tibi, quemadmodum ais, quæ tu ipſe ſcis, qui quidem inſigniter agriculturæ peritus eſſe perhiberis.

ιε'. Ἆρα, ἔφην, ὦ Ἰσχόμαχε, ἡ ἐρώτησις διδασκαλία ἐστίν; ἄρτι γὰρ δὴ (ἔφην ἐγὼ) καταμανθάνω ᾗ με ἐπηρώτησας ἕκαστα. ἄγων γάρ με δι' ὧν ἐγὼ ἐπίσταμαι, καὶ ὅμοια τούτοις ἐπιδεικνὺς, ἃ οὐκ ἐνόμιζον ἐπίστασθαι, ἀναπείθεις, οἶμαι, ὡς καὶ ταῦτα ἐπίσταμαι.

ιϛ'. Ἆρ' οὖν, ἔφη ὁ Ἰσχόμαχος, καὶ περὶ ἀργυρίου ἐρωτῶν ἄν σε, πότερον καλὸν ἢ οὔ, δυναίμην ἄν σε πεῖσαι ὡς ἐπίστασαι διαδοκιμάζειν τὰ καλὰ καὶ τὰ κίβδηλα ἀργύρια; καὶ περὶ αὐλητῶν ἐρωτῶν ★ μὴ δυναίμην ἀναπεῖσαι, ὡς ἐπίστασαι αὐλεῖν; καὶ περὶ ζωγράφων καὶ τῶν ἄλλων τοιούτων; ἴσως ἄν, ἔφην ἐγώ. ἐπειδὴ καὶ γεωργεῖν ἀνέπεισάς με, ὡς ἐπιστήμων εἴην, καίτοι εἰδότα, ὅτι οὐδεὶς πώποτέ με ἐδίδαξε ταύτην τὴν τέχνην.

ιζ'. Οὐκ ἔστι ταῦτ', ἔφη, ὦ Σώκρατες· ἀλλ' ἐγὼ καὶ πάλαι σοι ἔλεγον, ὅτι ἡ γεωργία οὕτω φιλάνθρωπός ἐστι καὶ πρᾳεῖα τέχνη, ὥστε καὶ ὁρῶντας καὶ ἀκούοντας ἐπιστήμονας εὐθὺς ἑαυτῆς ποιεῖν.

ιη'. Πολ-

15. Num, inquam, Iſchomache, interrogatio quædam eſt doctrina? Nam modo animadverto, quo pacto de ſingulis ex me quæſiveris. Etenim dum me per nota ducis, atque his conſimilia commonſtras, quæ me putabam ignorare, perſuades, ut opinor, etiam illa me ſcire.

16. An igitur, ait Iſchomachus, ſi etiam de argento te interrogem, bonum ſit, necne; perſuadere te poſſim, noſſe te rationem explorandi bonos & adulterinos nummos? Itidem de tibicinibus ſi te rogem, num perſuadere poſſim, ſcire te rationem canendi tibiis? itemque de pictoribus & aliis hujuſmodi? Fortaſſis, inquam ego, quando tu me perſuaſiſti, peritum me agri colendi eſſe, quanquam ſciam hanc artem nullum unquam me docuiſſe.

17. Nihil horum eſt, inquit, mi Socrates. Immo jampridem dicebam tibi, tantam eſſe erga homines agriculturæ benignitatem, tamque mitem hanc artem eſſe; ut videntes & audientes ſtatim peritos ſui efficiat.

18. Multa

ιη'. Πολλὰ δ' (ἔφη) καὶ αὐτὴ διδάσκει, ὡς ἂν κάλλιστά τις αὐτῇ χρῷτο. αὐτίκα ἄμπελος ἀναβαίνουσα μὲν ἐπὶ τὰ δένδρα, ὅταν ἔχῃ τι πλησίον δένδρον, διδάσκει ἱστάναι αὐτήν. περιπεταννῦσα δὲ τὰ οἴναρα, ὅταν ἔτι αὐτῇ ἁπαλοὶ οἱ βότρυες ὦσι, διδάσκει σκιάζειν τὰ ἡλιούμενα ταύτην τὴν ὥραν.

ιθ'. Ὅταν δὲ καιρὸς ᾖ ὑπὸ τοῦ ἡλίου ἤδη γλυκαίνεσθαι τὰς σταφυλὰς, φυλλορροοῦσα διδάσκει ἑαυτὴν ψιλοῦν, καὶ πεπαίνειν τὴν ὀπώραν. διὰ πολυφορίαν δὲ τοὺς μὲν πέπονας δεικνύουσα βότρυς, τοὺς δὲ ἔτι ὠμοτέρους φέρουσα, διδάσκει τρυγᾶν ἑαυτήν, ὥσπερ τὰ σῦκα συκάζουσι, τὸ ὀργῶν ἀεί.

ΚΕΦ. κ'.

ΕΝταῦθα δὴ ἐγὼ εἶπον· πῶς οὖν, ὦ Ἰσχόμαχε, εἰ οὕτω γε ῥᾴδιά ἐστι μαθεῖν τὰ περὶ τὴν γεωργίαν, καὶ πάντες ὁμοίως ἴσασιν ἃ δεῖ ποιεῖν, οὐχὶ καὶ πάντες

τες

18. Multa etiam ipsa docet, quo pacto quis ea pulcherrime uti possit. Primum vitis in arbores, si quidem aliquam arborem vicinam habeat, ascendens docet, qua ratione efficere debeas, ut vitis consistat. Deinde pampinos explicans, quamdiu sunt ejus uvæ adhuc teneræ, docet ea, quæ tum temporis soli exposita sunt, umbra quadam esse tegenda.

19. Quum autem jam tempus est, ut uvæ à sole dulcescant, tum foliis decidentibus, docet ipsa, se nudari debere, ac fructum esse maturandum. Ob fœcunditatem vero, quod alias uvas maturas ostendat, alias adhuc crudiores ferat; decerpendum semper esse docet, quod turgeat, quemadmodum & ficus legi solent.

CAP. XX.

TUM ego: Qui fit igitur, inquam, Ischomache, si quidem ea, quæ ad agriculturam pertinent, tam ad discendum facilia sunt, atque omnes ex æquo sciunt, quid in ea faciundum sit, ut non

 etiam

τινες πράττουσιν ὁμοίως, ἀλλ' οἱ μὲν αὐτῶν ἀφθόνως τε ζῶσι, καὶ περιττὰ ἔχουσιν, οἱ δ' οὐδὲ τὰ ἀναγκαῖα δύνανται πορίζεσθαι, ἀλλὰ καὶ προσοφείλουσι;

β'. Ἐγὼ δή σοι λέξω, ὦ Σώκρατες, ἔφη ὁ Ἰσχόμαχος. οὐ γὰρ ἡ ἐπιστήμη οὐδὲ ἡ ἀνεπιστημοσύνη τῶν γεωργῶν ἐστιν ἡ ποιοῦσα τοὺς μὲν εὐπορεῖν, τοὺς δὲ ἀπόρους εἶναι.

γ'. Οὐδ' ἂν ἀκούσαις (ἔφη) λόγου οὕτω διαθέοντος, ὅτι διέφθαρται ὁ οἶκος, διότι οὐχ ὁμαλῶς ὁ σπορεὺς ἔσπειρεν, οὐδὲ ὅτι οὐκ ὀρθῶς τοὺς ὄρχους ἐφύτευσεν, οὐδὲ ὅτι ἀγνοήσας τις τὴν γῆν φέρουσαν ἀμπέλους, ἐν ἀφόρῳ ἐφύτευσεν, οὐδὲ ὅτι ἠγνόησέ τις, ὅτι ἀγαθόν ἐστι τῷ σπόρῳ νέον προεργάζεσθαι, οὐδ' ὅτι ἠγνόησέ τις ὡς ἀγαθόν ἐστι τῇ γῇ κόπρον μιγνύναι.

δ'. Ἀλλὰ πολὺ μᾶλλόν ἐστιν ἀκοῦσαι· ἀνὴρ οὐ λαμβάνει σῖτον ἐκ τοῦ ἀγροῦ. οὐ γὰρ ἐπιμελεῖται, ὡς αὐτῷ σπείρηται, ἢ ὡς κόπρος γίγνηται. οὐδ' οἶνον ἔχει ἀνήρ·

etiam omnes pari ratione illam exerceant: ſed alii magna rerum in abundantia copioſe vivant, alii ne quidem neceſſaria parare poſſint, atque etiam ære alieno ſint obruti?

2. Id equidem, exponam tibi, Socrates, ait Iſchomachus. Nec enim vel agricolarum ſcientia, vel inſcientia facit, ut aliis copia quædam ſuppetat, alii premantur inopia.

3. Neque tu facile audiveris didi ſermonem hujuſmodi quendam: Res familiaris peſſum ivit, quod ſeminator non æquabiliter ſemen in agrum ſparſit, quodque recte plantarum ordines non inſtituit: nec quod quum neſciret, an ſolum aliquod vites ferret, in ſterili eas ſolo conſevit; nec quod ignoravit aliquis, etiam bonum eſſe ſementi, novalem exerceri; nec quod ignoravit, bonum eſſe, terræ fimum admiſcere.

4. Sed multo magis audire eſt, Ille frumentum ex hoc fundo nullum accipit. Non enim curam adhibet, ut ſemen in eum ſpargatur, vel ut fimum habeat. Vinum

is

ἀνήρ· οὐ γὰρ ἐπιμελεῖται ὡς φυτεύσῃ ἀμπέλους, οὐδὲ αἱ οὖσαι ὅπως φέρωσιν αὐτῷ. οὐδὲ ἔλαιον οὐδὲ σῦκα ἔχει ἀνήρ· οὐ γὰρ ἐπιμελεῖται, οὐδὲ ποιεῖ, ὅπως ταῦτα ἔχῃ.

ε'. Τοιοῦτ' (ἔφη) ἐστὶν, ὦ Σώκρατες, ἃ διαφέροντες ἀλλήλων οἱ γεωργοὶ, διαφερόντως καὶ πράττουσι πολὺ μᾶλλον, ἢ οἱ δοκοῦντες σοφόν τι εὑρηκέναι εἰς τὰ ἔργα.

ϛ'. Καὶ οἱ στρατηγοὶ ἔστιν ἐν οἷς τῶν στρατηγικῶν ἔργων οὐ γνώμῃ διαφέροντες ἀλλήλων, οἱ μὲν βελτίονες, οἱ δὲ χείρονές εἰσιν, ἀλλὰ σαφῶς ἐπιμελείᾳ. ἃ γὰρ καὶ οἱ στρατηγοὶ γιγνώσκουσι πάντες, καὶ τῶν ἰδιωτῶν οἱ πλεῖστοι, ταῦτα οἱ μὲν ποιοῦσι τῶν ἀρχόντων, οἱ δ' οὔ.

ζ'. Οἷον καὶ τόδε γιγνώσκουσιν ἅπαντες, ὅτι διὰ πολεμίας πορευομένους βέλτιόν ἐστι τεταγμένους πορεύεσθαι οὕτως ὡς ἂν ἄριστα μάχοιντο, εἰ δέοι. τοῦτο τοίνυν γιγνώσκοντες, οἱ μὲν ποιοῦσιν οὕτως, οἱ δ' οὐ ποιοῦσι.

η'. Φυλακὰς ἅπαντες ἴσασιν ὅτι βέλτιστόν ἐστι καθιστάναι

is non habet: non enim curam adhibet in conferendis vitibus, & colendis, quas habet, ut fint fertiles. Nec oleum nec ficus habet: non enim efficit cura ftudioque fuo, ut habeat.

5. Hujufmodi funt, mi Socrates, in quibus agricolæ, quum inter fe differant, etiam diverfam fortunam experiuntur; idque multo magis, quam qui fapienter ad opera quiddam inveniffe exiftimantur.

6. Etiam imperatores interdum quibufdam in actionibus imperatoriis, quum intelligentia non differant, nihilominus alii meliores, alii deteriores funt haud dubie propter diligentiam. Nam quæ duces omnes norunt, & privatorum pars maxima; ea duces alii faciunt, alii non faciunt.

7. Verbi gratia, norunt omnes potius effe, ut qui per agrum hoftium tranfeunt, inftructis ordinibus iter faciant, quod ita dimicaturi commodiffime fint, fi ufus ferat: hoc quum fciant, inquam, alii præftant, alii non.

8. Norunt omnes optimum effe, diur-

στάναι καὶ ἡμερινὰς καὶ νυκτερινὰς περὶ τοῦ στρατοπέδου. ἀλλὰ καὶ τούτου οἱ μὲν ἐπιμελοῦνται ὡς ἔχῃ οὕτως, οἱ δ᾽ οὐκ ἐπιμελοῦνται.

θʹ. Ὅταν τε αὖ διὰ στενοπόρων ἴωσιν, πάνυ χαλεπὸν εὑρεῖν ὅστις οὐ γιγνώσκει, ὅτι προκαταλαμβάνειν τὰ ἐπίκαιρα κρεῖσσον ἢ μή. ἀλλὰ καὶ τούτου οἱ μὲν ἐπιμελοῦνται οὕτω ποιεῖν, οἱ δ᾽ οὔ.

ιʹ. Ἀλλὰ καὶ κόπρον λέγουσι μὲν πάντες ὅτι ἄριστον εἰς γεωργίαν ἐστί, καὶ ὁρῶσι δὲ αὐτομάτην γιγνομένην, ὅμως δὲ καὶ ἀκριβοῦντες ὡς γίγνεται, καὶ ῥᾴδιον ὂν πολλὴν ποιεῖν, οἱ μὲν καὶ τούτου ἐπιμελοῦνται ὅπως ἀθροίζηται, οἱ δὲ παραμελοῦσι.

ιαʹ. Καίτοι ὕδωρ μὲν ὁ ἄνω Θεὸς παρέχει, τὰ δὲ κοῖλα πάντα, τέλματα γίγνεται, ἡ γῆ δὲ ὕλην παντοίαν παρέχει, καθαίρειν δὲ δεῖ τὴν γῆν τὸν μέλλοντα σπείρειν. ἃ δ᾽ ἐκποδῶν ἀναιρεῖται, ταῦτα εἴ τις ἐμβάλλοι εἰς τὸ ὕδωρ, ὁ χρόνος ἤδη αὐτὸς ἂν ποιοίη, οἷς ἡ γῆ ἥδεται. ποία μὲν γὰρ ὕλη, ποία δὲ γῆ ἐν ὕδατι στασίμῳ οὐ κόπρος γίγνεται;

ιβʹ. Καὶ

diurnas & nocturnas excubias ante castra constitui: verum id quoque ut fiat, aliis est curæ, aliis non est.

9. Difficile fit aliquem reperire, qui quum meatus angusti transeundi sunt, non intelligat potius esse, præoccupari opportuna loca, quam non: nihilominus hoc quoque alii faciunt, alii non.

10. Etiam fimum aiunt omnes ad agriculturam optimum quiddam esse, ac provenire hunc sua sponte vident: tamen utut accurate sciant, quo pacto conficiatur, ac facile copiam ejus haberi posse, curam adhibent alii, ut colligatur, alii negligunt.

11. Atqui aquam Deus, qui supra nos est, suppeditat: & omnia cava, palustria fiunt: & variam materiem solum ipsum præbet, quod quidem ab ea purgare debet, qui sementem est facturus. Quæ vero removentur, de iis in aquam conjectis tempus ipsum effecerit aliquid terræ gratum. Nam quæ materies, quæ terra non in aqua consistente fimus fit?

12. Quam

ιβ΄. Καὶ ὁπόσης δὲ θεραπείας δεῖται ἡ γῆ, ὑγροτέρα τε οὖσα πρὸς τὸν σπόρον, ἡ ἁλμωδεστέρα πρὸς φυτείαν, καὶ ταῦτα γιγνώσκουσι μὲν πάντες, καὶ ὡς τὸ ὕδωρ ἐξάγεται τάφροις, καὶ ὡς ἡ ἅλμη κολάζεται μιγνυμένη πᾶσι τοῖς ἀνάλμοις τε, καὶ ὑγροῖς, καὶ ξηροῖς, ἀλλὰ καὶ τούτων ἐπιμελοῦνται οἱ μὲν, οἱ δ᾽ οὔ.

ιγ΄. Εἰ δέ τις παντάπασιν ἀγνὼς εἴη, τί δύναται φέρειν ἡ γῆ, καὶ μήτε ἰδεῖν ἔχοι καρπὸν, μηδὲ φυτὸν αὐτῆς, μήτε ὅτου ἀκοῦσαι τὴν ἀλήθειαν περὶ αὐτῆς ἔχοι, οὐ πολὺ μὲν ῥᾷον γῆς πεῖραν λαμβάνειν παντὶ ἀνθρώπῳ, ἢ ἵππου, πολὺ δὲ ῥᾷον, ἢ ἀνθρώπου; οὐ γάρ ἐστιν ὅ,τι ἐπὶ ἀπάτῃ δείκνυσιν, ἀλλ᾽ ἁπλῶς ἅτε δύναται καὶ ἃ μὴ, σαφηνίζει τε καὶ ἀληθεύει.

ιδ΄. Δοκεῖ δέ μοι ἡ γῆ καὶ τοὺς κακούς τε κἀγαθοὺς, τῷ εὔγνωστα καὶ εὐμαθῆ πάντα παρέχειν, ἄριστα ἐξετάζειν. οὐ γὰρ ὥσπερ τὰς ἄλλας τέχνας τοῖς μὴ ἐργαζομένοις ἔστι προφασίσασθαι, ὅτι οὐκ ἐπίσανται,

12. Quam item curationem solum requirat, sive humidius æquo ad sementem, seu ad consitionem salsius, norunt omnes: item quo pacto fossis aqua educatur, & terra salsa corrigatur, miscendo eam cum aliis non salsis, & humidis, & siccis: verum hæc quoque nonnulli diligentia sua complectuntur, alii non item.

13. Quod si quis omnino ignoret, quid ferre solum possit, ac neque fructum ipsius aliquem, neque plantam inspiciendi copiam habeat, neque sit, ex quo verum audire de eo possit: annon multo facilius est cuivis homini facere soli periculum, quam vel equi, vel hominis? Nec enim quidquam est, quod fallendi caussa ostentet: sed simpliciter quid vel possit, vel non possit, declarat cum indicatione veritatis.

14. Videtur etiam mihi terra ignavos & industrios egregie explorare, quæ omnia ad cognoscendum ac discendum facilia exhibeat. Non enim ut in artibus ceteris uti excusatione inscitiæ licet iis qui eas non exercent, ita etiam heic

ςαίαν, γῆν δὲ πάντες οἴδασιν ὅτι εὖ πάσχουσα εὖ ποιεῖ.

ιε΄. Ἀλλ' ἡ ἐν γεωργίᾳ ἐστὶ σαφὴς ψυχῆς κατήγορος κακῆς. ὡς μὲν γὰρ ἂν δύναιτο ἄνθρωπος ζῆν ἄνευ τῶν ἐπιτηδείων, οὐδεὶς τοῦτο αὐτὸς αὐτὸν πείθει. ὁ δὲ μήτε ἄλλην τέχνην χρηματοποιὸν ἐπιστάμενος, μήτε γεωργεῖν ἐθέλων, φανερὸν ὅτι κλέπτων, ἢ ἁρπάζων, ἢ προσαιτῶν διανοεῖται βιοτεύειν, ἢ παντάπασιν ἀλόγιστός ἐστι.

ιϛ΄. Μέγα δὲ διαφέρειν εἰς τὸ λυσιτελεῖν γεωργίαν ἔφη, καὶ μὴ λυσιτελεῖν, ὅταν ὄντων ἐργαστήρων καὶ πλειόνων, ὁ μὲν ἔχῃ τινὰ ἐπιμέλειαν, ὡς τὴν ὥραν αὐτῷ ἐν τῷ ἔργῳ οἱ ἐργάται ὦσιν, ὁ δὲ μὴ ἐπιμελῆται τούτου. ῥᾳδίως γὰρ ἀνὴρ εἷς παρὰ τοὺς δέκα διαφέρει τῷ ἐν ὥρᾳ ἐργάζεσθαι, καὶ ἄλλος γε ἀνὴρ διαφέρει * τῷ πρὸ τῆς ὥρας ἀπιέναι.

ιζ΄. Τὸ δὲ δὴ ἐᾶν ῥᾳδιουργεῖν δι' ὅλης τῆς ἡμέρας τοὺς ἀνθρώπους,

heic fit: sed terram norunt omnes, quum beneficium accipit, beneficium rependere.

15. Quæ autem per agriculturam exercetur, ea insignis est ignavi animi accusatrix. Nam posse hominem absque necessario victu vivere, nemo sibimet ipsi persuadet. At qui artem aliam nullam, qua rem faciat, novit; neque agrum colere vult: is præ se fert, quod vel furando, vel prædando, vel mendicando victum quærere cogitet; aut omnino rationis omnis est expers.

16. Aiebat etiam multum in hoc, ut agricultura, vel fructuosa sit, vel cum detrimento conjuncta, situm esse; si, quum operarii sunt, & quidem complures, alius curam adhibeat in hoc, ut operarii suo tempore opere faciundo occupentur, alius id non curet. Nam facile vir unus decem aliis præstat, si suo tempore opus faciat: alius in hoc præstat cæteris, quod ante tempus non discedit.

17. Permittere autem hominibus, ut toto die segniter opus faciant,

θρώποις, ῥᾳδίως τὸ ἥμισυ διαφέρει τοῦ ἔργου παντός.

ιη'. Ὥσπερ καὶ ἐν ταῖς ὁδοιπορίαις παρὰ στάδια διακόσια, ἔστιν ὅτε τοῖς ἑκατὸν σταδίοις διήνεγκαν ἀλλήλων ἄνθρωποι τῷ τάχει, ἀμφότεροι καὶ νέοι ὄντες καὶ ὑγιαίνοντες, ὅταν ὁ μὲν πράσσῃ ἐφ' ὅπερ ὥρμηται βαδίζων, ὁ δὲ ῥᾳστωνεύῃ τῇ ψυχῇ, καὶ παρὰ κρήναις, καὶ ὑπὸ σκιαῖς ἀναπαυόμενός τε, καὶ θεώμενος, καὶ αὔρας θηρεύων μαλακάς.

ιθ'. Οὕτω δὲ καὶ ἐν τοῖς ἔργοις πολὺ διαφέρουσιν εἰς τὸ ἀνύτειν οἱ πράττοντες ἐφ' ᾧπερ τεταγμένοι εἰσί, καὶ οἱ μὴ πράττοντες, ἀλλ' εὑρίσκοντες προφάσεις τοῦ μὴ ἐργάζεσθαι, καὶ ἐώμενοι ῥᾳδιουργεῖν.

κ'. Τὸ δὲ δὴ καὶ τὸ καλῶς ἐργάζεσθαι, ἢ κακῶς ἐπιμελεῖσθαι, τοῦτο δὴ τοσοῦτον διαφέρει, ὅσον ἢ ὅλως ἐργάζεσθαι, ἢ ὅλως ἀργὸν εἶναι. ὅταν σκαπτόντων, ἵνα ὕλης καθαραὶ αἱ ἄμπελοι γένωνται, οὕτω σκάπτωσιν, ὥστε

ciant, id vero facile totius operis dimidiam partem differt & extrahit.

18. Sicut & itineribus ad ducenta stadia, nonnunquam homines à se invicem stadiis centum distant ob celeritatem, quanquam & ambo sint juvenes, & valetudine integra utantur: quum scilicet unus id agit, cujus caussa proficiscendi fecerat initium, alius animo est soluto, ac propter fontes, & sub umbris quiescendo se recreat, omniaque spectat, & auras teneras captat.

19. Sic etiam in ipsis operibus perficiendis multum inter se differunt ii qui agunt quod est ipsis mandatum, & qui hoc non agunt, sed ne opus faciant, prætextus quosdam inveniunt, concessa etiam otiandi facultate.

20. Recte autem opus facere, vel negligenter curam faciundo adhibere, tantum inter se discriminis habent, quantum inter se differunt prorsus opus facere, vel prorsus otiosum esse. Ut quum pastinantes, qui purgare vites à materia vepribusque debent, sic pastinant,

ὥστε πλείω καὶ καλλίω τῆς ὕλης γίγνεσθαι, πῶς οὗτος οὐκ ἀργὸν ἂν φήσαις τοῦτ' εἶναι;

κα'. Τὰ οὖν συντρίβοντα τοὺς οἴκους πολὺ μᾶλλον ταῦτά ἐστιν, ἢ αἱ λίαν ἀνεπιστημοσύναι. τὸ γὰρ τὰς μὲν δαπάνας χωρεῖν ἐντελεῖς ἐκ τῶν οἴκων, τὰ δὲ ἔργα μὴ τελεῖσθαι λυσιτελούντως πρὸς τὴν δαπάνην, ταῦτα οὐκέτι δεῖ θαυμάζειν ἐὰν ἀντὶ τῆς περιουσίας ἔνδειαν παρέχῃ.

κβ'. Τοῖς γε μέντοι ἐπιμελεῖσθαι δυναμένοις καὶ συντεταμένως γεωργοῦσιν ἀνυτικωτάτην χρημάτισιν ἀπὸ γεωργίας, καὶ αὐτὸς ἐπετήδευσε, καὶ ἐμὲ ἐδίδαξεν ὁ πατήρ. οὐδέποτε γὰρ εἴα χῶρον ἐξειργασμένον ὠνεῖσθαι, ἀλλ' ὅστις ἢ δι' ἀμέλειαν ἢ δι' ἀδυναμίαν τῶν κεκτημένων καὶ ἀργὸς καὶ ἀφύτευτος εἴη, τοῦτον ὠνεῖσθαι παρῄνει.

κγ'. Τοὺς μὲν γὰρ ἐξειργασμένους ἔφη καὶ πολλοῦ ἀργυρίου γίγνεσθαι, καὶ ἐπίδοσιν οὐκ ἔχειν· τοὺς δὲ μὴ ἔχοντας ἐπίδοσιν, οὐδὲ ἡδονὰς ὁμοίας ἐνόμιζε παρέχειν· ἀλλὰ πᾶν κτῆμα

stinant, ut & copiosior & pulchrior materia succrescat; quo pacto non esse dixeris hoc otiosum?

21. Quæ igitur familias detrimento afficiant, multo magis hæc sunt, quam illæ imperitiæ nimiæ. Nam quum sumtus integri ex re familiari procedunt, opera vero non perficiuntur ita, ut ex sumtu aliqua redeat utilitas: mirum videri non debet, egestatem hinc pro abundantia rerum oriri.

22. Eum vero quæstum ex agricultura, qui diligentiam adhibere valentibus, & non sine contentione virium agriculturam exercentibus ad parandam rem efficacissimus est, pater meus & ipse fecit, & me docuit. Nunquam enim permittebat, ut agrum emerem cultum: sed hortabatur, ut eum, qui vel per negligentiam vel possessorum inopiam incultus, minimeque consitus esset, mercarer.

23. Nam agros excultos magno parari pretio dicebat, & incrementum nullum habere. Qui autem incrementum nullum haberent, eos neque voluptates pares suppeditare queebat. Nimirum quid-

κτῆμα καὶ θρέμμα τὸ ἐπὶ τὸ βέλτιον ἰόν, τοῦτο καὶ εὐφραίνειν μάλιστα ᾤετο. οὐδὲν οὖν ἔχει πλείονα ἐπίδοσιν, ἢ χῶρος ἐξ ἀργοῦ πάμφορος γιγνόμενος.

κδ'. Εὖ γὰρ ἴσθι, ἔφη, ὦ Σώκρατες, ὅτι τῆς ἀρχαίας τιμῆς πολλοὺς πολλαπλασίου χώρους ἀξίους ἡμεῖς ἤδη ἐποιήσαμεν. καὶ τοῦτο, ὦ Σώκρατες, ἔφη, οὕτω μὲν πολλοῦ ἄξιον τὸ ἐνθύμημα, οὕτω δὲ καὶ μαθεῖν ῥᾴδιον, ὥστε νυνὶ ἀκούσας σὺ τοῦτο, ἐμοὶ ὁμοίως ἐπιστάμενος ἄπει, καὶ ἄλλον διδάξεις, ἐὰν βούλῃ.

κε'. Καὶ ὁ ἐμὸς δὲ πατὴρ οὔτε ἔμαθε παρ' ἄλλου τοῦτο, οὔτε μεριμνῶν εὗρεν· ἀλλὰ διὰ τὴν φιλογεωργίαν καὶ φιλοπονίαν ἐπιθυμῆσαι ἔφη τοιούτου χωρίου, ὅπως ἔχοι ὅ,τι ποιοῖ ἅμα, καὶ ὠφελούμενος ἥδοιτο. ἦν γάρ τοι, ἔφη, ὦ Σώκρατες, φύσει (ὡς ἐμοὶ δοκεῖ) φιλογεωργότατος Ἀθηναίων ὁ ἐμὸς πατήρ.

κϛ'. Καὶ ἐγὼ μέν τοι ἀκούσας τοῦτο, ἠρόμην αὐτόν· πό-

τερα

quidquid vel possideretur, vel educaretur, quod in melius proficeret, id etiam plurimum delectationis afferre putabat. Nihil autem majus incrementum habet, quam si fundus fertilissimus ex inculto fiat.

24. Certe, mi Socrates, scire debes, nos complures fundos effecisse tales, ut jam multipliciter antiquum pretium superent. Atque hoc inventum, Socrates, tanti est pretii, tamque ad discendum facile, ut quum modo primum illud audieris, æque tamen ejus peritus, atque ego, discedas: possisque, si velis, alium etiam docere.

25. Meus quoque pater neque didicit illud ab alio, neque sollicite meditando reperit: sed propter studium agriculturæ ac laborum, quo flagrabat, talem se fundum concupivisse narrabat, ut simul & quod ageret, & de quo utilitate percepta delectaretur, haberet. Erat enim à natura pater meus, mi Socrates, omnium Atheniensium, agriculturæ, mea quidem sententia, studiosissimus.

26. Quibus auditis, equidem ex ipso quærebam: Utrum autem,

περὶ δὲ, ὦ Ἰσχόμαχε, ὁπόσους ἐξειργάσατο χώρους ὁ πατὴρ, πάντας ἐκέκτητο, ἢ καὶ ἀπεδίδοτο, εἰ πολὺ ἀργύριον εὑρίσκοι; καὶ ἀπεδίδοτο νὴ Δί', ἔφη ὁ Ἰσχόμαχος· ἀλλὰ ἄλλον τοι εὐθὺς ἀντεωνεῖτο ἀργὸν, διὰ τὴν φιλεργίαν.

κζ. Λέγεις, ἔφην ἐγὼ, ὦ Ἰσχόμαχε, τῷ ὄντι φύσει τὸν πατέρα φιλογεωργὸν εἶναι οὐδὲν ἧττον, ἢ οἱ ἔμποροι φιλόσιτοί εἰσι. καὶ γὰρ οἱ ἔμποροι, διὰ τὸ σφόδρα φιλεῖν τὸν σῖτον, ὅπου ἂν ἀκούσωσι πλεῖστον εἶναι, ἐκεῖσε πλέουσιν ἐπ' αὐτὸν, καὶ Αἰγαῖον, καὶ Εὔξεινον, καὶ Σικελικὸν πόντον περῶντες.

κη'. Ἐπειτα δὲ λαβόντες ὁπόσον δύνανται πλεῖστον, ἄγουσιν αὐτὸν διὰ τῆς θαλάττης· καὶ ταῦτα εἰς τὸ πλοῖον ἐνθέμενοι, ἐν ᾧπερ αὐτοὶ πλέουσι. καὶ ὅταν δεηθῶσιν ἀργυρίου, οὐκ εἰκῇ αὐτὸν, ὅπου ἂν τύχωσιν, ἀπέβαλον· ἀλλ' ὅπου ἂν ἀκούσωσι τιμᾶσθαί τε μάλιστα τὸν σῖτον, καὶ περὶ πλείστου αὐτὸν ποιῶνται οἱ ἄνθρωποι, τούτοις αὐτὸν ἄγοντες παραδιδόασι· καὶ

tem, inquam, Ischomache, pater tuus fundos omnes, quos excoluit, possedit ipse: an etiam vendebat eos, si magnum aliquod pretium reperiret? Vendebat certe, ait Ischomachus, verum mox viciſſim venditi loco alium emebat incultum, idque propter studium faciundi operis, quod in ipso erat.

27. Dicis tu, inquam ego, Ischomache, patrem tuum revera nihilo minus à natura studiosum agriculturæ fuiſſe, quam mercatores frumenti sunt cupidi. Nam quia studiosiſſimi sunt frumenti, ubicunque maximam ejus eſſe copiam audierint, eo se navigiis conferunt, trajecto Ægeo, Euxino, Siculo mari.

28. Posteaquam tantam ejus nacti sunt copiam, quantam poſſunt maximam, per mare avehunt, & quidem illam in navim collocant, qua ipsimet vehuntur. Ubi pecunia ipsis opus est, non temere illud quovis loco abjiciunt: sed ubi maximum ejus eſſe pretium audierint, & ubi sint homines, qui frumentum quantivis æstiment, illis afferunt, ac venditum tradunt. Eodem

καὶ ὁ σὸς δὲ πατὴρ οὕτω πως ἔοικε φιλογεωργὸς εἶναι.

κθ΄. Πρὸς ταῦτα δὲ εἶπεν ὁ Ἰσχόμαχος· Σὺ μὲν παίζεις, ἔφη, ὦ Σώκρατες· ἐγὼ δὲ καὶ φιλοικοδόμους νομίζω οὐδὲν ἧττον οἵτινες ἂν ἀποδιδῶνται ἐξοικοδομοῦντες τὰς οἰκίας, εἶτ᾽ ἄλλας οἰκοδομοῦσι. νὴ Δία, ἐγὼ δέ γε σοὶ, ἔφην, ὦ Ἰσχόμαχε, ἐπομόσας λέγω, ἦ μὴν πιστεύειν σοι, φύσει νομίζειν φιλεῖν ταῦτα πάντας, ἀφ᾽ ὧν ἂν ὠφελεῖσθαι νομίζωσιν.

ΚΕΦ. κα΄.

Ἀτὰρ ἐννοῶ γε, ἔφην, ὦ Ἰσχόμαχε, ὡς εὖ τῇ ὑποθέσει ὅλον τὸν λόγον βοηθοῦντα παρέσχησαι. ὑπέθου γὰρ, τὴν γεωργικὴν τέχνην πασῶν εἶναι εὐμαθεστάτην. καὶ νῦν ἐγὼ ἐκ πάντων, ὧν εἴρηκας, τοῦτο οὕτως ἔχειν παντάπασιν ὑπὸ σοῦ ἀναπέπεισμαι.

β΄. Νὴ Δί᾽, ἔφη ὁ Ἰσχόμαχος. ἀλλὰ τόδε τοι, ὦ Σώκρατες, τὸ πάσαις κοινὸν ταῖς πράξεσι, καὶ γεωργικῇ,

Eodem modo pater tuus fuisse studiosus agriculturæ videtur.

29. Ad quæ Ischomachus: Jocaris tu quidem, ait, Socrates. Verum ego nihilominus exstruendarum ædium studiosos arbitror esse, qui ædificiis absolutis ea vendunt, ac alia deinde ædificant. Immo per Jovem, inquam, juratus dico tibi, mi Ischomache, omnino me tibi credere; qui existimes, omnes ea diligere, de quibus aliquid se percepturos utilitatis putant.

CAP. XXI.

Verum cogito, inquam, Ischomache, quam egregie totam orationem instituto argumento opitulantem exhibueris. Sumebas enim hoc argumentum, artem agriculturæ ad discendum inter omnes alias esse facillimam. Jam vero de omnibus, quæ dixisti, ita se hoc habere prorsus abs te persuasus sum.

2. Sic est, ait Ischomachus. De hoc autem, mi Socrates, quod omnibus est actionibus commune, tum

γικῇ, καὶ πολιτικῇ, καὶ οἰκονομικῇ, καὶ πολεμικῇ, τὸ ἀρχικὸν εἶναι, τοῦτο δὴ συνομολογῶ σοι ἐγὼ πολὺ διαφέρειν γνώμῃ τοὺς ἑτέρους τῶν ἑτέρων.

γ΄. Οἷον καὶ ἐν τριήρει, ἔφη, ὅταν πελαγίζωσι, καὶ δέῃ περᾶν ἡμερείους πλοῦς ἐλαύνοντας, οἱ μὲν τῶν κελευστῶν δύνανται τοιαῦτα λέγειν καὶ ποιεῖν, ὥστε ἀκονᾶν τὰς ψυχὰς τῶν ἀνθρώπων ἐπὶ τὸ ἐθελοντὰς πονεῖν, οἱ δὲ οὕτως ἀγνώμονές εἰσιν, ὥστε πλεῖον ἢ ἐν διπλασίῳ χρόνῳ τὸν αὐτὸν ἀνύτουσι πλοῦν. καὶ οἱ μὲν ἱδροῦντες καὶ ἐπαινοῦντες ἀλλήλους, ὅ, τε κελεύων καὶ οἱ πειθόμενοι ἐκβαίνουσιν, οἱ δὲ ἀνιδρωτὶ ἥκουσι, μισοῦντες τὸν ἐπιστάτην καὶ μισούμενοι.

δ΄. Καὶ τῶν στρατηγῶν ταύτῃ διαφέρουσιν (ἔφη) οἱ ἕτεροι τῶν ἑτέρων. οἱ μὲν γὰρ οὔτε πονεῖν ἐθέλοντας, οὔτε κινδυνεύειν παρέχονται, πείθεσθαί τε οὐκ ἀξιοῦντας οὐδ᾽ ἐθέλοντας, ὅσον ἂν μὴ ἀνάγκη ᾖ, ἀλλὰ καὶ μεγα-

tum agriculturæ tum administrationis civilis rationi, tum domesticæ, tum bellicæ rei, nimirum ut quis regendi peritus sit; assentior equidem tibi, alios aliis judicio multum præstare.

3. Sicut in triremi, quum in alto diurnæ sunt navigationes conficiendæ, alii ex eorum numero, qui hortando nautas excitant, ejusmodi quædam proferre ac facere possunt, ut hominum animos exacuant ad sponte laborandum: alii tam sunt imperiti, ut duplo plus temporis in eadem navigatione conficiunda consumant. Rursus illi cum sudore ac mutua prædicatione tam ejus qui cohortatur, quam qui obtemperant, de navi egrediuntur: hi sine sudore veniunt, ac non solum ipsi præfectum odere, sed etiam præfectus ipsos vicissim.

4. Eodem modo etiam imperatores alii ab aliis differunt. Nam alii milites exhibent ejusmodi, qui neque laborem ullum suscipere, neque periculum adire, neque dicto audientes esse, nisi quantum necessitas urgeat, velint; atque etiam magni-

μεγαλυνομένους ἐπὶ τῷ ἐναντιοῦσθαι τῷ ἄρχοντι. οἱ δὲ αὐτοὶ οὗτοι οὐδ' αἰσχύνεσθαι ἐπισταμένους παρέχουσιν, ἤν τι τῶν αἰσχρῶν συμβαίνῃ.

ε'. Οἱ δ' αὖ θεῖοι, καὶ ἀγαθοὶ, καὶ ἐπιστήμονες ἄρχοντες, τοὺς αὐτοὺς τούτους, πολλάκις δὲ καὶ ἄλλους παραλαμβάνοντες, αἰσχυνομένους τε ἔχουσιν αἰσχρόν τι ποιεῖν, καὶ πείθεσθαι οἰομένους βέλτιον εἶναι, καὶ ἀγαλλομένους τῷ πείθεσθαι ἕνα ἕκαστον, καὶ σύμπαντας, πονεῖν ὅταν δεήσῃ, οὐκ ἀθύμως πονοῦντας.

ς'. Ἀλλ' ὥσπερ ἰδιώταις ἔστιν οἷς ἐγγίγνεται φιλοπονία τις, οὕτω καὶ ὅλῳ τῷ στρατεύματι ὑπὸ τῶν ἀγαθῶν ἀρχόντων ἐγγίγνεται καὶ τὸ φιλοπονεῖν, καὶ τὸ φιλοτιμεῖσθαι ὀφθῆναι καλόν τι ποιοῦντας ὑπὸ τοῦ ἄρχοντος.

ζ'. Πρὸς ὅντινα δ' ἂν ἄρχοντα διατεθῶσιν οὕτως οἱ ἑπόμενοι, οὗτοι δὴ ἐρρωμένοι γε ἄρχοντες γίγνονται, οὐ μὰ Δί' οὐχ οἳ ἂν αὐτῶν ἄριστα τὸ σῶμα τῶν στρατιωτῶν ἔχωσι,

καὶ

magnifice se efferant, propterea quod duci suo adversentur. Iidem exhibent quoque nonnullos, qui, si quid accidat rei turpis, affici pudore nesciant.

5. Contra divini, & boni, & periti rectores, quum vel hos ipsos, vel alios etiam sæpenumero accipiunt, talibus ipsis utuntur; ut turpe quiddam patrare verecundia præpediti nolint, ac rectius esse arbitrentur parere, atq; etiam singuli obedientia delectentur, & universi, quum labores suscipi necesse est, non illubenter eos suscipiant.

6. Nimirum ut privatis nonnunquam hominibus laboris studium innascitur, sic etiam in exercitu toto à bonis imperatoribus studium quoddam excitari solet, ut omnes & laborare, & ambitiose conspici cupiant à rectore suo, dum præclarum aliquod facinus edunt.

7. Cæterum erga quoscunque rectores hoc modo milites, qui eos sequuntur, affecti sunt, hi vero potentes rectores evadunt; non illi quidem, qui robustiore sunt corpore præditi, quam ipsi milites;

&

καὶ ἀκοντίζωσι, καὶ τοξεύωσιν ἄριστα, καὶ ἵππον ἔχοντες ἄριστον, ὡς ἱππικώτατοι ἢ πελταστικώτατοι προκινδυνεύωσιν· ἀλλ' οἳ ἂν δύνωνται ἐμποιῆσαι τοῖς στρατιώταις, ἀκολουθητέον εἶναι καὶ διὰ πυρὸς καὶ διὰ παντὸς κινδύνου.

η'. Τούτους δὴ δικαίως ἄν τις καλοίη μεγαλογνώμονας, ᾧ ἂν ταῦτα γιγνώσκοντες πολλοὶ ἕπωνται. καὶ μεγάλῃ χειρὶ εἰκότως οὗτος λέγοιτο πορεύεσθαι, οὗ ἂν τῇ γνώμῃ πολλαὶ χεῖρες ὑπηρετεῖν ἐθέλωσι· καὶ μέγας τῷ ὄντι οὗτος ἀνήρ, ὃς ἂν μεγάλα δύνηται γνώμῃ διαπράξασθαι μᾶλλον, ἢ ῥώμῃ.

θ'. Οὕτω δὲ καὶ ἐν τοῖς ἰδίοις ἔργοις, ἄν τε ἐπίτροπος ᾖ ὁ ἐφεστηκώς, ἄν τε καὶ ἐπιστάτης, ὃς ἂν δύνηται προθύμους καὶ ἐντεταμένους παρέχεσθαι εἰς τὸ ἔργον, καὶ συνεχεῖς, οὗτοι δὴ οἱ ἀνύτοντές εἰσιν ἐπὶ τἀγαθά, καὶ πολλὴν τὴν περιουσίαν ποιοῦντες.

ι'. Τοῦ δὲ δεσπότου ἐπιφανέντος, ὦ Σώκρατες, ἔφη, ἐπὶ ἔργον, ὅστις δύναται καὶ μέγιστα βλάψαι τὸν κακὸν τῶν ἐργατῶν, καὶ μέγιστα

& jaculandi sagittandique artem optime tenent, ac optimum equum habent, ut tanquam præstantissimi equites & cetrati ante alios discrimen adeant: sed qui hoc in militum animis efficere possunt, ut per ignem, & quodvis periculum, sequendum statuant.

8. Hos certe merito quis magnanimos dixerit, quos sequuntur multi, eadem cum ipsis sentientes. Itidem par fuerit dicere, magna cum manu eum proficisci, cujus voluntati multæ manus obsequi volunt: ac magnus idem reabse vir est, qui res magnas consilio potius quam robore perficere potest.

9. Sic in operibus cujusque suis, sive villicus sit, qui præest, seu magister operariorum, quicunque præstare suos alacres, & contentis viribus laborantes, & assiduos potest; illi vero sunt, qui proficiunt in bonis, & abundantiam quandam rerum ingentem comparant.

10. Domino certe, mi Socrates, ipso in opere conspecto, qui & ignavum operarium maximo afficere malo possit, & alacrem honore

μέγιστα τιμῆσαι τὸν πρόθυμον, εἰ μηδὲν ἐπίδηλον ποιήσουσιν οἱ ἐργάται, ἐγὼ μὲν αὐτὸν οὐκ ἂν ἀγάμαιμι· ἀλλ' ὃν ἂν ἰδόντες κινηθῶσι, καὶ μένος ἑκάστῳ ἐμπέσῃ τῶν ἐργατῶν, καὶ φιλονεικία πρὸς ἀλλήλους, καὶ φιλοτιμία κρατίστη οὖσα ἑκάστῳ, τοῦτον ἐγὼ φαίην ἂν ἔχειν τι ἤθους βασιλικοῦ.

ια΄. Καὶ ἔστι τοῦτο μέγιστον, ὡς ἐμοὶ δοκεῖ, ἐν παντὶ ἔργῳ, ὅπου τι δι' ἀνθρώπων πράττεται, καὶ ἐν γεωργίᾳ δέ. οὐ μέντοι μὰ Δία τοῦτό γε ἔτι ἐγὼ λέγω ἰδόντα μαθεῖν εἶναι, οὐδὲ ἅπαξ ἀκούσαντα, ἀλλὰ καὶ παιδείας δεῖν φημι τῷ ταῦτα μέλλοντι δυνήσεσθαι, καὶ φύσεως ἀγαθῆς ὑπάρξαι, καὶ (τὸ μέγιστον δὴ) θεῖον γενέσθαι.

ιβ΄. Οὐ γὰρ πάνυ μοι δοκεῖ ὅλον τουτὶ τὸ ἀγαθὸν ἀνθρώπινον εἶναι, ἀλλὰ θεῖον, τὸ ἐθελόντων ἄρχειν· σαφῶς δὲ δίδοται τοῖς ἀληθινῶς σωφροσύνῃ τετελεσμένοις. ὃ δὲ ἀκόντων τυραννεῖν διδόασιν, ὡς ἐμοὶ δοκεῖ, οὓς ἂν

honore maximo ornare; si quidem nihil ab operariis insigne fiat, non possum equidem eum admirari: Quo vero conspecto moti fuerint, & quidam impetus operarios invaserit, itemque contentio mutua, & ambitio, quæ nemini non est optima, hunc equidem regium quoddam ingenium habere dixerim.

11. Atque hoc, mea quidem sententia, ut quovis in opere maximum est, ubi per homines aliquid efficitur, ita etiam in agricultura. Non tamen id profecto disci posse dico vel intuendo vel audiendo semel: sed equidem aio etiam institutione illi opus esse, qui præstare id velit, atque ut indoles in eo bona sit: quod denique maximum est, divinus sit homo necesse est.

12. Quippe non omnino mihi videtur totum hoc bonum humanum esse, ut aliquis non invitis imperet, sed divinum: quod quidem iis certo datur, qui revera prudentiæ sacris initiati sunt. At invitos tyrannide quadam premere, mea quidem sententia da-

ἂν ἡγῶνται ἀξίους εἶναι βιοτεύειν, ὥσπερ ὁ Τάνταλος ἐν ᾅδου λέγεται τὸν ἀεὶ χρόνον διατρίβειν, φοβούμενος μὴ δὶς ἀποθάνῃ.

tur iis quos dignos esse dii statuunt, ut sic vitam degant, quemadmodum apud inferos agere Tantalum perhibent, in omne ævum metuentem ne bis moriatur.

Variæ Lectiones cum Annotatiunculis.

PAG. 1. (a) Eſſe librum hunc, qui inſcribitur Oeconomicus, quintum (nec tamen, ut vult Leunclavius, ultimum) Memorabilium ex eo colligi poteſt, quod præfationem (ut alii libri ſingulares) aliquam peculiarem non habeat: ſed contra, initium ejus omnino tale ſit, quale 2^di^, 3^tii^, 4^ti^ Memorabilium: adeo ut hunc cohærere cum libris præcedentibus, facile quivis ex verbis ejus primis animadvertat, maxime ſi legatur (quemadmodum in nonnullis edit. ſcribitur) Ἤκουσα δέ ποτε αὐτοῦ καὶ περὶ οἴκου. τοιάδε διαλεγομένου. Oeconomici vero titulum inde nactus eſt, quod, ut alii Memorabilium libri ſinguli diſputationes diverſas ac plures continent, ita heic de adminiſtratione domeſtica ſola diſſeratur. *p.* 22. *l.* 1. fortè κωλύον τὸ ἐπίσκοπ. *p.* 30. *l.* 4. Legendum αὐτὸς, & voc. ἔφη expungendum. *p.* ibid. (b) Conſule Cl. Brown M. D. de horto Cyri ſive Quincunce. *p.* 41. (c) Hujus loci (ut & aliorum complurium) interpretatio occurrit in fragmentis Oeconomicorum Ciceron. quæ proinde conſulas ad calcem libri adjecta. *p.* 44. *l.* 7. al. ἐδιδαμῶν. ibid. (d) Hinc Ciceronis Oeconomicorum libri primi præcipua pars, dans præcepta matrifamilias de eis, quæ domi agere debeat. *Servius.* *p.* 45. rectius αὐτά. *p.* 48. *l.* 11. rectius ὅτι. *p.* 62. *l.* 14. al. ἂν ἡμῶν. *p.* 77. (g) Libri 2^di^ Oeconomicorum Ciceron. principium, quo præcepta patrifamilias de iis dantur, quæ foris agere debeat. *Servius.* *p.* 82. (h) Hac voce Cic. & Vitruv. utuntur, eaque porticus ſignificatur, in qua per hyemem athletæ ſe exercent. *p.* 103. c. 16. Hinc liber 3us Oeconomicorum Ciceron. è Xenophonte qui agriculturam continet. *Servius.* *p.* 115. fortè τοὔμπαλιν. *p.* 118. *l.* 4. rectius ποδιαῖν. *p.* 122. *l.* 9. fortè ſcribendum ἄν. *p.* 128. *l.* 15. leg. τοῦ μὴ περὶ τ.

FRAGMENTA
Ciceronis
OECONOMICORUM
E XENOPHONTE.

INterpretatus est Cicero Oeconomicum Xenophonteum, aut potius Oeconomica sua è Xenophonte desumpsit, non tam interpretem agens quam Paraphrasten. Porro autor est Servius Oeconomica Ciceroniana in tres libros fuisse divisa, (ea distinctionis habita ratione, quam in Annot. assignavimus,) cum in nullis Græcis exemplaribus Oeconomici Xenophontei tripartita ista extet divisio. Nihilominus visum erat non abs re fore, si fragmenta quæ supersunt omnia Oeconomicorum Ciceron. heic ad calcem adjicerentur, cum hac lege id constiterit quod supra monuimus, ac insuper quanto in pretio habuit Cicero librum hunc Xenoph. qui Oeconomicus inscribitur, de quo (cæterisque omnibus Xenophontis libris) ita ille:

Cato major sive de senectute.

Multas ad res perutiles Xenophontis libri sunt: quos legite (quæso) studiose, ut facitis: quam copiose ab eo Agricultura laudatur in eo libro qui est de tuenda re familiari, qui Oeconomicus inscribitur?

Fragmenta Oeconomicorum *CICERONIS.*

LIB. I.

PAG. 41. l. 9. Oecon. Xenoph. ὃς ἐμοὶ δοκεῖ &c.] Homo ex eo numero hominum, qui apud nos hoc nomine dignantur. *Prisc. l.* 8.

P. 46. l. 3. ib. πρὸς Θεῶν &c.] Quid igitur, proh Deum immortalium, primum eam docebas? quæso. *Donat. in Ter.*

P. 48. l. 9. Ἐμοὶ γάρ τοι &c. ad p. 51. l. 9. τὸ ἕτερον δυνάμενον.] Maritale conjugium sic comparatum est natura, ut non solum jucundissima, verum etiam utilissima vitæ societas iniretur, & ne genus humanum temporis longinquitate occideret: propter hoc mas cum fœmina est conjunctus: deinde ut ex hac eadem societate mortalibus adjutoria senectutis, nec minus propugnacula præparentur: tum etiam, cum victus & cultus humanus non, uti feris, in propatulo, ac silvestribus locis, sed domi sub tecto accurandus esset, necessarium fuit, alterutrum foris sub dio esse, qui labore & industria compararet; intus, qui tectis reconderet atque custodiret: siquidem vel rusticari, vel navigare, vel etiam alio genere negotiari necesse erat, ut aliquas facultates acquireremus. Cum vero paratæ res sub tectum essent congestæ, alium esse oportuit, qui & illatas custodiret, & cætera conficeret opera, quæ domi deberent administrari:

ſtrari: nam & fruges & cætera alimenta terreſtria indigebant tecto: & ovium, cæterarumque pecudum fœtus, atque fructus clauſtro cuſtodienda erant, nec minus reliqua utenſilia, quibus aut alitur hominum genus, aut etiam excolitur. Quare cum & operam, & diligentiam ea, quæ poſuimus, deſiderarent, nec exigua cura foris acquirerentur, quæ domi cuſtodiri oporteret: jure, ut dixi, à natura comparata eſt opera mulieris ad domeſticam diligentiam, viri autem ad exercitationem forenſem, & extraneam: itaque viro calores, & frigora perpetienda, tum etiam itinera, & labores pacis ac belli, id eſt, rusticationis & militarium ſtipendiorum, diſtribuit: mulieri deinceps, quod omnibus his rebus fecerat inhabilem, domeſtica negotia curanda tradidit. Et quoniam hunc ſexum cuſtodiæ & diligentiæ aſſignaverat, idcirco timidiorem reddidit, quam virilem: nam metus plurimum confert ad diligentiam cuſtodiendi. Quod autem neceſſe erat foris, & in aperto victum quærentibus nonnunquam injuriam propulſare, idcirco virum quam mulierem fecit audaciorem. Quia vero partis opibus æque fuit opus memoria & diligentia: non minorem fœminæ, quam viro earum rerum tribuit poſſeſſionem. Tum etiam, quod ſimplex natura non omnes res commodas amplecti volebat, idcirco alterum alterius indigere voluit: quoniam quod alteri deeſt, præſto plerumque eſt alteri. *Colum. l.* 12. *c.* 1.

P. 56. l. ult. ἔστι μὲν γὰρ πενία &c. ad p. 57. l. 13. καὶ ἀξιάκουστοι.] Nam vetus eſt proverbium, paupertatem certiſſimam eſſe, cum alicujus indigeas, uti eo non poſſe, quia ignoretur, ubi projectum jaceat quod deſideretur: itaque in re familiari laborioſior eſt negligentia quam diligentia. Quis enim dubitet,

nihil

nihil esse pulchrius in omni ratione vitæ, dispositione atque ordine? quod etiam ludicris spectaculis licet sæpe cognoscere. Nam ubi chorus canentium, non certis modis, neque numeris præeuntis magistri consensit, dissonum quiddam, ac tumultuosum audientibus canere videtur. At ubi certis numeris, ac pedibus, velut facta conspiratione consensit, atque concinuit: ex ejusmodi vocum concordia, non solum ipsis canentibus, amicum quiddam & dulce resonat, verum etiam spectantes audientesque lætissima voluptate permulcentur.

P. 67. l. 5. Ἐπεὶ δὲ ταῦτα διήλθομεν &c. ad finem p. 68.] Præparatis idoneis locis, instrumentum & supellectilem distribuere cæpimus, ac primum ea secrevimus, quibus ad res divinas uti solemus: postea mundum muliebrem, qui ad dies festos comparatur; deinde virilem: item dierum solemnium ornatum, nec minus calceamenta utrique sexui convenientia: tum jam seorsim arma, ac tela seponebantur, & in altera parte instrumenta, quibus ad lanificia utuntur: post quæ ad cibum conficiendum vasa (ut assolent) constituebantur: inde, quæ ad lavationem, quæ ad exornationem, quæ ad mensam quotidianam atque epulationem pertinerent, exponebantur: postea ex iis quibus quotidie utimur, quod menstruum esset, seposuimus: quod annuum quoque in duas parteis divisimus: nam sic minus fallit, qui exitus futurus sit. Hæc postquam omnia secrevimus, tum suo quæque loco disposuimus: deinde quibus quotidie servuli utuntur, quæ ad lanificia, quæ ad cibaria coquenda & conficienda pertinent, hæc ipsa iis, qui uti solent, tradidimus, & ubi ea ponerent, demonstravimus, & ut salva essent, præcepimus. Quibus autem ad dies festos, & ad hospitum adventum utimur,

t hæc

hæc primo tradidimus, & loca singula demonstravimus, & cuique sua annumeravimus, atque annumerata ipsi exscripsimus, eamque admonuimus ut quodcunque opus esset, sciret unde daret: & meminisset atque adnotaret, quid, & quando, & cui dedisset, & cum recepisset, ut quidque suo loco reponeret. *Colum.*

Lib. II.

P. 86. l. 10. Πότερα δὲ &c.] Utrumne, Ischomache, inquam, si res familiaris desiderasset, mercari villicum tanquam fabrum, an ipse instituere consuevisti: Ego vero ipse instituo. Etenim qui me absente in meum locum substituitur, & vicarius meæ diligentiæ succedit, is ea quæ ego scire debet. *Colum.* l. 2. c. 1.

Lib. III.

P. 107. l. 3. Οἶδα μὲν οὖν &c.] Nullo modo facilius arbitror posse neque herbas arescere & interfici: neque terram ab sole percoqui. *Nonius.*

P. 123. l. 7. Ὅταν δὲ καιρὸς ᾖ &c.] Cum vero affecta jam prope æstate uvas à sole interficere tempus est; *Non.*

P. 124. l. ult. οὐδ' οἶνον &c.] Qui neque serit vitem, neque quæ sata est, diligenter colit: oleum, ficus, poma non habet. *Macrob.* l. 3. c. 10.

Hic commode addi potest id quod de Cyro minore & Lysandro, ex Oecon. Xenoph. in libellum suum, qui Cato major inscribitur, Cicero ita transtulit.

P. 29. l. ult. Oecon. Xenoph. οὗτος τοίνυν ὁ Κῦρος &c.] Socrates in eo libro loquitur cum Critobulo, Cyrum minorem, regem Persarum, præstantem ingenio, atque imperii gloria, cum Lysander Lacedæmonius,

monius, vir ſummæ virtutis, veniſſet ad eum Sardes, eique dona à ſociis attuliſſet, & cæteris in rebus comem erga Lyſandrum atque humanum fuiſſe, & ei quendam conſæptum agrum, diligenter conſitum, oſtendiſſe. Cum autem admiraretur Lyſander, & proceritates arborum, & directos in quincuncem ordines, & humum ſubactam atque puram, & ſuavitatem odorum, qui afflarentur è floribus, tum dixiſſe, Mirari ſe non modo diligentiam, ſed etiam ſollertiam ejus, à quo eſſent illa dimenſa, atque deſcripta: & ei Cyrum reſpondiſſe: *Atqui ego omnia iſta ſum dimenſus, mei ſunt ordines, mea deſcriptio, multæ etiam iſtarum arborum mea manu ſunt ſatæ.* Tum Lyſandrum, intuentem ejus purpuram, & nitorem corporis, ornatumque Perſicum, multo auro, multiſque gemmis, dixiſſe: *Recte vero te, Cyre, beatum ferunt, quoniam virtuti tuæ fortuna conjuncta eſt.*

FINIS.